Q
+
5

00079957

THE
ASIATIC SOCIETY OF BOMBAY
Town Hall, Bombay.

Digitized with financial assistance from the
Government of Maharashtra
on 18 July, 2018

DIONYSII ORBIS DESCRIPTIO;

Cum Commentariis

EUSTATHII,

ARCHIEPISCOPI

THESSALONICENSIS.

2936

79957

975-



THE BOMBAY BRANCH OF THE ROYAL ASIATIC SOCIETY

OXONIÆ,

E THEATRO SHELDONIA[NO]

MDCCX.

00079957

SCRIPTORES ANTIQUI

qui Dionyſii noſtri diſertim meminerunt.

Stephanus Byzant. p. 14. Edit Berkel.

Ἄβυδοι, τρεῖς πόλεις. ἡ καθ' Ἑλλήσποντον τῶν Μιλησίων ἄποικος, ὡς Διονύσιος· Σηστὸς ὅπη καὶ Ἄβυδος ἐναντίον ὅρμον ἔθεντο. alibi etiam : ſc. p. 32. 144. 151. 169. 178. 212. 222. 244. 265. 297. 344. 352. 409. 417. 418. 451. 587. 590. 752.

Conſtantinus Porphyrogenneta, l. 1. Them. xv.

Ἡ μὲν Κύπρος νῆσός ἐστι μεγάλη, κειμένη ἐν τῷ Παμφυλίῳ κόλπῳ, καθώς φησιν ὁ περιηγητὴς Διονύσιος· Κύπρος δ' εἰς αὐγὰς Παμφυλίου ἔνδοθι κόλπου. necnon & *Them.* XVI. & *lib.* 2. *Them.* VI.

Euſtathius in Homerum, p. 192. Edit. Rom.

Πόντος δὲ Ἰκάριος μέρος τι τοῦ Αἰγαίου, εὔρῳ καὶ νότῳ μάλιστα κυμαινόμενος. ἔνθα, ὡς ὁ περιηγητὴς ἱστορεῖ, μεγάλα ἐγείρονται κύματα. ſic & alibi, p. 262. 272. 273. 277. 279. 307. 319. 362. 366. 429. 585. 623. 626. 725. 816. 900. 905. 975. 994. 1059. 1133. 1144. 1148. 1387. 1390. 1478. 1491. 1545. 1561. 1659.

Scholiaſtes Nicandri, p. 13. Edit Pariſ. *per* Morelium.

Ἑπτάστομος ὁ Νεῖλός ἐστι κατὰ τὸν περιηγητὴν Διονύσιον.

Joannes Tzetzes in Var. Hiſt. Chil. IV. Hiſt. 139.

Ἰλλυριοῖς οἱ τάφοι δὲ Κάδμου καὶ Ἁρμονίας,
Κακοῦ τινος Ἰλλυριοῖς καὶ βλάβης γενομένης,
Ἀλλήλοις κυλινδούμενοι πύργον συνεκρότουν,
Ὥσπερ ἐπαλγυνόμενοι ταῖς συμφοραῖς καὶ βλάβαις.
Ταύτην ὁ Διονύσιος γράφει τὴν ἱστορίαν.

Vide & *Chil.* VIII. *Hiſt.* 218. & *Chil.* XIII. *Hiſt.* 450.

Idem in Scholiis ad Lycophronis Caſſandram, v. 188.

νῆσον τῆς [illegible], ἢ τὴν λευκαινομένην ἐκ τοῦ ἀφροῦ τῶν κυμάτων, ἢ περιηγητὴν ὅτι λευκὰ πολλὰ ζῶα ταύτην κατοικεῖ. præterea & v. 925. 1206. 1288.

Scho-

Scholiaſtes Ariſtophanis, p. 62. Edit. Genev.

Ἀπὸ δὲ τοῦ τούτου κοτίνου, τοῦ φυτοῦ δηλαδὴ, καὶ νῆσος Κοτινοῦσσα τὰ Γάδειρα, διὰ τὸ τοιούτοις ἐνευθηνεῖσθαι φυτοῖς, ὡς ὁ περιηγητὴς δηλοῖ.

Scholiaſtes Thucydidis, p. 124. Edit. Oxon.

Φασηλὶς πόλις Παμφυλίας. μέμνηται ταύτης καὶ Διονύσιος ὁ περιηγητής.

Etymologicon Magnum, p. 706. Edit. Sylb.

Ρυσμὸς, εἰκὼν, ἰδέα, σχῆμα. Διονύσιος ὁ περιηγητὴς, Σχῆμα δέ τοι Ἀσίης ῥυσμὸς πέλει. iidemque p. 70. 86. 205. 427. 622. 659. 706. 708. 751. 820.

SCHOLIA ſua in Dionyſium memorat idem Euſtathius ad Homerum, p. 2. Edit. Rom.

Καὶ οὕτως ὁ διὰ συγγράμματος τούτου ἐρχόμενος συχνὰ οἷον καταλύων ἀναπαύεται, ὁποῖόν τι καὶ ἐν τοῖς εἰς τὸν περιηγητὴν ἡμῖν γέγονε. ſicut & p. 12. 27. 30. 35. 86. 102. 110. 128. 158. 193. 262. 264. 269. 270. 273. 274. 276. 284. 285. 286. 287. 300. 301. 306. 312. 313. 314. 319. 331. 336. 351. 35[illegible]. [illegible]. 359. 363. 364. 366. 368. 382. 402. 405. 732. 758. 7[illegible]2. 815. 843. 8[illegible]. 916. 917. 1395. 1462. 1468. 1484. 1510. 1521. 1538. 15[illegible]5. 1601. 1711. 1716. 1720. 1760. 1821. 1861. 1913. 1923.

Dionyſii ELOGIUM ex Oratione Adr. Turnebi.

Dionyſius luculento poëmate orbem terrarum oceanumque complexus perſtrinxit, & ex illa infinita amplitudine & vaſtitate in anguſtum contraxit; eaque fide ac diligentia omnia deſcribit, ut qui ejus librum didicerit, non magis in toto orbe terrarum, quam in ſua urbe errare poſſit.

Euſtathii ENCOMIUM ex Niceta Choniate, p. 197. Edit. Pariſ.

Ἦν δὲ οὗτος [ὁ τῶν Θεσσαλονικέων ἀρχιερεὺς] ὁ πολὺς ἐν λόγῳ καὶ ἀρετῇ διαβεβοημένος ἀπανταχῇ Εὐστάθιος. ᾧ καὶ τὸ ἀπὸ συνέσεως ἐπιτάσεως ἀξιέπαινον, καὶ ἡ πολυπειρία θαυμαστή τις καὶ ἀξιάγαστος, τὸ δὲ παρὰ πολὺ τῶν ἄλλων ἐν λόγοις, καὶ σοφίας πλέον, ὁπόση τε ἡμετέρα καὶ ὅση τῶν θύραθεν, κρατῆρα εἶναι περιχειλῆ, τὸ οἰκειότατον ἐκείνου καὶ ἐξαίρετον ἦν χαρακτήρισμα.

Πρὸς

Πρὸς τὸν πανσέβαστον δοῦκαν κύριον ΙΩΑΝΝΗΝ, τὸν μετὰ ταῦτα ἐπὶ τῶν δεήσεων, τὸν υἱὸν τοῦ πανσεβάστου σεβαστοῦ, καὶ μεγάλου δρουγγαρίου, κυρίου ΑΝΔΡΟΝΙΚΟΥ τοῦ ΚΑΜΑΤΟΡΟΣ, ΕΥΣΤΑΘΙΟΥ διακόνου ἐπὶ τῶν δεήσεων, καὶ μαΐστωρος τῶν ῥητόρων, τοῦ καὶ ὕστερον γεγονότος ἀρχιεπισκόπου Θεσσαλονίκης, ἐπιστολὴ ἐπὶ ταῖς ΔΙΟΝΥΣΙΟΥ τοῦ περιηγητοῦ παρεκβολαῖς. μεθ' ἣν προοίμιον εἰς τὸ πρᾶγμα· καὶ μετὰ τὸ προοίμιον, αὐταὶ αἱ παρεκβολαί.

ΠΙΝΔΑΡΩ μὲν τῷ σοφῷ πρὸς λύραν εἰπεῖν, ᾠδῆς ὀφειλέτῃ γενομένῳ, καὶ τὴν ὀφειλὴν ἐπὶ μακρὸν ἀναβαλομένῳ, ἤρεσε χαρίεν λήθης ἐνστήσασθαι κατ' ἑαυτοῦ· καὶ τοίνυν ὅτι τε γλυκὺ μέλος ὀφείλων ἐπιλέλαθεν, ἐκεῖνος λέγει, καὶ τὴν καρδίαν ἀναπλύνειν ἐθέλει, ὡς ἂν ἔχοι ἀναγνῶναι ποῦ τῆς ἐκείνου φρενὸς ὁ ἄνθρωπος γέγραπται, ᾧ τὰ τῆς ὀφειλῆς ὑπισχνεῖτο. ἐμοὶ δέ, ὦ πανσέβαστε, κάλλιστε καὶ σοφώτατε, εἰ καὶ ὄφλειν ἐπῆλθε τὸν ἐν ὑποσχέσει λόγον, καὶ εἰς ἱκανὸν ἀναβάλλεσθαι τὰ τοῦ ὀφειλήματος, ἀλλ' οὔ τι κατὰ πάθος λήθης, οὐχ ἕνεκεν ἐγὼ κάρον πάσχω, οὐδ' ἀπονυστάζω πρὸς ἄωρον [illegible] πολὺ τὸ [illegible]κιον, ἢ [illegible] ἂν ἐπιγράφειν ἔτι, τὴν [illegible] οὐδενὶ θέμενος [illegible]σιν; ὃς ὅλην ἐκτέθεικάς μοι τὴν ψυχήν, καὶ μηδὲν εἶναι ὅπερ ἂν ἐμοὶ βουλητόν, ὃ μὴ καί σοι θελητόν; οὐ τοίνυν ἔπαθον λήθην ἐφ' οἷσπερ κατένευσα, οὐδὲ τὸ τῆς Λητοῦς χρῆμα καὶ τὸ καθ' ἡμᾶς ἔχειν Ερμοῦ τούτου καυχήσασθαι, καὶ τὴν κατ' αὐτοῦ μάχην κρατῆσαι, καὶ τρόπαιον στήσασθαι. πάθος δέ τι κατασκηπτὸν ἕτερον ἔξω τῶν ὑπεσχημένων ἐξέπληξέ με, καὶ τὴν κατάνευσιν ἀνεσκέδαζεν. ἐλογιζόμην γὰρ ὡς ἐν μικρῷ κείσεταί σοι τὸ πρᾶγμα, καὶ οὐκ ἂν ἐμμερίμνως διατεθείης ἐφ' οἷς ὁ λόγος ἦν ἐν ἡμῖν. ἐνενόουν γὰρ τὴν σὴν ἐν λόγοις ἐπίδοσιν, ἐλογιζόμην τὸ μεγαλοφυές, τὰς τῆς καρδίας ἀναβάσεις εἰς νοῦν ἀνῆγον. καὶ τοίνυν τὴν αὐτοῦ ἐπὶ τὰ μείζω ἐπίκλισιν συννοούμενος, οὐκ εἶχον ἐμαυτὸν πείθειν ὡς ἄρα μέλον ἔτι σοι ἔσται τοῦ λαληθέντος· οὐδὲ

σε

σε τ ἐν λόγοις ἤδη μάλα πλουτεῖν ἀπαρξάμενον, καὶ χρέως ἐνόμιζον τούτου σμικροτάτου μεμνῆσθαι. ὅπου λιχνεύεις τὰ εἰς λόγους μεμάθηκας, ὡς μηδὲ τὰ βραχύτατα περιορᾶν κάτω που πίπτοντα· καὶ οὕτω σοι τοῦ τῆς σοφίας πλούτου ἔπεισι γλίχεσθαι, ὡς μηδὲ τὰ ἐν λόγοις οἷον ψήγματα παρατρέχειν, ὅσα μὴ πάνυ τιμᾶται πολλοῦ. ἀμέλει καὶ ἡμῖν οὐ θέλεις ἀφιέναι, εἰ μὴ τὸ ὀφειλόμενον ἀποδώσομεν, οὐδὲ χειροκοπίαν ἡμῖν ψηφίζῃ. ἀνελίξας δέ σου τὸ τῆς ψυχῆς λογοθέσιον, καὶ ἡμᾶς ἐγγράπτους ὀφειλέτας εὑρὼν καὶ, βαρὺς ἐμπίπτεις, καὶ μικροῦ καὶ ἄγχεις, καὶ οὐκ ἀνήσειν φῄς, εἰ μὴ τὸ δέον [illegible] καίτοι [illegible]α-χὺ ἐκεῖνο καὶ μικροῦ τινος τιμώμενον, καὶ ὅπερ ἂν ἀρθὲν, οὐ πάνυ τι τὸν μὴ λαβόντα λελύπηκε. σὺ δὲ καὶ τὴν [illegible]ίτησιν ἡμῖν ἐπιγράφεις, καὶ οὕτω γίνῃ τοῦ πλείονος. ἀλλὰ τοῦτο μὲν ὁ γλυκὺς Λυεικὸς εἶχε ποιεῖν, ὃς ἐν λόγοις παμπλούσιος ὤν, εἶτα δὴ καὶ ὀφειλέτης εἶναι μαθὼν, ἐπὶ τοῦ ἀρχαίου καὶ τόκον ἡδέως προσκατετίθετο, καὶ τὸ ὀφειλόμενον λόγον ἀποδιδοὺς, προσαπεδίδου καί τινα ἐπιθήκην, καὶ ταύτην τόκον ὠνόμαζεν. ἡμῖν δὲ οὐ πάνυ ἐν εὐχερεῖ τὸ τοιοῦτον ἐστιν. οὐ γάρ κατ' ἐκεῖνό μοι τοῦ λόγου χρυσίτης καὶ ἀνὰ τὰς φλέβας εἰς δαψιλείαν ὑπήνοιξε μεταλλείας ἐπιεικῶς, ἀλλὰ πάνυ τὰ ἐς λόγους πενόμεθα. ἀγαπητὸν οὖν εἰ καὶ τὸ ἀρχαῖον τὸ ὀφειλῆς ἀποτίσαι ἡμῖν ἐξεγγυήσεται. τοίνυν ἔχεις ἰδοὺ σοφωτάτη καὶ σεβασμία μοι κεφαλὴ, εἰ μὴ τό σοι ποθούμενον οὐκ ἔχω εἰπεῖν (ὅπη μηδὲ περιαυτολογεῖν) τὸ χρέος δ' οὖν ὅπερ αὐτὸς μὲν ἤδη πολλάκις ἀπήτησας, ἡμεῖς δὲ ἄρτι καταβαλλόμεθα. καὶ οἶδα μὲν ὅτι πολλοῖς τισι τὸ πρᾶγμα, διὰ τὸ μὴ μεγαλεῖον εἶναί τι, οὐ πάντη δόξει εὐέντευκτον. οὐκ ὀλίγοι γὰρ οἱ τὰ τοιοῦτα χαῦνοι καὶ σοβαροὶ καὶ μεγαλοπρεπεῖς. ἀλλ' ἐμοὶ τὰ τῆς ψήφου ἑτέρως πίπτουσι. κρίνω γὰρ εἶναι δέον, ἕκαστον ἐπιταχθέντα πρᾶγμά τι, καλῶς ἐκεῖνο διαχειρίζεσθαι· καὶ ὡς οὐκ ἂν ἔχοι ῥᾳδίως ψέγεσθαι, κἂν μέγα τυγχάνῃ, κἂν μικρὸν εἴη. καὶ τὸ τυχόντα τοῦ τοιούτου καλοῦ, καὶ τὸ τυχθὲν δεόντως ἐπιτελοῦντα, τοῦτον ἐγὼ τὸν ἄνδρα καὶ δεινὸν αὐτὸν καὶ σπουδαῖον καὶ δεξιὸν καλέσαιμι, παίζων τε, ὅ φασι, καὶ σπουδάζων. οἶδας οὖν καὶ αὐτὸς ὅπως ἐπιτάξας ἔχεις τὰ κάλλιστα τῆς τοῦ Διονυσίου περιηγήσεως ἀπαιθῆσαι σοι, ὅσα συντελεῖν ἔχει πρός τε ἄλλην γνῶσιν, καὶ πρὸς ἀνάπτυξιν δέουσαν, καὶ πρὸς ἐντυχίαν γραφῆς, καὶ πρὸς ἐμπειρίας συναγωγήν. προσεγανίσασθαι δὲ τοῖς ἐκείνου καὶ εἴ τι που ἄλλο προσεπιτεθῆναι χρεὼν, [illegible] τῆς Διονυσίου [illegible], καὶ ἐν στενῷ [illegible]. τοῦτο δὲ καὶ [illegible] [illegible] [illegible]

προχειρίζεσθαι, ἀφέντες παρὰ τῷ Διονυσίου βιβλίῳ κεῖσθαι ἀργὸν καὶ ἀπόθετον· ἅπαν δὲ καὶ οἷον ἀγαθὸν εἰς χρῆσιν εἶναι τοῖς καταλογάδην ἐπιβάλλουσι τῇ γραφῇ, οὐ καὶ ἄλλως τοῖς τοῦ Διονυσίου ζηλωταῖς, ἀνακινήσαντες, καὶ φιλοκάλως ἐπιλεξάμενοι· καὶ οὕτω σοφίας ἐκεῖθέν σοι κρατῆρα κερασάμενοι, κατηρτισμένον οἴνῳ γυμνῷ στεμφύλων τε καὶ λύμματος καὶ γιγάρτων τραχύτητος· ἤδη δὲ καὶ μυελὸν ὥσπερ σοφιστικόν σοι τοῦτον παρατεθείκαμεν, ὀστῶδες ἅπαν ποιητικῆς σκληρότητος ὀστρακίσαντες· ὡς ἂν τοῦτόν γε τὸν τρόπον τῷ ποιητικῷ ἐνάμιλλοι φαινοίμεθα Χείρωνι, ὃς μυελοῖς ἐξέτρεφε τὸν τῆς Θέτιδος. μᾶλλον μὲν οὖν καὶ πολλῷ βέλτιον ἐκείνου πράττοιμεν ἄν, οὔτε θηρείων ἀναλεγόμενοι μυελοὺς, καὶ οὐδὲ Ἀχιλλεῖ παρατιθέντες αὐτοὺς, μειρακίῳ Θετταλῷ, πολλῷ τὴν ὠκύτητα τῶν ποδῶν, ὃ δὴ κἂν ὁ τυχὼν καὶ πολὺς ἔχοι ἄνθρωπος· ἀνδρὶ δὲ τὰ πάντα καλῷ, καὶ ὡς ὄντως ὀλβίῳ, βασιλικῷ τὸ τοῦ γένους φυὴν, μεγαλοφυεῖ τὴν ψυχὴν, λογίῳ τὴν ἐπιτήδευσιν, λαμπρῷ τὴν σωματικὴν ἀναδρομήν· καὶ ἰδεῖν μὲν, Χαρίτων ἄγαλμά τι, τὸ δ' ἐντὸς, ὁποῖον ἄν τις τὸν ἀληθῆ καταγράψειεν ἄνθρωπον. τοῦτό τε οὖν οὕτω ποιοῦντες καθάπερ ἐπεὶ βουλομένῳ σοι, πᾶν εἴ τι νόστιμον τῆς τοῦ Διονυσίου ποιήσεως, εἰς φιλοτήσιον βρῶμα συσκευάζομεν. προσεπιτεθείκαμεν δέ τι καὶ ἥδυσμα ἑτέρωθεν διακονησάμενοι, καὶ εἰς ὅσον ἦν δέον ἐπιλεξάμενοι πρός τε συμμετρίαν, καὶ ὡς ἦν εὔκαιρον. καὶ οὕτω τὴν βρῶσιν ταύτην ἐπιπλέον ἀγλαΐζομεν, ἀρτύοντες, καὶ ταῖς πολλαχόθεν καρυκείαις ἐπικοσμοῦντες· ὡς ἂν μὴ πάντῃ γλισχρὸν ἡμῖν εἴη τὸ τῆς δεξιώσεως, οὐδὲν προστιθέντες ἀπηρτημένον, καὶ οἷον μὴ τῆς τοῦ Διονυσίου περιηγήσεως ἔχεσθαι· (ἦν γὰρ ἂν τὸ πρᾶγμα περίεργον, καὶ φιλοτιμία κενὴ, καὶ φαύλη δοξοσοφία, καὶ μακρᾶς τινος γεωγραφίας ἀπόκεισίς τε καὶ νόθευσις) αὐτοῖς δὲ τοῖς τοῦ Διονυσίου ἐμμένοντες· καὶ τὰ μὲν ὡς ἐν παραφράσεως λόγῳ μεταποιοῦντες, καὶ οὕτως ἀναπτύσσοντες, τὰ δὲ καὶ ~~αὐτοῖς ἄνωθεν~~ ἐξαγγέλλοντες· ἔστιν δέ τι καὶ προσεπιτεθεῖσθαι χρὴ, ἐπιτιθέντες καὶ αὐτὸ, καὶ οὕτω τὸ λεπτὸν τῆς ἱστορίας ὡς οἷον [illegible]εῖν συμμέτρως παχύνοντες, καὶ τὸ μικρὸν ὑποκείμενον ἠρέμα μεγεθύνοντες. οὐκοῦν περιεργαστέον πάντῃ τὸ καταπραχθὲν, εἴπερ ἐντελῶς τὸ ἐπιταχθὲν πεπεράτωται. διά τοι τοῦτο θαρρεῖν ἔπεισί μοι ὡς οὐκ ἂν ἀπόβλητον τῷ πανσεβάστῳ σου ὕψει τουτὶ τὸ πρᾶγμα πεσεῖται, ὅτι τε κατὰ τὸ ποθούμενόν σοι τετέλεσται, καὶ ὅτι ὁ τὸν Διονύσιον φιλῶν, ἔχοι ἂν ὁμοίως καὶ περὶ αὐτὸ διατίθεσθαι. καλὸς μὲν γὰρ ὁ Διονύσιος, καὶ γλυκὺς ᾄδειν, καὶ φράζειν γοργὸς, καὶ ποικίλος τὴν ἱστορίαν, καὶ πολλῶν ἀνθρώπων ἰδὼν ἄστεα, καὶ νόον γνοὺς ὀφθαλμῷ καὶ διδασκάλῳ μουσῶν. οὗτος δὲ ὁ καθ' ἡμᾶς ὑπομνηματισμὸς

μανησμὸς

μαπισμὸς τῷ τοιούτῳ Διονυσίῳ συμπρέπει πρὸς ἅπερ ἀκροατὴς φιλόλογος ἀκούειν γλίχεται. εἴτε γὰρ τελειωτέροις ὁ Διονύσιος ὁμιληταῖς ἐπιτροχάδην ἐλάλησέν ποτε, πρὸς ἀνάμνησιν ὁ λόγος οὗτος ἐπεξεργάζεται, πλατύνων τὰ καίρια, διὰ τὴν ἄρτι τῶν εἰσαγομένων ἁπλότητα· εἴτε καὶ ἄλλως ἐκεῖνος πρὸς εἰσαγομένους λέγει, ἀλλὰ τὸ παρὸν ὑπόμνημα, διὰ τοὺς φιλακροάμονας, πλείω λαλεῖ· καὶ οὐκ ἀναπληροῖ μὲν ὡς ἀτελῆ εἰπόντα τὸν Διονύσιον, οἷς δὲ ἐκεῖνος ἐχρήσατο, πλατυκώτερον ἐπεξέρχεται, ὡς περιττῷ λόγῳ πεζῷ, καὶ, ὡς οἷον εἰπεῖν, ἐκμυζῶν τῆς ἐκείνου ἱστορίας ἅπαν εἴ τι νόστιμον, προσαναπλατύνει ἄλλων αὐτῶν καὶ τὸ λεχθὲν ἰσχνῶς, ἐξάγει πλατύτερον, καὶ τὸ τοῦ ἀκροατοῦ λίχνον ἐκθεραπεύει. καὶ τὸ πολὺ δὲ τοῦ πόνου παραιτεῖται, ὡς ἂν ἅπερ ἑτέρωθέν ποθεν ἔμελλεν ἀναλέγεσθαι ἀκροώμενος, ἀπονητὶ ἐντεῦθεν ἔχοι κτᾶσθαι, κατά τινα ὑπομνηματισμὸν, ὅσα γε ἥκει πρὸς τὸ μέτριον. ἤδη δέ που καὶ εἰς τὸ ἀναγκαῖον τοῦ πράγματος. Διονυσίῳ γὰρ ἐμέλησεν ὁλικῆς τινος περιηγήσεως γῆς καὶ ἐθνῶν ἐπιλεύσεως. πόθεν δὲ ἢ τοῖς τόποις αἱ κλήσεις, ἢ τοῖς ἔθνεσιν, ἤ τινα ἐπ' αὐτοῖς συμπτώματα, οὐ πάνυ τι ἑκασταχοῦ ἐκεῖνος ἐν λόγῳ θέσθαι ἠθέλησεν. ἡμῖν δὲ εἰς ὅσον ἐπιβάλλει, συγγενῶς τοῖς τοῦ Διονυσίου τὸ τοιοῦτον φυλαχθήσεται. καὶ τοῦτο πραγματευόμενοι, οὐ διορθούμεθα τὸν περιηγητὴν, οὔτε τι τῶν δῆθεν ἐλλειφθέντων οὐ δεόντως ἀναπληροῦμεν, ὡς καὶ ἀνόπιν ἔφαμεν, ἀλλὰ τὴν τῆς μετρικῆς ἐπιλεύσεως ἀνάγκην παραμυθούμεθα, διὰ τὸ λίχνον τῆς ἀκροάσεως. εἰ γάρ τις φιλομαθεῖν εἰδὼς, εἶτα δὴ ἀκούσας τοῦ Διονυσίου γῆς Βοιωτῶν, καὶ Λοκρῶν, καὶ Θεσσαλῶν, καὶ Μακεδόνων ἐν δυσὶν ἔπεσι μνησαμένου πρὸς μόνον ὄνομα, καὶ μηδὲν τι πλέον ἐξιστορήσαντος περὶ αὐτῶν, οὐκ ἂν εἰς δέον λιχνεύσηται πλατύτερον μαθεῖν τι περὶ αὐτῶν; ποθήσοι δ' ἂν ὁ φιλομαθὴς, οἶμαι, καί τι περὶ Μυσῶν ἀκοῦσαι, ὡς δ' αὔτως καὶ περὶ Βεβρύκων. οὐκ ἀναπαύσει δ' αὐτὸν οὐδὲ τὸ τῆς Λιβύης, οὐδὲ μὴν τὸ τῆς Ἀσίας, οὔτ' οὖν Εὐρώπης ὄνομα ψιλὸν, εἰ μή τι καὶ περὶ τούτων αἰτιολογουμένων γνώσεται. τὸ δ' ὅμοιον καὶ ἐπὶ ἄλλων ζητήσει χωρῶν· καὶ μέντοι καὶ περὶ πόλεων. τοῦτον δὴ τὸν πόθον τοῖς ἀκροαταῖς ἀναπιμπλῶντες ἡμεῖς, βραχύ τι περὶ ἑκάστου ὅπη δέον εἰπόντες, ἀπαλλαγησόμεθα, οὐχ ὅσον εἰς φιλοτιμίαν, ἀλλ' εἰς τὸ καίριον. καὶ Διονύσιος μὲν δρακὶ τῆς ὅλης ὥσπερ ἐπιλαμβάνεται γῆς, ὡς ἐντεῦθεν αὐτὴν στενοῦσθαι, καὶ μηδὲ ἀμφιλαφῶς τὰ πολλὰ ἔχειν· τὸ δὲ γράμμα τοῦτο εὐρυτέραν αὐτὴν ὑπανοίγει, καὶ οἵαν ἀμφοτέραις ἔχειν τινὰ [illegible] αὐτῆς· καὶ διὰ τοῦτο ἔχει [illegible] πλέον τι γλαφυρώτερον. καὶ [illegible] οὕτω δηλοῦν οἷον ἡμῖν τὸ καλὸν [illegible]

εἴ τι τῶν τοῦ Διονυσίου κάλλιστον, καὶ ὁπωσοῦν ἀγαθὸν εἰς χρῆσιν, εἴτε καὶ γνῶσιν· προσεπεξείργασαι δὲ μετρίως καὶ εἴ τι τούτοις ἑτέρωθέν ποθεν σύμφωνον εἴη, καὶ κατὰ συγγένειαν συνότροφον. εἰ τοίνυν τὰ τοῦ ὑπομνήματος τούτου συμπρέπει τῷ Διονυσίῳ, εἰκότως ἂν ἔχοι καὶ τὸ τῆς εὐνοίας κοινόν. οὗτος γὰρ σοφὸς μὲν Ὅμηρος, ἀγαθὸς δὲ καὶ ὁ τὰ εἰς ἐκεῖνον λαλῶν· καὶ ἀμφοῖν κοινὸν, τὸ τοῦ κέρδους ἢ τοῦ τέλους καλόν. τὸ δὲ ὅμοιον καὶ ἐπὶ τοῦ Διονυσίου καὶ τῶν ἄλλων σοφῶν. εἴη ἂν οὖν ἡμῖν τουτὶ τὸ δῶρον, ᾧ δεξιούμεθα τὴν σὴν ἀξιοσέβαστον κορυφὴν, ὁ Διονύσιος οὐκέτι ποιητὴς, ἀλλὰ λύσας τὸ μέτρον, καί σοι καταλογάδην τὰ πλείω λαλῶν· οὐ στενολεσχῶν, ἀλλὰ πλατύτερον ἑαυτὸν ἀνακαλύπτων οἷός ἐστι, καὶ ἐκ μετρικῆς συνθήκης εἰς πεζολογίαν ἀναλυόμενος τὰ πολλά· οὐ μόνον ᾄδων, ἀλλὰ καὶ λέγων, ὅπου τὰ τῆς ᾠδῆς ἡμῖν οὐκ ἔχει καιρόν· καὶ οὕτως ἀντὶ ἁπλοῦ γινόμενος οἷον δίγλωσσος· οὐ πάντως μετέωρος, οὐδ' ἐκ μετρικοῦ τὰ πάντα λαλῶν σχήματος, ἀλλ' ἔστιν ὅπη καὶ βάδην πεζεύων· οὐδ' ἀπὸ σκηνῆς μετρικῆς τὸ σύμπαν φθεγγόμενος, ἀλλὰ πολλὰ καὶ προσωπείου δίχα ποιητικοῦ ὁμιλῶν· οὐκ εἰς τὸ πᾶν ἑρμηνέων χατίζων, εἴποι ἂν ἡ Θηβαία λύρα, ἔχων δὲ ἤδη αὐτόθεν ἐν τοῖς καιρίοις τὸ σαφὲς, ὑποβολέως ἀνενδεές. καί σοι ὡς ἐξ ἀγαθοῦ λειμῶνος ἄνθη κομίζεται ταῦτα καλὰ, ἢ καὶ ὡς ἐκ φυταλιᾶς ποικίλης τε καὶ καλῆς καρπὸς ἤδη τρόφιμος εὐγενής. καὶ τοῖς μὲν ἄλλοις ὡς ἐπί τινος μεταλλείας τὴν παρ' ἑαυτῷ χρυσῖτιν χύδην ὁ Διονύσιος παραβάλλεται εἰς καταεργασίαν ἐπίπονον, σοὶ δὲ αὐτὸν χορηγεῖ τὸν χρυσὸν ἀκίβδηλον, καὶ πρὸς μηδὲν ἐπισυρόμενον, ἐπικεκοσμημένον δὲ ἄλλως καὶ περιττότερον ἔχοντα. ὁ γοῦν φιλῶν τὸν Διονύσιον, φιλοίη ἂν καὶ τὸ παρὸν ὑπόμνημα, καὶ τὴν τῶν ἐν αὐτῷ ἀπομνημονευμάτων σωρείαν, καὶ εἰς κεστὸν ἂν ἐγγράψαιτο αὐτὸν, καί τι καλὸν λογίζοιτο πολυσύνθετον. εἴπερ οὖν καὶ σὺ μὲν φιλεῖς τὸν Διονύσιον, οὐκ ἀποστέργεις δὲ οὐδὲ τὴν ἡμετέρην παιδιὰν, [illegible]τέρως ἂν εἴη σοι τὸ δῶρον φιλητὸν, διά τε τὸν Διονύσιον, διά τε τὸν Εὐστάθιον· ἤδη καὶ ὅτι τὸ ἐπιταχθὲν πεποίηται. καὶ τοιαῦτα μὲν ἡμῖν τὰ ἐν ἔργῳ· πρὸ δέ γε τοῦ ἔργου ὀλίγα σοι προθετέον τινὰ, δι' ὧν τήν τε τοῦ Διονυσίου διάθεσιν παραδείξομέν σοι, καὶ τὸ τῆς περιηγήσεως πρᾶγμα σεμνυνοῦμεν· καὶ τί μὲν αὐτῇ δύναται παραστησόμεθα, τίς δὲ ἡ τῆς γεωγραφίας πρόθεσις.

Τίς δ' οὖν ἡ τῆς χωρογραφίας βούλησις, καὶ εἴποι δ' ἄν τις οὕτω τὰ σεμνὰ τῆς περιηγήσεως ὡς ἐν λόγῳ βραχεῖ ἐντορικώτερον. τὸ τὴν ὑπ' οὐρανὸν ἐμπεριγράφειν, τοῖς μὲν ἐν παροιμίαις λαλήσασιν, ὡς ἀδύνατον καταπραχθῆναι, πέπαικται· τοῖς δέ γε σοφισαμένοις τὴν περιήγησιν, εἰς πρᾶγμα τετόλμηται, καὶ

ὡς

ὡς οὐκ ἀδυνάτου ἀπειλήλεκται, βιασαμένοις τὴν παροιμίαν, καὶ τεχνασαμένοις τοῦ ἀδυνάτου δύναμιν. οὐ γὰρ οὕτω μικροῦ πεποιήκασιν ὅσοι τὴν τῆς οἰκουμένης πινακογραφίαν μεμελετήκασιν, ὀνυχιαίῳ που τάχα τινὶ διαστήματι τὴν ἀπείρονα περικλείσαντες, καὶ τὸ τοῦ κατὰ γῆν πληρώματος ἀπερίληπτον ἐπιπέδῳ βραχυτάτῳ, καὶ οὕτω μικρῷ διαστάτῳ ἐμπεριγράψαντες. οὗ δὴ τολμήματος κατάρξαι μὲν ἱστόρηται Ἀναξίμανδρος, Ἑκαταῖος δὲ μετ᾽ αὐτὸν τῇ αὐτῇ τόλμῃ ἐπιβαλεῖν· μετὰ δὲ, Δημόκριτος μαθητευσάμενος Θάλητι· καὶ τέταρτος, Εὔδοξος. εἰ δὲ Καρχηδόνα ὑπὸ βοὶ μετρηθεῖσαν διὰ θαύματος ὁ Διονύσιος ἄγει, ὡς καινόν τι δύσπεθεν ὅτι εἰ τηλικαύτης πόλεως διάστημα καταμετρηθείη, περιγραφὲν ὑπὸ βύρσης τμήματι, τὸ δὲ ἀμέτρητον οἰκουμένην τομαρίῳ βραχυτάτῳ στενοχωρεῖν, ἡλίκου ἂν ἔσω ἄπλετοι θαύματος; οὕτως ἐν δέοντι τολμηρὸν ἡ φιλοσοφία, οὕτω μικροῖς ἐμφαντάζει τὰ μέγιστα, ἥτις οὐ τῆς γῆς μόνον τὴν συναλοιφὴν καταναγκάζεται ταύτην, εἴτε συναίρεσιν, εἰς βραχὺ κομιδῇ συμπιέσασα, ἀλλὰ καὶ αὐτὸν τὸν οὐρανὸν συναγαγοῦσα κατασμικρύνει, καὶ ὡς οἷόν τ᾽ εἰπεῖν, κέγχρῳ παραβάλλει τὸν τηλικοῦτον. ἄλλη τις αὕτη παροιμία κατὰ τῶν ἄνω τεθεῖσα, ἀδυναμίαν ἐμφαίνουσα πράγματος, προαχθεῖσα δ᾽ ὅμως εἰς δύναμιν καὶ αὐτὴ τεχνικῶς. καὶ τῷ ὄντι τευκτόν τι ποιοῦσιν οἱ τὸν τοσοῦτον οὐρανὸν, τὴν ἀπλανῆ σφαῖραν, τὴν ἔσω τὰ πάντα σφίγγουσαν, εἰς μικρὸν σφαιρικὸν ὄγκον, καὶ, ὡς ἂν εἴποι τις, κεγχριαῖον, συστρέφουσι, καὶ εἰς δίσκου στροφὴν γογγυλίσαντες, καὶ συστείλαντες, τοῖς βουλομένοις ἀνὰ χεῖρα τιθέασι· καὶ ὅπερ ὁ μῦθος τὰς Θετταλὰς γυναῖκάς φησι μαγγανεύειν, ἐπιβουλεύσας τῇ σελήνῃ, καὶ ἄνωθεν κατασπώσας εἰς γῆν, ταὐτὸ κατεπιχειροῦσιν αὐτοὶ, οὐχ ἑνὸς ἢ δευτέρου τῶν ἄνω πλανήτων, ἀλλ᾽ αὐτοῦ ὅλου τοῦ κατ᾽ οὐρανὸν ἀπειρίτου σφαιρώματος, αὐτοῖς ἄστροις, αὐταῖς ζώναις, καὶ πᾶσι τοῖς οὐρανίοις κύκλοις καὶ τμήμασιν, ἡμῖν ἐκεῖνον καθέλκοντες. καὶ Ζεὺς μὲν ὁ παρ᾽ Ὁμήρῳ, τοῖς περὶ Ὄλυμπον θώκοις ἐμπρέπων αἰθέριος, αὐτῇ γαίῃ, αὐτῇ θαλάσσῃ τὰ κάτω μεταστοιχειοῦσιν βρενθύεται, αὐτὸς δὲ μὴ ἂν ἑλκυσθῆναι κάτω ἀλαζονεύεται. ὁ μέντοι φιλόσοφος βιαιότερον ἀντιπαλαμᾶται, καὶ τὸ τοῦ Διὸς ἐλέγχει σεμνόν· καὶ αὐτῷ οὐρανῷ καθελκύσας ἐκεῖνον, οὐχ ὑποταρτάρειον τὸν αἰθέριον τίθησιν (ὡς ἐκεῖνος πατέρα Κρόνον κάτω βαλὼν) ἀλλ᾽ ἐπὶ χεῖρα τίθησι τοῖς ἀστροθεάμοσι, καὶ ἄλλως τὰ τοιαῦτα σοφοῖς· καὶ οὐρανὸν τοῦτον τεχνασάμενος, ὡς εἰπεῖν ὑπουράνιον, ἐν αὐτῷ οἷά τινι κατόπτρῳ φαντάζει τοῖς βουλομένοις τὰ τῶν ἄνω κάτω κινήσεων· καὶ ἐπεὶ μὴ ἐξὸν ἐκ τῶν κάτω ἄνω πορεύεσθαι τὸν φιλοσοφεῖν τὰ οὐράνια θέλοντα, βιάζεταί πως

τέχνη

στέγη τὸν οὐρανόν· καὶ καθαιρήσας καὶ ταπεινώσας, οὕτω περαίνει τὰ τῆς προθέσεως. ἢ καὶ ἄλλως μὴ ἔχων ἐν οὐρανῷ θεᾶσθαι τὸν ἄνθρωπον, οὐράνιον μὲν φυτὸν ὄντα τε καὶ λεγόμενον, περὶ γῆν δὲ ὅμως εἰλούμενον, κατάγει τὸν οὐρανὸν, καὶ περίγειον τίθησιν, ὡς ἂν ὁ περὶ γῆν ἐκεῖνος οὕτω τὰ οὐράνια ἔχοι καλλιτεχνεῖν. καὶ γίνεταί τις οἷον κάθοδος οὐρανοῦ πρὸς τοὺς κάτω, προσφυέστερον ἤπερ ὁ τοῦ Ἡσιόδου μῦθος αὐτὸν κατάγει πρὸς φιλότητα γῆς· καὶ μὴν καὶ σεμνότερον, τά τε ἄλλα δὲ, καὶ ὅτι ἐκεῖνον μὲν νύκτα ἐπάγειν Ἡσίοδος λέγει, ἐπειδὰν κατέλθῃ· ὁ δὲ οὐρανὸς οὗτος, ὃν ἡ τῆς μαθήσεως θεωρία πρὸς τῇ γῇ ποιεῖ, οὐ σκότος ἐπάγειν οἶδεν, ἀλλὰ γνῶσιν τεχνικὴν φωσφορεῖ. οὐδ᾽ ἂν εἴποι τις ἐνταῦθα, —ὀρώρει δ᾽ οὐρανόθεν νὺξ, τὸ Ὁμηρικόν· ἀλλ᾽ ἐκεῖνο καὶ μάλιστα, ὡς ἄρα οὐρανόθεν ὑπερράγη ἄσπετος αἰθήρ. λαμπρὸν γὰρ ἐντεῦθεν ἀπαιθριάζει μαθήσεως φῶς. οὐρανὸν μὲν οὖν τοιόνδε Ἄρατος ἔχοι ἂν προφέρειν, καὶ ὅσοι κατ᾽ ἐκεῖνον ποιητικῶς ἢ καὶ ἄλλως καταλογάδην τοὺς τοιούτους κυλίουσιν οὐρανοὺς, μύσται τινὲς οἷον, κατὰ τὰς ᾀδομένας, προσκαθήμενοι, καὶ πρὸς ἐναρμόνιον ῥυθμίζοντες κίνησιν. Διονύσιος δὲ ὁ νῦν ἡμῖν ὁμιλῶν, τὰ περὶ τὴν γῆν κατεργάζεται, καὶ περὶ ταύτην ὡς μέτρῳ πρέπον ἔχει σπουδασμένος, πτερῷ λόγου κῦρος φερόμενος· καὶ τάχιον σύμπασαν τὴν οἰκουμένην περιιὼν, ἧπερ οἱ θρυλλούμενοι αἰετοὶ, δι᾽ ὧν ὁ τοῦ μύθου Ζεὺς τὴν ὑφ᾽ ἥλιον κατεμέτρησε· καὶ τὸν ἀκροατὴν ἑαυτῷ συμμετάγων, ἢ συνανάγων, καὶ ποιῶν συμπτερύσσεσθαι, Δαίδαλος οἷα συμπεριπτάμενον Ἴκαρον· πλὴν ὅσον ἐνταῦθα τὰ τῆς πλάσεως ἀσφαλῆ, καὶ πάντῃ πάντως ἀμφοῖν ἀκίνδυνα, καὶ ἡλίῳ ἀνεπιβούλευτα. μή τι δὲ ἄρα καὶ ἡ τοῦ χθονίου Ἑρμοῦ πορεία, καὶ ἡ χρυσῆ ῥάβδος, ἣν καθ᾽ Ὅμηρον ἔχων ἐκεῖνος πτεροῖς περικινεῖται τήν τε τραφερὰν τήν τε ὑγρὰν, ἡ τῆς περιηγήσεως αὕτη ἐστὶν ὁδός τε καὶ μέθοδος, καὶ ἡ ἀνὰ χεῖρα τοῦ τεχνίτη γραφὶς, ἡ διατυποῦσα τὸν περίγειον πίνακα· ὑφ᾽ ὧν ὁ μανθάνων προδηγεῖται ὡσπερεὶ καὶ χειραγωγεῖται, καὶ πᾶσαν ἀμογητὶ τὴν οἰκουμένην, ὡς τάχος πτεροῦ περιοδεύσας περίεισι, τοῦ νοῦ ταύτην περιδραμόντος, καὶ λόγῳ χειραγωγοῦντι καταμαθών. καὶ οὕτω μὲν ἐνταῦθα τὸν χθόνιον ἄν τις Ἑρμῆν φαντάσηται. ὅτε μέντοι τὴν κάτω ἀπαναστὰς ὁ περιηγούμενος τὸν οὐρανὸν περιοδεύει, καὶ γραμμὰς ἄγει, καὶ πόλους στρέφει, καὶ ἀστέρας μετρεῖ, μονονουχὶ ψαύων τῶν ἄνω χερσὶ, καὶ δακτύλῳ καθυποδεικνὺς τὰ ἐκεῖ, καὶ ὑπὸ γῆς μὲν ὑπανιπτάμενος, τὰ δὲ οὐράνια περιηγούμενος· τότε δὲ οὐ χθόνιος οὗτος Ἑρμῆς, ἀλλὰ (κατὰ τὸν Ποιητὴν εἰπεῖν) τὴν αὐτὴν ἐν χερσὶν ἔχων ῥάβδον πέτεται, κρατὺς, ἀργειφόντης, χρυσόρραπις. καί τις ἂν εἴποι διὰ ταῦτα κομψότερον τὴν τῆς περιηγητικῆς μεθόδου δύναμιν, οἰκειότερον ἤπερ

ἤπερ ἐπὶ τῆς καθ' Ὅμηρον Ἔριδος, τὰ μὲν πρῶτα ὀλίγην κορύσσεσθαι, περιαθρῆσαι πάντως τὰ κάτω τε καὶ περὶ γῆν, αὐτὰρ ἔπειτα ἐπὶ χθονὶ βαίνουσαν οὐρανῷ κάρη στηρίζειν, ὁπηνίκα τὰ κατ' οὐρανὸν ἐπιβάλλει θεωρεῖν ὁ περιηγούμενος. καὶ οὕτω μὲν ἂν ὡς ἐν ἐπιτόμῳ σεμνολογήσῃ τις τὸ τῆς περιηγήσεως ἀγαθόν, δίχα τε τῶν μετ' ὀλίγον ῥηθησομένων. ἃ δὲ καὶ εἰσέτι χρὴ τῷ λόγῳ προλαβεῖν, ταῦτά εἰσιν· ὅτι οὐρανοβάμονος μὲν Ἑρμοῦ Ἄρατος ἐντελὴς ὑποφήτης ὡς ἐν μέτρῳ τοῖς εἰσαγομένοις ἐμπεριλέλειπται, καλλιγραφῶν τὰ ἐν οὐρανῷ φαινόμενα· τοῦ δὲ περὶ γῆν τυχὸν τὸ πλεῖον λύοντος Ἑρμοῦ ὑποφήτης πρός γε τὸ στερρὸν Διονύσιος, ὃν ὁ νοῦς τῶν μουσῶν ἄγων, ὡς αὐτὸς κομπάσει προϊών, πᾶσαν τὴν γῆν ποιεῖ περιπολεῖν ἀπλανῶς. εἴληχε δὲ τὴν περιηγητοῦ κλῆσιν, παρὰ τὸ περιηγεῖσθαι, ὅπερ τὴν κατὰ λεπτὸν δηλοῦν ἀφήγησιν βούλεται· καθὸ καὶ τῶν ῥητόρων τινὲς, ὁ μὲν, περιήγησαί μοι τὰ ἐν ᾅδου, φησίν· ὅ ἐστιν, ἔκθου πρὸς λεπτὸν ἀφηγούμενος· ὁ δὲ περιήγησιν ὕβρεως τὴν ὁμοίαν λέγει ἀφήγησιν. τὸ δὲ περιηγεῖσθαι, καὶ περιοδεύειν λέγεται, ὡς ὅτε τις περιοδεῦσαι λέγει τὴν Πελοπόννησον. τὸ δ' αὐτό ἐστιν εἰπεῖν, καὶ καταγεγράφθαι, καὶ μετρεῖσθαι. οὕτω γάρ που καὶ αὐτὸς ὁ Διονύσιος θάλασσάν τινα ἐρεῖ καταγράψασθαι καὶ ἀναμετρήσασθαι. δεῖ δὲ εἰδέναι καὶ ὅτι πολλὰ τῶν παλαιῶν περὶ τὴν ἀληθῆ γεωγραφίαν ἐσπουδακότων, ἣν μάλιστα τῶν ἄλλων Ἀλέξανδρος ἐκ τῶν ἐμπειροτάτων, ὡς λέγεται, γραφῆς ἠκριβώσατο, δοθείσης αὐτῷ ὑπὸ Ξενοκλέους τοῦ γαζοφύλακος, πάντοθεν ὁ Διονύσιος τὸ καλὸν ἠρανίσατο, καὶ τὰ μακρὰ τῶν ἄλλων αὐτὸς ἐπιτεμὼν, συντομωτάτην ταύτην καὶ ἀκριβεστάτην γεωγραφίαν ἐξέθετο, εἰς ἐγχειρίδιον τοῖς βουλομένοις εὐσυνόπτον, οὐδέν τι τῶν τοῖς γεωγράφοις καταλειπτῶν ὑφειλόμενον. ἱστορίαις τε γὰρ παραρτύει τὸ ποίημα, φράζει δέ ποτε καὶ τόπων ἢ ἐθνῶν ἰδιότητας· χειραγωγεῖ δὲ καὶ πρὸς τὴν τῆς ἱστορίας ἀλήθειαν, ὅπερ ἐστὶ γεωγραφίας ἀρετή. παρενσπείρει δέ ποτε καί τινα μαθηματικώτερον. καὶ ὅλως οὐδέν τι τῶν γεωγραφικῶν ἀγαθῶν ἀφῆκεν, οὗ μὴ γεῦμά τι τῇ αὐτοῦ ποιήσει ταύτῃ ἐντέθεικεν· ὀλιγόστιχον μὲν τὸ ποίημα ἐκτεθειμένος, ἀκροθιγῶς δὲ πάντων ἁψάμενος τῶν καλῶν, καὶ σπερματικῶς πᾶν ἐν αὐτῷ τὸ τῆς γεωγραφίας καλὸν ἐνθέμενος. τοιοῦτος δὲ ὢν οὐκ ἐνστερνίζεται τὴν τοῦ γεωγράφου πρόσρησιν, οὐ μόνον διὰ τὴν σμικρότητα τοῦ βιβλίου, ἀλλὰ καὶ ὅτι ἔργα τινὰ καὶ ἄλλα γεωγράφου εἰσὶν, ὧν οὐ πάνυ τι θιγγάνει αὐτός. πρὸς τοίνυν τὸ καθολικώτερον τῆς κλήσεως καὶ γενικώτερον ἀνάγει ἑαυτόν· ὅπερ ἐστὶν ἡ περιήγησις. ἰστέον γὰρ ὅτι περίοδος γῆς καὶ περιήγησις ταυτὸν νοῆσι, καὶ εἰς μίαν ἔννοιαν ἔρχονται. διὸ καὶ ὁ Ἀμαζεὺς γεωγράφος συγχρᾷ περὶ τὰς τοιαύτας λέξεις εἰλεῖται, οὐ μόνον γεωγραφίαν τὴν ἑαυτοῦ

ἐπιστήμην ἀξιῶν καλεῖσθαι, ἀλλ' οὐδὲ περιήγησιν καὶ περίοδον λέγεσθαι ἀπαξιῶν. καὶ οὕτω μὲν περίοδος γῆς, καὶ περιήγησις, εἰς ἕνα κατὰ πολυωνυμίαν συνάγονται νοῦν· καὶ εἰσὶν ὀνόματα γενικά, ἔχοντα ὑφ' ἑαυτὰ τήν τε γεωγραφίαν καὶ τὴν χωρογραφίαν, ἤτοι τοπογραφίαν. ὧν ἡ μὲν γεωγραφία τῆς καθόλου θεωρίας ἔχεται, καθά φασιν οἱ παλαιοί, ὡς ἐάν τις ὅλον τι ἀναγράψαιτο σῶμα. καὶ ἔστι γεωγραφία, κατ' ἐκείνους, μίμησις διαγραφῆς τοῦ κατειλημμένου ὅλου μέρους τῆς γῆς, μετὰ τῶν ὡς ἐπίπαν συνημμένων αὐτῇ. ἴδιον δέ φασιν αὐτῆς, τὸ μίαν καὶ συνεχῆ δεικνύειν τὴν ἐγνωσμένην γῆν, ὡς ἔχει φύσεώς τε καὶ θέσεως, μέχρι μόνον τῶν ἐν ὅλαις περιγραφαῖς αὐτῇ συνημμένων. καὶ τοιαύτη μὲν ἡ γεωγραφία, ἔργον ἔχουσα περὶ τὴν τῆς γῆς ἁπάσης ὁλότητα καταγίνεσθαι ὁλοσχερέστερον, καὶ οὐ περὶ λεπτὴν διεξόδευσιν. ἡ μέντοι χωρογραφία, περιήγησις μέν ἐστι καὶ αὐτὴ καὶ περίοδος γῆς, καθὰ καὶ ἡ γεωγραφία, πλὴν οὐχὶ τῆς ὅλης, ἀλλὰ μέρους τινὸς αὐτῆς, καὶ, ὡς εἰπεῖν, χώρας, ἢ χωρῶν, ἢ χωρίων τινῶν. διό περ οὐδὲ γεωγραφία λέγεται, ἤτοι τῆς γῆς ἁπάσης καταγραφή· ἀλλὰ χωρογραφία, τουτέστι διαγραφὴ χώρας τινός. φασὶ δὲ οἱ παλαιοὶ περὶ τῆς χωρογραφίας, καὶ ὅτι τὸ χωρογραφικὸν τέλος τῆς ἐπὶ μέρους ἔχεται προσβολῆς, τουτέστι τοῖς μερικοῖς ἐπιβάλλει, ἀπεναντίας τῇ γεωγραφίᾳ. ἡ μὲν γὰρ ὥσπερ ὁλότητι σώματος τῇ ὅλῃ γῇ ἐπιβάλλει, ἡ δὲ χωρογραφία μέρει τινὶ τῆς γῆς ἐπιχειρεῖ, ὡς εἴ τις ἐξ ὅλου σώματός τι ἀποτεμόμενος, τὸ ὠτίον μόνον, ἢ ὀφθαλμόν, διαγράφει αὐτό. οὕτω γὰρ ἡ μὲν γεωγραφία ὅλον τὸ τῆς γῆς ἐκτίθεται σῶμα, ἡ καταγινομένη περὶ τὰ σμικρότατα· χωρογραφία δὲ ἡ τῶν λεπτῶν σωμάτων γινομένη συναπογράφει καὶ τὰ βραχύτατα, οἷον λιμένας, κώμας ἁπάσας, δήμους, κρήνας, πόλιν πᾶσαν, ποταμὸν ἅπαντα, ὁδῶν ἐκτροπάς, καὶ τοιαῦτα πολλά. οὐχ ὅτι οὐ καταγίνεται περὶ τὰ τοιαῦτα καὶ ἡ τῆς γεωγραφίας τέχνη, ἀλλ' ὅτι σπανίως, καὶ οὐκ ἐξ ἀνάγκης, οἷα τέλος ἔχουσα τὸ καθόλου εἰπεῖν ἐν ὁλικαῖς περιγραφαῖς. χωρογραφία δὲ εἰ μὴ καὶ τοῖς βραχυτάτοις ἐπεξίουσα, οὐκ ἂν οὐδὲ χωρογραφία λέγοιτο. τῆς τοίνυν γεωγραφίας καὶ χωρογραφίας ταύτας διαφορὰς ἐχουσῶν, ὁ Διονύσιος χωρογράφῳ μὲν οὐδὲν ἔχει κοινόν, ἐγγίζει δὲ τῷ γεωγράφῳ, περιγράφων ὁλοσχερῶς τὰ περὶ πᾶσαν τὴν γῆν, καὶ περιιὼν ἐπελευστικῶς κατά τινα περιγραφὴν ὁλικήν· καὶ, ὡς εἰπεῖν, γεωγράφος ὢν συλληπτικός, οὐ χώραν ἢ χώρας περιηγεῖσθαι προθέμενος, ἀλλ' ἐν ἐπαγγελίᾳ γεωγραφίας τὸ ποιημάτιον ἐπιτόμως τὸ ἀνὰ χεῖρας ἐκθέμενος, καθάπερ ἐκ προοιμίων αὐτὸς ἀνακρούσατο σκοπὸν προγράψας μέγαν τῆς αὐτοῦ εὐσυνόπτου ποιήσεως, ὡς ἔπος εἰπεῖν, τό, γαῖαν καὶ εὐρέα πόντον ἀείδειν· καὶ οὕτω "Γαῖαν ὁμοῦ καὶ πόντον

ἐνὶ

"ὡς ζωώσας ἀγοςῷ", τοῦτο δὴ τὸ περὶ Τυφῶνος περασίως λογοποιηθέν. Ἔστι δὲ ὁ Διονύσιος οὗτος κατὰ τὴν παλαιῶν θεωρείαν τοῖς πλάσμασι γλαφυρὸς, μεταδιώκων τὸ ἀνθηρὸν, οἷά τις γραφεὺς ἄριστος, καὶ ἀναλεγόμενος ἀντὶ μὲν συμμετρίας, φασὶ, γραφικῆς τὰ τῶν ὀνομάτων εὐσυνθετα· ἀντὶ χρωμάτων δὲ, τὰς ἀνθηροτέρας τῶν λέξεων. πυκνὸς δέ ἐστι καὶ τὴν συμπλήρωσιν καὶ τὴν ἐπανάληψιν, συχνὰ καὶ τοιούτοις διὰ σαφήνειαν ἀγλαϊζόμενος σχήμασι. καὶ δειμείαις δὲ, ὡς φανήσεται, πολλαχοῦ χρῆται ταῖς λέξεσι, καὶ μὴν καὶ ἀναπτύξεσιν ἐτυμολογικαῖς. ἔστι δὲ οὐ καὶ ἐνδιάθετα λαλεῖ· ὃ δὴ ποιεῖν δυσχερὲς ἐν περιηγήσει. παρεναπείρει δέ τινα καὶ βασιλικὰ εὐφυῶς ἐγκώμια. καὶ γνωμολογικῇ δὲ φιλοσοφίᾳ σπανίως μὲν, διὰ τὴν τῆς περιηγήσεως ἀνάγκην, εὑρίσκεται δ' οὖν ὅμως χρώμενος· πρὸς μέτρον τε ἄλλων, καὶ διαλέκτοις ποικιλλόμενος, καὶ μύθῳ χρῆσθαι συμμέτρως οὐ κατοκνῶν, καὶ πλασμάτων χρώμενος πιθανότητι· ὅπῃ τε παρείκοι ἐμπλατυνόμενος καὶ ἐκφράσεσιν, ἐμπλέκων δὲ γε καὶ ἱστορίας. καὶ διὰ πάντων ὅλως ἥκει καλῶν, καὶ, ὡς προγέγραπται, χειραγωγῶν οὐ τῷ νόμῳ γεωγραφικῷ πρὸς ἀλήθειαν· φιλοσοφῶν δὲ καὶ πρὸς μάθημα, ἐν οἷς περὶ τοῦ Κρονίου ὠκεανοῦ διαλαμβάνει, καὶ τῆς ὑμνουμένης νήσου τῆς Θούλης, καὶ τοῦ ὑπὸ τὸν καρκίνον κλίματος· καί τινα καὶ εἰς φύσιν προχώτατον, ὡς ὅτε τῆς τῶν Τρωγλοδυτῶν γῆς τὸ πολύχρωμον αἰτιολογεῖ· ἤδη δὲ καὶ εἰς θεολογίαν ἀναβαίνων, πρὸς αὐτῷ τῷ τέλει τοῦ βιβλίου, ἡνίκα τὰς τῶν περὶ γῆν διαφορὰς θεωρεῖ. μούσας δὲ καλεῖ μὲν, ὡς ποιηταῖς ἔθος, οἷα δὲ φιλόσοφος, σύγγραμμα μετιών. τάχα δὲ καὶ διὰ τὸ καινοπρεπέστερον, οὐ πρώταις αὐταῖς Ὁμηρικῶς ἐντυγχάνει, οὐδ' εἰς αὐτὰς αὐτίκα τρέχει, ἀναζεύξας τὴν βαλβῖδα τοῦ λόγου· ἀλλ' ὅτε πρὸς ταῖς ἀκμαῖς τῆς περιηγήσεως γένηται, τότε δὴ αὐτὰς προσφωνεῖ. ἐπιμονητικὸς δὲ καὶ τῆς ἐν καταρχῇ εὐκρινείας ἐστί. τὸν γὰρ σκοπὸν ἐξ ἀρχῆς αὐτῆς ἐκτίθεται τοῦ συγγράμματος, ἐν ὀλίγοις ἔπεσι· μετ' οὐ πολὺ δὲ καὶ τὸ χρήσιμον τῆς περιηγήσεως ἐκτίθεται, γνῶσιν αὐτὸ εἶναι λέγων τοῦ ἀκροατοῦ, καὶ διδασκαλίαν αὖθις ἐκ τοῦ μαθόντος εἰς ἄλλους οὐκ εἰδότας, καὶ τιμὴν ἥτις ἐντεῦθεν τῷ διδάσκοντι περιγίνεται. ὅτι δὲ καὶ εἰς ἄλλα πλείω καὶ ἀναγκαιότατα χρήσιμα τὰ τῶν περιηγήσεων, δηλοῦσιν οἱ παλαιοὶ, λέγοντες ὅτι τε βιωφελὴς ἡ περιήγησις, καὶ ὅτι νοῦν συνάγει τῷ ταύτης ἐμπείρῳ, καὶ ὅτι στρατηγοῖς μάλιστα καὶ βασιλεῦσι σύμφορος ἐστι· καὶ ἄλλα τοιαῦτα. ἱστοροῦσι δὲ καὶ ὅτι διὰ τὸ ταύτης χρήσιμον, Ἡρακλῆς καὶ Διονύσιος ἐξετόπιζον ἑαυτοὺς, τὴν τῶν κλιμάτων γνῶσιν σπουδάζοντες· καὶ ὅτι καὶ Ἀλέξανδρος διὰ τοῦτο ἐφιλοτιμήσατο τὸν ἑῷον ἱστορῆσαι ὠκεανόν.

καὶ

καὶ Σέσωστρις δέ, φασίν, ὁ Αἰγύπτιος πολλὴν περιεληλυθὼς γῆν, πίναξί τε δέδωκε τὴν περίοδον, καὶ τῆς τῶν πινάκων ἀναγραφῆς οὐκ Αἰγυπτίοις μόνον ἀλλὰ καὶ Σκύθαις εἰς θαῦμα μεταδοῦναι ἠξίωσεν. καὶ Πλάτων δέ, φασί, τοῦ πράγματος ἐρῶν, οὐ μόνον ἐπὶ Σικελίαν ἀλλὰ καὶ ἐπ᾽ Αἴγυπτον ἀπεδήμησεν. σεμνύνει δὲ καὶ τὸν Ὁμηρικὸν Ὀδυσσέα οὐχ ἧττον τῶν ἄλλων, τὸ πολλῶν ἀνθρώπων ἰδεῖν ἄστεα, καὶ νόον γνῶναι. καὶ οὕτω συνάγουσιν οἱ παλαιοὶ ἐκ πολλῶν, τὴν περιήγησιν, φιλόσοφον εἶναί τι χρῆμα καὶ βασιλικόν. καὶ τοιαῦτα μὲν τὰ χρηστὰ τῆς περιηγήσεως.

Περὶ τοῦ γένους ΔΙΟΝΥΣΙΟΥ, καὶ τοῦ παρόντος αὐτοῦ ποιήματος.

ΔΙΟΝΥΣΙΟΣ δέ, Λίβυς μὲν ἱστορεῖται τὸ γένος· συγγράψαι δὲ καὶ ἄλλα βιβλία λέγεται, Λιθιακά τε καὶ Ὀρνιθιακά, καὶ Βασσαρικά. ὧν τὰ μὲν Λιθιακὰ ἐκρίθησαν ἴδια Διονυσίου καὶ αὐτά, διὰ τὴν τοῦ χαρακτῆρος ὁμοιότητα· τὰ δὲ Βασσαρικά, διὰ τὴν τραχύτητα οὐκ ἄξια τούτου κριθέντα, εἰς τὸν Σάμιον ἀνηνέχθησαν Διονύσιον· τὰ δὲ Ὀρνιθιακὰ εἰς ἄλλον τινὰ Φιλαδελφέα Διονύσιον, ὅν, διὰ λέξεως ἀκυρολογίαν, ἐπεκάλουν διάκενον. τὸ δὲ παρὸν ποίημα, ἱστορικὸν καλοῦσιν οἱ παλαιοί, συγκείμενον ἐκ τοπικοῦ, καὶ πραγματικοῦ, καὶ χρονικοῦ, καὶ γενεαλογικοῦ· εἰς ἃ διαιρεῖσθαι τὴν ἱστορίαν φασί. ἐκ μὲν τοπικοῦ, ὅτι καὶ ὁ πᾶς ἐνταῦθα τοῦ βιβλίου σκοπός, τόπων γῆς ἐστι περιήγησις· πραγματικοῦ δέ, ἐν οἷς ἄλλα τέ τινα ἱστορεῖ, καὶ ἐθνῶν ἔθη ἐκτίθεται· χρονικοῦ δέ, ὡς ὅτε χρόνου μέμνηται καθ᾽ ὃν αὐτὸς περιῄειν, ὅτι δηλαδὴ οὐκ ἐπὶ τῶν ὑπάτων, ἀλλ᾽ ἐπὶ τῶν ἀνάκτων· γενεαλογικοῦ δέ, οἷον ὅτε τοὺς Σαυρομάτας ἐξ Ἀμαζόνων εἶπε κατάγεσθαι, καὶ ἐκ Λελέγων τοὺς ἐπιζεφυρίους Λοκρούς. οἱ δ᾽ αὐτοὶ παλαιοὶ ἐπαινοῦσι καὶ τὸ προοίμιον τοῦ παρόντος βιβλίου, ὡς τὰς ἐπιβαλλούσας ἔχον ἀρετάς. φασὶ γὰρ ὅτι ἀρεταὶ προοιμίων, περιοχή, προσοχή, καὶ συμπάθεια. ὧν ἡ μὲν περιοχὴ τέλος ἔχει τὸ προεκθέσθαι τὸν τοῦ ἑξῆς λόγου σκοπόν· ἡ δὲ προσοχὴ ἐπιστρέφει τὸν ἀκροατήν, καὶ ὅλον εἶναι τοῦ ἔργου ποιεῖ· ἡ δὲ συμπάθεια καὶ πρὸς ἐπιείκειαν καὶ πρὸς συγγνώμην τοῦ λέγοντος προκαλεῖται τοὺς ἀκροατάς. καὶ Διονύσιος οὖν (φασί) σκοπὸν τοῦ βιβλίου ἐν προοιμίῳ εἰπών, τὸ μέλλειν γαῖάν τε καὶ εὐρέα πόντον ἀείδειν, προσοχήν τε ἐποίησε, κινήσας τὸν τοῦ ἀκροατοῦ νοῦν, ὡς ἐπὶ μεγάλῃ τῇ ὑποσχέσει· οὐ μὴν δὲ ἀλλὰ καὶ περιοχὴν κεφαλαιώδη τοῦ ὅλου βιβλίου τούτῳ τῷ τρόπῳ ἐξέθετο. ἐν δὲ τῷ, ἀνδρῶν ἄκριτα φῦλα, συμπάθειαν ἐξεκαλέσατο καὶ ἐφειλκύσατο, οἷα

συγγνώμης

συγγνώμης τευξόμενος, εἴπου φανείη ἀσθενὴς περὶ τὴν τῶν οὕτω πολλῶν καὶ ἀκριβῶν ὑφήγησιν. πολὺ δὲ τὸ σαφὲς ἡ παροῦσα ποίησις ἔχει, καὶ μάλιστα καὶ τὸ εὐκρινές, ὡς προείρηται, οὐ μόνον διὰ τῶν ἐπαναλήψεων, καθάπερ ἔφαμεν, καὶ τῶν συχνῶν συμπληρώσεων, ἀλλὰ καὶ διὰ τῶν πυκνῶν προεκθέσεων. ὅπου γε καὶ τρόπους διδασκαλίας ὁ Διονύσιος ἐν πολλοῖς ἐκτίθεται δι' εὐκρίνειαν· προλέγων ὅτι τοιῶσδε τὸ διδασκάλιον προχειρίσεται. πολλαχοῦ δὲ καὶ προσέχειν προσκαλεῖται τὸν ἀκροατήν, ὡς ἂν μὴ ἐξυπνιάζων αὐτὸς νομίζῃ περιηχεῖσθαι τούτων ἀδιακρίνητα. πολὺ δὲ καὶ τὸ κάλλος ἔχει τὸ συγγραμμάτιον τοῦτο, καὶ οὐδενὸς ὅλως ἀμοιρεῖ τῶν πολλῶν ποιητικῶν καλῶν τὸ μικρὸν τῆς ποιήσεως τοῦτο σωμάτιον. εἰ δὲ τινας ἔχει καὶ κῆρας βραχυτάτας, καθά που σῶμα καλὸν δοθιῆνάς τινας οὐ προφανεῖς τοῖς πολλοῖς, ἢ λειχῆνας παρεμπεφυκότας οὐκ ἐν καιρῷ, ἀφ' ὧν ἥκιστα τὸ πολὺ τοῦ κάλλους ἀχρειοῦται, σκεπτέσθωσαν οἱ περίεργοι, καὶ οὐ πάνυ φιλόκαλοι. ἡμεῖς γάρ, οὐ μυῖαι τοῖς ἕλκεσιν ἐφιζάνουσαι, μέλισσαι δέ, τοῦ τῶν μουσῶν λειμῶνος τὸ κάλλιστον ἐμπαιδίζουσαι.

ΔΙΟΝΥΣΙΟΥ

ΟΙΚΟΥΜΕΝΗΣ ΠΕΡΙΗΓΗΣΙΣ.

ΑΡΧΟΜΕΝΟΣ [1] γαῖάν τε καὶ εὐρέα πόντον ἀείδειν,
Καὶ ποταμοὺς, πόλιάς τε, καὶ ἀνδρῶν ἄκριτα φῦλα,
Μνήσομαι ὠκεανοῖο βαθυῤῥόου· ἐν γὰρ ἐκείνῳ
Πᾶσα χθὼν, [2] ἅτε νῆσος ἀπείριτος, ἐστεφάνωται.
Οὐ μὴν πᾶσα διαπρὸ περίδρομος· ἀλλὰ διαμφὶς
Εὐρυτέρη βεβαυῖα πρὸς ἠελίοιο κελεύθους,
Σφενδόνῃ [3] εἰοικυῖα. [4] μίαν δέ ἑ καίπερ ἐοῦσαν

ΕΥΣΤΑΘΙΟΥ ΤΟΥ ΤΗΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ἀρχιεπισκόπου ὑπομνήματα εἰς Διονύσιον τὸν περιηγητήν.

Ἀρχὴ τῶν ἐκ τοῦ κειμένου παρεκβολῶν, καὶ λοιπῶν ἐπιβολῶν.

1. Ὅτι τὸ τοῦ περιηγητοῦ ἐνταῦθα προοίμιον ἐκ Πινδαρικῆς ᾠδῆς παρείληπται. Πίνδαρος μὲν γὰρ ἐν τῷ ἐπαινεῖν ἀθλοφόρον τινὰ Κορίνθιον, προοιμιάζεται ὅτι, "Ὀλυμπιονίκαν ἐπαινῶν "οἶκον, γνώσομαι ὀλβίαν Κόρινθον". ὑφ' ἧς δηλαδὴ ὁ οἶκος περιέχεται, ὡς μέρους αὐτῆς. ὁ Διονύσιος δὲ, μιμησάμενος ἐκεῖνον, ἐνταῦθά φησιν, Ἀρχόμενος γαῖάν τε καὶ εὐρέα πόντον ἀείδειν, καὶ ποταμοὺς, καὶ πόλεις, καὶ ἀνδρῶν φῦλα, μνήσομαι ὠκεανοῦ βαθυῤῥόου· τοῦ τὴν γῆν δηλονότι καὶ τὰ ἐν αὐτῇ περιειληφότος, καὶ ἐν ᾧ πᾶσά ἐστιν ἡ γῆ. ὁμοίως οὖν ἄμφω ἐσχημάτισται τὰ προοίμια. τὸ δὲ ἐν τῷ ὠκεανῷ τὴν χθόνα πᾶσαν εἶναι, παρακατιὼν ἄλλως φράζει, λέγων, Πάντη δ' ἀκαμάτου φέρεται ῥόος ὠκεανοῖο, καὶ ὠκεανὸς περιδέδρομε γαῖαν ἅπασαν. τοῦτο δὲ σύμφωνόν ἐστι τῷ Ὁμηρικῷ τῷ, ἀψόῤῥου ὠκεανοῦ. πάντως γὰρ ὠκεανὸς ἀψόῤῥοος, ὁ εἰς ἑαυτὸν ὁρμῶν, ἤγουν ἐπανιὼν, καὶ εἰς κύκλου σχῆμα περιαγόμενος, καὶ οὕτως ἐναποκλείων ἑαυτῷ τὴν γῆν· καθὰ καὶ Ὀρφεὺς ἐν τῷ περὶ Διὸς καὶ Ἥρας φησὶ, λέγων,

Κύκλον ἀκαμάτου καλλιῤῥόου ὠκεανοῖο,
Ὃς γαῖαν δίνῃσι πέριξ ἔχει ἀμφιελίξας.

ὡς τοῦ ὠκεανοῦ περιειληφότος τὴν γῆν, καθὰ καὶ Ἐρατοσθένης δοξάζει· οὗ ζηλωτής ἐστιν ἐν πολλοῖς ὁ τὸ οἰκουμενικὸν τοῦτο σύνταγμα μέτριον ποιησάμενος. διὸ καὶ ἐστεφανῶσθαι τὴν γῆν φησιν, ἤτοι κύκλῳ περιειλῆφθαι, τῷ ὠκεανῷ, ἅτε νῆσον. ἐπεὶ δὲ τὸ ἐστεφανῶσθαι, ὑπεμφαίνει τὸ κατὰ κύκλου περιαγωγὴν ἀκριβῆ καὶ περιφέρειαν ἰσοδιάστατον τὴν γῆν ὑπὸ τοῦ ὠκεανοῦ περιέχεσθαι (ὅπερ οὐκ ἀληθές ἐστι, καθάπερ καὶ Ἡροδότῳ δοκεῖ, λέγοντι, μὴ ἀποδέχεσθαι τοὺς λέγοντας κυκλοτερῆ τὴν γῆν ὡς ἀπὸ τόρνου) ἐπάγει πρὸς διόρθωσιν τὸ, οὐ μὴν πᾶσα διαπρὸ, ἤτοι διόλου, περίδρομος, ἀλλὰ δηλαδὴ προμήκης, ὡς ῥηθήσεται, δίκην σφενδόνης. τοιαύτη γὰρ τὸ σχῆμα ἡ οἰκουμένη γῆ, καθὰ καὶ Ποσειδωνίῳ δοκεῖ. διὸ καὶ εἰς δύο κώνους τέμνεται ἡ οἰκουμένη, ὡς ἐν τοῖς μετὰ ταῦτα ἐρεῖ ὁ Διονύσιος· ὧν ὁ εἷς μὲν, ὁ

ἀποτελῶν

DIONYSII
ORBIS DESCRIPTIO.

INCIPIENS terram & latum mare canere,
Et fluvios, urbeſque, & hominum nationes indiſcretas,
Mentionem faciam oceani profunde-fluentis: illo enim
Tota tellus, tanquam inſula immenſa & interminata, eſt cincta.
Non tamen tota prorſus rotundum circuitum habet: ſed utrinq;
Latior (*magis extenſa*) vergens ad ſolis vias,
Fundæ ſimilis. una autem ipſa quamvis ſit,

ΕΥΣΤΑΘΙΟΥ ΤΟΥ ΤΗΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
ἀρχιεπισκόπου ὑπομνήματα εἰς Διονύσιον τὸν περιηγητήν.

Ἀρχὴ τῶν ἐκ τοῦ κειμένου παρεκβολῶν, καὶ λοιπῶν ἐπιβολῶν.

ἀποτελῶν τὴν Ἀσίαν· εἷς δὲ, ὁ ἐκ τῆς Εὐρώπης καὶ τῆς Λιβύης ἀπαρτιζόμενος. τῆς δὲ τοιαύτης οἰκουμενικῆς σφενδόνης τὰ ὀξύτερα μὲν πρός τε τῇ ἀνατολῇ εἰσὶ καὶ πρὸς τῇ δύσει, ἃ δὴ κελεύθους ἡλίου καλεῖ· τὰ εὐρύτερα δὲ πρός τε τοῖς ἀρκτώοις κεῖται μέρεσι, καὶ τοῖς νοτίοις. ὥστε τῶν δύο κώνων ὁμοῦ κατὰ τὰς βάσεις ὄντων, τὸ μὲν κατὰ τὰς κορυφὰς ὀξὺ, πρὸς ἕω κεῖσθαι καὶ δυσμάς· τὸ δὲ κατὰ τὰς βάσεις εὐρὺ, πρὸς νότον καὶ βορρᾶν. –

2. Ὅρα δὲ ὅτι νῆσον εἰπὼν τὴν ἀπείρονα γῆν, εὐτελῶς καὶ σμικροπρεπέστερον, αἰνίσσεται ἄλλως τὸ τῆς κλήσεως ταπεινὸν, διὰ προσθήκης ἐπιθέτου σεμνοῦ, καὶ ἐπῆρεν εἰς ὕψος τὸ πρᾶγμα, οὐχ ἁπλῶς νῆσον αὐτὴν εἰπὼν, ἀλλὰ προσονομάσας ἀπείριτον, ὅπερ ταυτόν ἐστι τῷ ἀπείρονα· καὶ οὕτως ἀντιδιαστείλας αὐτὴν πρὸς τὰς ἄλλας νήσους, αἵτινες, διὰ τὸ μὴ ἄπειρον, εὐδείελοι λέγονται, τουτέστιν εὔδηλοι, εὐπερίβλεπτοι. φησὶ γὰρ ὅτι ἐν ἐκείνῳ πᾶσα χθὼν, ἅτε νῆσος ἀπείριτος, ἐστεφάνωται. δεῖ δὲ εἰδέναι ὅτι κἂν εὐρύτερα τὰ τῆς οἰκουμένης βόρεια, καὶ τὰ νότια, καθάπερ εἴρηται, ἀλλ' οἱ παλαιοὶ πινακογράφοι τῆς Εὐρώπης μὲν τὴν καταγραφὴν εὐρυνόειν λέγονται πλέον πρὸς βορρᾶν, ὡς ἂν ἔχοιεν ἐγγράφειν εὐκρινῶς τὰ ἐν αὐτῇ πολλὰ ἔθνη· τὴν δὲ Λιβύην ἀπεστένουν, ὡς ὑπερβάλλουσαν τῷ μεγέθει τῶν ἐντὸς αὐτῆς ἐθνῶν, διὰ τὸ πολὺ τῆς ἐκεῖ ἀοικήτου· ἵνα μὴ ἔγκεηται, φασὶ, τῷ πίνακι χωρεῖον διάκενον.

3. Σφενδόνῃ δὲ τὴν οἰκουμένην εἰκάζει ὁ Διονύσιος, ἢ τῷ λιθοβόλῳ ὀργάνῳ, ἢ καὶ αὐτῇ τῇ σφενδόνῃ τοῦ δακτυλίου. εἰ δέ τις ὀκνεῖ τοῦτο παραδέξασθαι, ἀφαιρείσθω καὶ τῆς τοῦ δακτυλίου σφενδόνης καὶ τὸ ὄνομα. ἔοικε γὰρ καὶ αὕτη τοιαύτη πάλαι ποτὲ οὖσα κατὰ τὸ ἀρχαῖον, ἐφ' ἑκάτερα μὲν εὐρύνεσθαι, ἐπὶ θάτερα δὲ, καθ' ὁμοιότητα τῆς ὁμωνύμου πετροβόλου σφενδόνης, συνάγεσθαι εἰς ὀξύτερον. οἱ δὲ παλαιοὶ φασὶ καὶ κόσμον τινὰ γυναικεῖον σφενδόνην καλεῖσθαι, ὁμοιοῦντα τῇ πετροβόλῳ σφενδόνῃ ὄντα, πλατὺν μὲν καὶ αὐτὸν τὰ μέσα, καὶ πρὸς τὰ μέτωπα πίπτοντα,

Ἄνθρωποι τριστοῖσιν ἐπ' ἠπείροισι δάσαντο·
Πρῶτα μὲν οὖν Λιβύην, μετὰ δ' Εὐρώπην, Ἀσίην τε.
Ἀλλ' ἤτοι Λιβύη μὲν ἀπ' Εὐρώπης ἔχει οὖρον
Λοξὸν ἐπὶ γραμμῇσι, [1] Γάδειρά τε καὶ στόμα Νείλου·
Ἔνθα βορειότατος πέλεται μυχὸς Αἰγύπτοιο,
Καὶ [2] τέμενος περίπυστον Ἀμυκλαίοιο Κανώβου.
Εὐρώπην [3] δ' Ἀσίης Τάναϊς διὰ μέσσον ὁρίζει·

ἐκ λεπτοτέρων δὲ καὶ ὀξυτέρων τῶν ἄκρων ὀπίσω δεσμούμενον. ἣν δέ, φασί, καὶ ὀπισθοσφενδόνη παρὰ τοῖς Κωμικοῖς, ἐκ τοῦ ἐναντίου τῇ τοιαύτῃ σφενδόνῃ, διὰ τὸ γελοιότερον περιτεθειμένη τῇ κεφαλῇ. καὶ ὀπίσω μὲν ἔχουσα τὰ πλατύτερα, τὰ δὲ ὀξύτερα καὶ τὸν δεσμόν, περὶ τὸ ἔμπροσθεν.

4. Ὅτι τὴν ὅλην γῆν, καίπερ μίαν οὖσαν φύσει καὶ συνεχῆ, οἱ ἄνθρωποι τριστοῖς ἐπ' ἠπείροις ἐδάσαντο. τοῦτο δὲ ἐκ τοῦ Ἡροδότου παραπέφρασται, εἰπόντος, ὅτι τῇ γῇ μιᾷ οὔσῃ τριφάσια κεῖται ὀνόματα, ἐπωνυμίας ἔχοντα γυναικῶν. εἶτα ὁ Διονύσιος, φιλοτιμούμενος ἐν ἔπει περιλαβεῖν τὰ τοιαῦτα τρία τμήματα τῆς γῆς, φησί,

Πρῶτα μὲν Λιβύην, μετὰ δ' Εὐρώπην, Ἀσίην τε.

Ἰστέον δὲ ὅτι προτάττει τῶν ἄλλων τὴν Λιβύην καὶ νῦν καὶ ἐν τοῖς ἑξῆς, οὐ κατά τινα περιηγητικὴν ἀνάγκην, ἀλλά, οἷα Λίβυς, φιλῶν τὰ οἰκεῖα, καὶ οὕτω τὸ ἑαυτοῦ ἔθνος τῶν λοιπῶν προτιθέμενος. ὁ τοίνυν Ἀμασεὺς γεωγράφος, οὐχ οὕτω προσπαθῶς ἔχων, ἄλλως μετεχειρίσατο τὴν περιήγησιν, κατὰ τῆς Εὐρώπης ἀρξάμενος, εἰς τὴν Λιβύην κατέληξεν.

1. Ὅτι πέρατα Λιβύης, ἑσπέριον μέν, τὰ Γάδειρα, περὶ ὧν ἐν οἰκείῳ ῥηθήσεται· ἑῷον δέ, τὸ Κανωβικὸν στόμα τοῦ Νείλου, περὶ οὗ μικρὸν ὕστερον εἰρήσεται. ὅτι μετὰ θάνατον Φρόντιδος (κυβερνήτης δὲ ἄριστος Μενελάου ὁ Φρόντις, υἱὸς Ὀνήτορος) ἐξωσθέντες ἀνέμῳ βορρᾷ οἱ περὶ Μενέλαον, προσίσχουσι τῇ Ῥόδῳ, ὑπὸ κυβερνήτῃ ὄντες τῷ Ἀμυκλαίῳ Κανώβῳ. τῶν δὲ Ῥοδίων τῆς Ἑλένης καταδραμόντων (περιῆλθε γὰρ αὐτοὺς μνήμη ὧν ἐν τῇ Τροίᾳ κακῶν ἔπαθον δι' αὐτήν) φεύγουσι μὲν ἐκ τῆς Ῥόδου οἱ ἀμφὶ τὸν Μενέλαον, κατάγονται δὲ εἰς Φοινίκην, ὅθεν εἰς Αἴγυπτον. οὗ δὴ ἀκεσάμενοι τὰ σκάφη καμόντα τῇ δυσχερείᾳ τοῦ πλοῦ, διέτριβον χρόνον τινά, ἐν ᾧ Κάνωβος ἀποθνήσκει· ὃν θάψας ἐντίμως ὁ Μενέλαος συνοικίζει πόλιν ἐπὶ τῷ μνήματι, τοὺς ἀχρειοτάτους τοῦ στόλου ἀφεὶς μένειν ἐκεῖ, καὶ τὴν πόλιν ἐπ' αὐτῷ Κάνωβον ὀνομάζει· ἔνθα που καὶ νῆσος τὸ Ἑλένειον, τῇ Ἑλένῃ παρώνυμος. Φασὶ δὲ τὴν Κάνωβον ταύτην Ἀλεξανδρείας ἀπέχειν στάδια ἑκατὸν καὶ εἴκοσι, πεζῇ ὁδεύουσιν. ἐκ δὲ τοῦ Κανώβου ἐκείνου τοῦ κυβερνήτου καὶ ἀστήρ, ἐκεῖ που φαινόμενος, Κάνωβος ἐπωνόμασται, ἀφανὴς μὲν τοῖς ἐν τῷ Ἑλλαδικῷ κλίματι, ἀπὸ δὲ Ῥόδου ἀρχόμενος φαίνεσθαι· ὃς ἐν τῷ μεσουρανεῖν, τε[illegible] δέκατον ζῳδίου μέρος ἀπέχειν. ὁ δὲ τὰ Ἐθνικὰ γράψας φησίν, ὅτι ἔδει μὲν Κάνωπον γράφειν τὴν πόλιν διὰ τοῦ π, γράφεται δὲ ὅμως διὰ τοῦ β. ἀπὸ δὲ τοῦ Κανώβου ἀνδρός, ἢ τῆς Κανώβου πόλεως, καὶ τὸ στόμα Νείλου, ὡς εἰκός, Κανωβικὸν ἐπωνόμασται, ὅπου, κατὰ τὸν Διονύσιον, ὁ βορειότατός ἐστι τῆς Αἰγύπτου μυχός· ὡς πρὸς τῇ ἐκεῖ θαλάσσῃ πεπερατωμένων τῶν τῆς Αἰγύπτου βορείων μερῶν. τοῦτο δέ τινες τὸ Κανωβικὸν στόμα τοῦ Νείλου καὶ Ἡράκλειον καλεῖσθαί φασι· λέγοντες ὅτι Ἡρακλῆς φέρων ἐξ ἐπιταγῆς Εὐρυσθέως τὰ χρύσεα μῆλα, καὶ θέλων

Λιβύην

Homines tres in continentes partiti ſunt:
Primum quidem Libyam, deinde vero Europam, Aſiamque.
Sed certe Libya quidem ab Europa habet terminum
Obliquum in lineis, Gades & os [*oſtia*] Nili:
Ubi maxime borealis eſt receſſus Ægypti,
Et fanum percelebre Amyclæi Canobi.
Europam autem ab Aſia Tanaïs in medio diſterminat:

Διονύσιν πᾶσαν ἐξιστορῆσαι, ἦλθε καὶ εἰς τὰ τοῦ Νείλου στόματα. καὶ δὴ καλεῖται ἀπ' αὐτοῦ καὶ ἓν τῶν στομάτων, Ἡράκλειον τὸ Κανωβικόν. ἠλευθέρωσε δὲ καὶ τοὺς Αἰγυπτίους ἁπάσης βίας· διὸ αὐτοὺς δὲ καὶ εἰς Ἄμμωνα, ἔθυσε μεγαλοπρεπῶς. καὶ οὕτω μέν τινες. ὁ δὲ Γεωγράφος διϊστᾷ, τὸ μὲν Ἡράκλειον στόμα ἱστορῶν καὶ Ἡρακλέους ἔχειν ἱερόν· τὸ δὲ Κανωβικὸν, ἀρχὴν εἶναι λέγων τοῦ ἐν Αἰγύπτῳ Δέλτα. ἐμφαίνει δὲ ἐκεῖνος καὶ τρυφᾷν τοὺς Κανωβίτας, ἐν οἷς λέγει τὸν Κανωβισμὸν καὶ τὴν ἐκεῖ λαμυρίαν. ἔστι δὲ, ὡς ἱστοροῦσί τινες, καὶ νῆσός τις Κάνωβος. περὶ δὲ τοῦ κυβερνήτου Κανώβου καὶ τοιοῦτος φέρεται λόγος· ὅτι κοιμώμενος ὁ Κάνωβος κατὰ τὸν αἰγιαλὸν περιπεπτώκει αἱμορροΐδι (ὄφεως δὲ εἶδος ἡ αἱμορροῒς, οὐκ ἔχουσα ἰθυτενῆ τὴν τὸν ὁλκὸν συνέχουσαν ὀστώδη ἄκανθαν) ἥτις αἱμορροῒς τῇ ἐπιπτάσει, φασὶ, τοῦ Κανώβου θλιβεῖσα, τὸν αὐχένα δάκνει ἐκεῖνον. ὡς δὲ ἦν τοῦ λοιποῦ ἀπέψυκτο τῷ ἀνθρώπῳ, καὶ τέθνηκεν ἐκ τοῦ δήγματος, ἡ Ἑλένη περιπαθῶς ἔχουσα, καὶ τὸ θηρίον τὴν αἱμορροΐδα συγχέουσα, ἔθλασε τὴν αὐτῆς ἄκανθαν, ἰθυτενῶς ἔχουσαν ἔτι τότε, καὶ ἐξέβαλε τοὺς περὶ τὴν ῥάχιν σφονδύλους, ἀμυνομένη οὕτω τὸ θηρίον. καὶ τὸ ἐντεῦθεν κεκλασμέναι τὰς ῥάχεις αἱμορροΐδές εἰσι. καὶ οὕτω μὲν ὁ μῦθος αἰτιολογεῖ τὸ περὶ τὴν αἱμορροΐδα φυσικὸν σύμπτωμα. ὁ δὲ λόγος πίσοι ἄν ποτε καὶ εἰς ἀνθρώπου σκῶμμα, ἐάν τις ὀφιώδης ὢν τὴν κακίαν, ἔχει τι καὶ περὶ τὴν ῥάχιν κακόν.

2. Ὅτι τὴν Κανώβου πόλιν περιφράζων, οὕτω φησὶ, τέμενος περικυδὲς Ἀμυκλαίοιο Κανώβου. τουτέστιν, αὐτὴ ἡ πόλις ἡ Κάνωβος. οὕτω καὶ κατωτέρω θέλων εἰπεῖν ἐν μιᾷ λέξει, ὠκεανὸς, φησὶ περιφραστικῶς, ἀκαμάτου ῥόον ὠκεανοῖο, ἤγουν αὐτὸς ὁ ὠκεανός. τέμενος δὲ Κανώβου, οἱονεὶ ἱερὸν, ἢ τέκος τοῦ Κανώβου ἰδιόκτιστος.

3. Ὅτι Εὐρώπης καὶ Ἀσίας νότιον μὲν μεσόριον ὁ Ἑλλήσποντος, νοτιώτατον δὲ ὁ Νεῖλος. πρὸς βορρᾶν δὲ τὴν Εὐρώπην ὁρίζει τῆς Ἀσίας ὁ Τάναϊς, ὃς ἑλισσόμενος διὰ τῆς τῶν Σαυροματῶν καὶ Σκυθῶν γῆς, εἰς τὴν Μαιῶτιν λίμνην κατασύρεται. Ἰστέον δὲ ὅτι οὐχ ἁπλῶς τὰ πρὸς βορρᾶν τοῦ Ταναΐδος τῇ Εὐρώπῃ προσνέμεται, ἀλλὰ μόνα ὅσα πρὸς δύσιν ἀπ' αὐτοῦ ἀφορίζονται. τὰ δέ γε πρὸς αὐγὰς τοῦ Ταναΐδος, τῇ Ἀσίᾳ προσλογίζονται. φησὶν οὖν προϊὼν, ὅτι ὁ Τάναϊς ἀποτέμνεται

Εἰς δύσιν, Εὐρώπην, εἰς δ' αὐγὰς,
Ἀσίδα γαῖαν.

οὐ μὴν λέγει ὅτι ἀποτέμνεται εἰς βορρᾶν μὲν, τὴν Εὐρώπην, ἐς δὲ νότον, τὴν Ἀσίαν. ὅθεν καὶ αὐτοὺς τοὺς Μαιώτας καὶ τοὺς Σαυρομάτας Ἀσιανοὺς ἱστορεῖ, διότι οὐ πρὸς δύσιν αὐτοὺς ἀφορίζει ὁ Τάναϊς. ἔτι δὲ ὡς ἐνταῦθα λέγει, ὁ Τάναϊς εἰς Σκυθίαν σύρεται βορείαν οὖσαν· καὶ ἀλλαχοῦ δέ φησι, Σκυθικοῖς ἐπιτρέχει πεδίοις. οἱ δὲ Σκύθαι Ἀσιανοί εἰσι, κατὰ τὸν Διονύσιον. οὐκοῦν ἁπλῶς Εὐρωπαῖα πάντα τὰ βόρεια τοῦ Ταναΐδος, ἀλλ' ὅσα πρὸς δύσιν ἀπ' αὐτοῦ ὁρίζονται. Ἰστέον δὲ ὅτι ὁ ποταμὸς οὗτος,

(Ος ῥά θ' ἑλισσόμενος γαίης διὰ Σαυροματαίων,
Σύρεται [1] ἐς Σκυθίην τε καὶ ἐς Μαιῶτιδα λίμνην)
Πρὸς βορέην. νότιον δὲ μεσήριον Ἑλλήσποντος·
Σῆμα δ' ὑπερτέταται νοτιώτατον ἐς στόμα Νείλου.
Αλλοι [2] δ' ἠπείροισι διὰ χθόνα νοσφίζουσιν.
Ισθμὸς ἄνω τέταταί τις ὑπέρτατος Ἀσίδος αἴης,
Κασπίης τε μεσηγὺ καὶ Εὐξείνοιο θαλάσσης·
Κεῖνον δ' Εὐρώπης Ἀσίης θ' ὅρον ηὐδάξαντο.
Αλλος δ' αὖ μακρὸς καὶ ἀθέσφατος ἐς νότον ἕρπει,
Ἀῤῥαβικοῦ κόλποιο καὶ Αἰγύπτοιο μεσηγύ·
Ος ῥά τε νοσφίζει Λιβύην Ἀσιήτιδος αἴης.
Τοῖα μὲν ἀμφ' οὔροισι βροτοὶ διεφημίξαντο.
Πάντη δ' [3] ἀκαμάτου φέρεται ῥόος ὠκεανοῖο,
Εἷς [4] μὲν ἐών, πολλῇσι δ' ἐπωνυμίῃσιν ἀρηρώς.
Ητοι ὁ μὲν [5] Λοκροῖο παρ' ἐσχατιὴν ζεφύροιο,

οὗτος, διὰ τὸ πεπαυμένως ῥεῖν. Τάναϊς Ἑλληνιστὶ καλούμενος, Σίλις, ὥς φασί τινες, παρὰ τοῖς παροικοῦσι βαρβάροις ὠνόμασται. ὅτι δὲ καὶ ἄλλοι ποταμοὶ ἐν βαρβάροις ῥέοντες ὅμως ἐξελληνίζονται τῇ κλήσει, δῆλον. τοιοῦτος γὰρ καὶ ὁ Νεῖλος, καὶ ὁ Θερμώδων, καὶ ὁ Ἀράξης, καὶ ἄλλοι πολλοί. καὶ ὁ Ἠριδανὸς δὲ οὐ βάρβαρον ὄνομα, κατὰ τὸν Ἡρόδοτον, ἀλλὰ Ἑλληνικόν, ποιηθέν, φησίν, ὑπό τινος ποιητοῦ. τοῦ δὲ Τανάϊδος ἄλλοι μέν φασι μὴ γνωρίζεσθαι τὰς πηγάς. Ἡρόδοτος δέ, ἐκ λίμνης μεγάλης αὐτὸν λέγει εἰς λίμνην ἔτι μείζονα τὴν Μαιῶτιν εἰσβάλλειν· λέγων ὅτι καὶ ἡ Μαιῶτις οὐ πολὺ ἐλάττων τοῦ Πόντου ἐστί, λεγομένη, φησί, καὶ μήτηρ τοῦ Πόντου. κἀκεῖνο δὲ εἰδέναι χρή, ὅτι Ἀρριανὸς καὶ ἄλλον Τάναϊν ἱστορεῖ Σκυθικόν, ὃν ὁ Ἀλέξανδρος ἐπικινδύνως διεπέρασεν.

1. Ὅτι τό, σύρεται ὁ Τάναϊς εἰς Σκυθίαν, καὶ εἰς Μαιῶτιδα λίμνην, καὶ τό, συρόμενος λ[illegible], καὶ τὰ τοιαῦτα, ὡς ἐπὶ ὄφεων εἴρηται τροπικῶς, οἷα τῶν ποταμῶν ὀφιοειδῶς πως ἑλισσομένων. τοιοῦτον δὲ καὶ τό, πόντος ὁλκὸν ἑλίσσων. κυρίως γὰρ ὁλκὸς τὸ σῶμα τοῦ ὄφεως.

2. Ὅτι ὁ Διονύσιος μὲν τὰς τρεῖς ἠπείρους, τὴν Λιβύην, τὴν Εὐρώπην, καὶ τὴν Ἀσίαν, τὰ μέγιστα τῆς οἰκουμένης τμήματα, ὕδασιν ἀλλήλων νοσφίζει, τουτέστι χωρίζει καὶ διαιρεῖ· καὶ τοὺς αὐτῶν ὅρους ἐξ ὑδάτων μεσολαβούντων γνωρίμους ποιεῖ, διὰ τὸ σημειωδέστερόν τε καὶ εὐκρινέστερον. ἄλλοι δὲ (οἷς οὐδὲ ἀρέσκει ὡς αὐτὸς φαίνεται διὰ τὸ δυσόριστον, καὶ οὐκ εὐκρινές) τὰς τοιαύτας τρεῖς μεγίστας ἠπείρους ἀπ' ἀλλήλων ἠπείροις ἑτέραις σμικροτέραις διαχωρίζουσι· λέγοντες, Ἀσίας μὲν καὶ Εὐρώπης ὅρον εἶναι τὸν μέγιστον καὶ πλατύτατον ἰσθμόν, τὸν μεταξὺ Κασπίας καὶ Εὐξείνου. περὶ ὃν ἰσθμὸν σὺν πολλοῖς ἄλλοις τόποις, καὶ ὁ θρυλλούμενός ἐστι τοῦ Προμηθέως Καύκασος, καὶ ἡ ἑῴα γῆ τῶν Ἰβήρων, ἡ μεταξὺ Κόλχων καὶ Ἀλβανίας. ἄλλον δὲ αὖθις ἰσθμὸν μέγαν τὸν μεταξὺ Ἀρραβικοῦ κόλπου καὶ Αἰγύπτου, ὅρον εἶναί φασι Λιβύης καὶ Ἀσίας. καὶ ὅρα ὅπως (ἰσθμοῦ λεγο-

μένου

.(Qui quidem volvens ſe per terram Sauromatarum,
Trahitur in Scythiam & in Mæotidem paludem)
Verſus boream. auſtralis autem terminus medius Helleſpontus:
Sed limes eſt ultra porrectus maxime auſtralis uſque ad os Nili.
Alii autem continentibus terram ſeparant.
Iſthmus ſurſum porrectus eſt quidam ſupramus Aſiaticæ terræ,
Caſpium inter & Euxinum mare:
Illum autem Europæ Aſiæque terminum dixerunt.
Alius vero longus & immenſus in auſtrum ſerpit,
Arabicum ſinum & Ægyptum inter;
Qui quidem ſeparat Libyam ab Aſiatica terra.
Talia ſane de terminis mortales vulgarunt.
Circumquaque porro infatigati fertur fluxus Oceani,
Unus quidem, ſed multis cognominibus inſtructus.
Nempe qui eſt ad Locri extremitatem zephyri,

μένου συνήθως. καὶ κοινότερον τοῦ μεταξὺ δύο θαλασσῶν στενοῦ τόπου) αὐτὸς, τῇ λέξει παραχρησάμενος, ἰσθμοὺς ἐνταῦθα ἐτόλμησεν εἰπεῖν τοὺς οὕτω πλατυτάτας καὶ πολυτενεῖς ἠπείρους· ὡς δηλοῖ τὸ, ἰσθμὸς τέταταί τις· καὶ τὸ, μακρὸς καὶ ἀθέσφατος ἐς νότον ἕρπει. καὶ ἐν τοῖς ἑξῆς δὲ ἠπείρου πλατὺν ἰσθμὸν λέγει τὸ μεταξὺ τοῦ Εὐξείνου πόντου καὶ τοῦ Ἰωνικοῦ κόλπου· οὗ ἐντὸς ἄσπετα, φησὶ, φῦλα ναιετάονται· ἐν τούτοις δὴ ἐκθεραπεύει τὴν τόλμαν, καὶ δοκεῖ ἀνθομολογεῖσθαι, διὰ τοῦ, τέταται, καὶ διὰ τοῦ, μακρὸς καὶ ἀθέσφατος καὶ πλατὺς, ὡς καὶ οἶδε μὲν τὸν κυρίως ἰσθμὸν, τίθησι δὲ ὅμως γενικώτερον τὴν λέξιν καὶ ἐπὶ πάσης ἠπείρου ἁπλῶς, ἣν μέσην ἀπειλήφειν ἡ ἑκατέρωθεν θάλασσα.

3. Ὅτι ἀκοίμητον τὸ τοῦ ὠκεανοῦ σθένος λέγει, διὰ τὸ τοῦ στοιχείου ἀνέκλειπτον. οὕτω δὲ καὶ πῦρ ἀκοίμητον, τὸ ἀεὶ ἐνεργοῦν καὶ ἄσβεστον, λέγεται.

4. Ὅτι ὥσπερ ἡ γῆ, μία οὖσα, εἰς τρισσὰς ἠπείρους μερίζεται, οὕτω καὶ ὠκεανὸς, εἷς ὢν, πολλαῖς ἐπωνυμίαις ἥρμοσται. κύκλῳ γὰρ περιειληφὼς τὴν γῆν, τετραχῶς τέμνεται ὁλοσχερῶς, κατὰ τὰ τέσσαρα κέντρα τοῦ κόσμου. ὁ μὲν πρὸς ζέφυρον ὠκεανὸς, Ἄτλας ἑσπέριος λέγεται, ἤγουν ἑσπέριον πέλαγος καὶ Ἀτλαντικόν. ὁ δὲ πρὸς βορρᾶν, πεπηγὼς λέγεται πόντος, καὶ Κρόνιος, καὶ νεκρὸς, ὡς μετ' ὀλίγα ῥηθήσεται. ὁ δὲ τῆς ἀνατολῆς, Ἠῷος καλεῖται καὶ Ἰνδικός. ὁ δὲ πρὸς νότῳ, Ἐρυθραῖός τε ὀνομάζεται καὶ Αἰθίοπος. σημειωτέον δὲ ὅτι ἐν οἷς μέρος τι λέγει τοῦ ὠκεανοῦ, πόντον Κρόνιον, καὶ αὖθις, Ἰνδικὸν κῦμα θαλάσσης, καὶ ἐν τῷ, αἳ εἰσὶν ἀπὸ νοτίας ἁλός, καὶ, σκιδνάμενος ἐκ Κρονίας ἁλός· οὐ ποταμὸν νοεῖ τὸν ὠκεανὸν, κατὰ τοὺς πολλοὺς τῶν ποιητῶν. τὸ γὰρ, πόντος, καὶ τὸ, κῦμα θαλάσσης, καὶ τὸ, ἁλὸς, οὐδὲν προσήκουσι ποταμοῖς. ἀκόλουθα οὖν ὁ Διονύσιος νοεῖ τοῖς σοφοῖς, οἳ ἔξω θάλασσαν καλοῦσι τὸν ὠκεανόν.

5. Ὅτι ἐν οἷς παρὰ τῷ Διονυσίῳ ζέφυρος καλεῖται Λοκρὸς, καὶ αὖθις Λοκροὶ ἐπιζεφύριοι, ἀντίδοσις γίνεται κλήσεων, τοῦ μὲν ἐθνικοῦ ὀνόματος διαμείναντος

Ἄτλας ἑσπέριος κικλήσκεται. αὐτὰρ ὕπερθεν
Πρὸς βορέην, ἵνα παῖδες ἀρειμανέων [1] Ἀριμασπῶν,
Πόντον μιν καλέουσι [2] πεπηγότα τε, Κρόνιόν τε·
Ἄλλοι δ' αὖ καὶ νεκρὸν ἐφήμισαν, εἵνεκ' ἀφαυροῦ
Ἠελίου· [3] βράδιον γὰρ ὑπεὶρ ἅλα τήνδε φαείνει,
Αἰεὶ δὲ σκιερῇσι παχύνεται ἐν νεφέλῃσιν.
Αὐτὰρ [4] ὅθι πρώτιστα φαείνεται ἀνθρώποισιν,
Ἠῷον καλέουσι καὶ Ἰνδικὸν οἶδμα θαλάσσης.
Ἀγχοῦ [5] δ' Ἐρυθραῖόν τε καὶ Αἰθιόπιον καλέουσι,

νοντος πρὸς τὸν ζέφυρον ἄνεμον, τοῦ δὲ ζεφύρου αὖ πάλιν ἐπιτεθειμένου τῷ τῶν Λοκρῶν ἔθνει. Λοκρὸς μὲν γὰρ διὰ τοὺς Λοκροὺς καλεῖται ὁ ζέφυρος, ὅ ἐστι Λοκρικὸς καθάπερ καὶ Ἰσμαρικὸς ὁ βορρᾶς ἐν τοῖς ἑξῆς, ἀπὸ Ἰσμάρου πόλεως Θρᾳκικῆς, ἔνθα μάλιστα βορρᾶς καταρρήγνυται. Λοκροὶ δ' αὖθις ἐπιζεφύριοι λέγονται, ὡς πρὸς ἀνέμῳ ζεφύρῳ κείμενοι, ὃς πνέει δι' αὐτῶν. ὅτι δὲ καὶ ἄλλῳ λόγῳ ἐπιζεφυρίους καλοῦσί τινες τοὺς τοιούτους Λοκροὺς, ἐν δέοντι τόπῳ ῥηθήσεται.

1. Ὅτι ἔθνος Σκυθικὸν οἱ Ἀριμασποί· καὶ τούτους οὗτος μὲν ἀρειμανίας ἢ ἀρειμανεῖς λέγει. Αἰσχύλος δὲ μονῶπα στρατὸν ὀνομάζει, διότι τοξικώτατοι ὄντες ἐπιμύουσι τὸν ἕτερον ὀφθαλμὸν, διὰ τὸ πρὸς τὴν βολὴν εὔστοχον. καὶ τάχα διὰ τὴν ἄγαν ἐκ παίδων εἰς τοῦτο συνάσκησιν, ὡς καὶ παλαιοὶ λέγουσιν, εἰς βραχύτερον αὐτοῖς ὁ ἕτερος συνίσταται τῶν ὀφθαλμῶν. ἔτι δὲ ὅτι τοιοῦτοι, ὡς εἰκὸς, ἐκ προϋπαρξάντων ὁμοίων γεννῶνται πατέρων, καὶ τούτου γενομένου ὡσανεὶ περιίστη τὸ πάθος εἰς ἐθνικὴν ἰδιότητα. οὐ γὰρ δή που, φασὶν, ἄλλως ἡ φύσις οὕτω τερατῶδες γένος ἔθνους ἐξήνεγκε. καὶ αὐτὸ δὲ τοῦτο Ἀριμασποὶ, καθὰ καὶ Ἡροδότῳ δοκεῖ, ἐκ τοιούτου πάθους καλοῦνται, ὡς οἷον εἰπεῖν μονόφθαλμοι. ἄριμα μὲν γὰρ τὸ ἓν, Σκυθιστὶ, μασπὸς δὲ, ὁ ὀφθαλμός. ἱστορεῖ δὲ Ἡρόδοτος καὶ τοὺς χρυσοφύλακας Γρύπας ἀνωτέρω τῶν Ἀριμασπῶν οἰκεῖν, τοὺς δὲ Ὑπερβορέους ἔτι ἀνωτέρω αὐτῶν ἐπὶ θάλασσαν. λέγουσι καὶ ὅτι ὥσπερ εἰσί τινες Ὑπερβόρειοι, οὕτω καὶ ὑπερνότιοι· καὶ ὅτι ὁ Ἄβαρις ὁ ὑμνούμενος, ὑπερβόρειος ἦν, ὃς οὐδὲν γε σιτεῖσθαι λέγεται, καὶ τὸν οἰστὸν περιφέρειν κατὰ πᾶσαν τὴν γῆν.

2. Ὅτι ὁ πρὸς Ἀριμασποῖς ὠκεανὸς πεπηγώς τε καλεῖται, καὶ Κρόνιος, καὶ νεκρός. καὶ ἡ τούτου αἰτιολογία, ἕνεκα, φησὶν, ἀφαυροῦ ἡλίου, μὴ δυναμένου λεπτῦναι καὶ λῦσαι καὶ ἐξαερῶσαι τὸ ἀναγόμενον ἀτμόν. βράδιον γὰρ, φησὶν, ὑπὲρ ἅλα τήνδε φαείνει, ἀεὶ δὲ σκιεραῖς παχύνεται νεφέλαις ὁ ἥλιος, διὰ τὴν τῶν νεφῶν πύκνωσιν. ψυχρὸς οὖν ὡς ἀληθῶς ὁ τόπος, καὶ διὰ τοῦτο κλῆσις αὐτῇ συγγενὴς τῇ ἄγαν ψυχρότητι. Κρόνιος δὲ καλεῖται, διὰ τὸ λέγεσθαι τὸν ἐκεῖ τόπον ἄρχειν τὸν ἀστέρα Κρόνου, ὃς εἰς ψύξιν τίθεται, ψυχρὸς ἀπὸ τῶν ἀποτελεσματικῶν ἐκλαμβανόμενος. ἀλλὰ καὶ τὸ ψυχρὸν αὐτοῦ ἀνάκειται. ὁ δὲ μῦθος καὶ τὰ τοῦ Κρόνου ἐκτεμὼν αἰδοῖα ἐκεῖ ῥίπτει. παρά γε δὲ Ἀπολλωνίῳ τῷ ποιητῇ εὕρηται Κρονία λεγομένη θάλασσα, καὶ ὁ μυχὸς τοῦ Ἰονίου κόλπου, ἀπὸ νήσου τινὸς Κρονίας καλουμένης τὴν τοιαύτην κλῆσιν λαχών· ὡς καὶ ἀπὸ Ἰκάρου τινὸς νήσου, κατά τινας, τὸ Ἰκάριον λεγόμενον πέλαγος.

3. Ὅτι

Atlas [*Atlanticus*] & occiduus nuncupatur: verum deſuper
Ad boream, ubi pubes Marte furentium Arimaſporum,
Pontum ipſum vocant congelatumque Saturniumque:
Sed alii mortuum quoque dixerunt, propter debilem
Solem. tardus enim ſuper mare hoc lucet,
Semper autem tenebricoſis craſſeſcit in nubibus.
At ubi primum apparet hominibus,
Eoum vocant atque Indicum fluctum maris.
Prope autem Rubrumque ac Æthiopium appellant,

3. Ὅτι δὲ οἱ τοιοῦτοι παρωκεάνιοι τόποι πολὺ τὸ ψῦχος ἔχουσι, δηλοῖ καὶ τὰ ἄνω τῶν Ἀριμασπῶν Ῥιπαῖα ὄρη, ἐξ ὧν ὁ ψυχρὸς βορρᾶς πνεῖ· ἔνθα χιὼν οὐδέποτε ἐπιλείπει.

4. Ὅτι τὴν ἀνατολὴν οὕτω περιφράζει, ὅπου πρώτιστα φαείνεται ἀνθρώποις ἥλιος· ἤτοι ὅπου ἐστὶν ἡ ἀνατολή. ἴσως καὶ τὸν ἠῷον καὶ τὸν Ἰνδικὸν εἶναί φησιν ὠκεανόν· ἠῷον μὲν λεγόμενον, διὰ τὸ ἐκεῖθεν ἀνατέλλοντος ἡλίου τὴν ἡμέραν γίνεσθαι· ἢ καὶ, ὡς ἂν ἀνθ' ἑνὸς εἰπεῖν, ἠῷον ἀντὶ τοῦ ἀνατολικόν. ἠὼς γὰρ πολλάκις καὶ ἡ ἀνατολή. Ἰνδικὸν δὲ διὰ τοὺς παροικοῦντας Ἰνδούς. ἰστέον γὰρ ὅτι πολλοὶ κόλποι φαίνονται ἀπὸ ἐθνῶν, ἢ πόλεων, καὶ ὅλως ἐκ τῶν παροικούντων ἐπονομαζόμενοι· ὡς ὁ Ὑρκάνιος, ὡς ὁ Ἰωνικὸς, ὡς ὁ Αἰθιοπικὸς, καὶ ἄλλοι πολλοί.

5. Ὅτι ὁ Ἐρυθραῖος πόντος, καὶ ὁ Αἰθιόπειος ἕτερός ἐστι τοῦ Ἀραβικοῦ κόλπου, ὃς τῆς νοτίας θαλάσσης ἐστὶν ἀποχέτευμα, καθὰ καὶ ὁ Περσικὸς, ὡς μετ' ὀλίγον ῥηθήσεται. ἀλλὰ τοῦτο μὲν κατὰ τὸν Διονύσιον. ἕτεροι δὲ, τὸν Ἀραβικὸν κόλπον καὶ τὸν Ἐρυθραῖον ταυτίζοντες, ἱστοροῦσιν ὅτι ὁ Ἐρυθραῖος κόλπος ποταμοῦ δίκην στενός ἐστι καὶ μακρὸς, ἐπὶ πολλοὺς διήκων σταδίους, μέχρι τοῦ στόματος, στενοῦ καὶ αὐτοῦ παντάπασιν ὄντος. καλεῖται δὲ Ἐρυθραῖος, ἢ ἀπὸ τῆς ὑποκειμένης τῷ ὕδατι μιλτώδους ἐρυθρᾶς γῆς, ἢ ἐκ τῶν ὑπερκειμένων ξανθοχρόων ὀρέων· οἷς ἕωθεν προσβάλλων ὁ ἥλιος ἐρυθρὰν φαντάζει τῇ θαλάσσῃ τὴν ἐπιφάνειαν, ἀνακλωμένης τῆς ὄψεως. φησὶν οὖν ὁ παρὰ τῷ γράψαντι τὰ ἐθνικὰ, Οὐράνιος οὕτως ὀνομαζόμενος, ὅτι „τὰ παρακείμενα ὄρη „δεινῶς ἐρυθρά εἰσι καὶ πορφυρᾶ· καὶ ἐπὰν „βάλλῃ εἰς αὐτὰ ὁ ἥλιος, καταπίμπλησι „εἰς τὴν θάλασσαν ἡ αὐγὴ σκιὰν ἐρυθρὰν „καὶ ὁμοῦ δὲ κατακλυσθέντων τῶν ὀρέων „εἰς θάλασσαν συῤῥέοντι, τοιαύτη, φησὶ, „γίνεται ἡ θάλασσα τὴν χροιάν". τινὲς δὲ Ἐρυθρὰν εἶπον, διὰ τὸ πυροῦσθαι μάλιστα τῷ ἡλίῳ τὸ ἐκεῖ κλίμα. διὸ, φασὶ καὶ Αἰθίοπες οἱ κατοικοῦντες λέγονται, ὡς κεκαυμένοι τὴν ὄψιν. ὁ δὲ Γεωγράφος, τὰ τῶν πολλῶν ἐπιτεμὼν, τοιαῦτα γράφει περὶ τῆς Ἐρυθρᾶς· „Ἐρυθρὰ θάλασσα λέγεται ἀπὸ χροιᾶς ἐμφαινομένης „κατ' ἀνάκλασιν, εἴτε ἀπὸ τοῦ ἡλίου κατὰ „κορυφὴν ὄντος, εἴτε ἀπὸ τῶν ὀρῶν ἐρυ„θραινομένων ὑπὸ τῆς καύσεως. οἱ δὲ, „ἀπὸ πηγῆς τινος ὕδωρ εἰς τὴν θάλασ„σαν εἰσαγούσης ἐρυθρὸν καὶ μιλτῶδες. „οἱ δὲ, ἀπὸ Ἐρύθρα τινὸς, πρώτου πε„ραιωθέντος ἐπὶ σχεδίας εἰς τινα ἐκεῖ „νῆσον, διὰ ἱπποφόρβιον οἰστρηθὲν ὑπὸ „λεαίνης· καὶ οἰκήσαντος ἐκεῖ, καὶ ἡγησα„μένου τῶν τόπων. τινὲς δὲ καὶ Περσέως υἱ„ὸν εἶναι τοῦτον τὸν Ἐρύθραν". Διονύσιος μέντοι σαφῶς ἐμφαίνει ἀπὸ Ἐρυθραίου τινὸς βασιλέως τὸν πόντον κληθῆ-

Πρὸς νότον· ἔνθα δὲ πολλὸς ἀοικήτου [1] χθονὸς αὐλὼν
Ἐκτέταται, μαλεροῖσι κεκαυμένος ἠελίοισιν.
Οὕτως [2] ὠκεανὸς περιδέδρομε γαῖαν ἅπασαν,
Τόσσος ἐὼν, καὶ τόσσα μετ' ἀνδράσιν οὔνομαθ' ἕλκων.
Κόλπους δ' ἔνθα καὶ ἔνθ' ἀπερεύγεται, ἔνδοθι βάλλων
Εἰς ἅλα· τυτθοὺς μὲν πλέονας, πίσυρας δὲ μεγίστους.
Ἤτοι [3] μὲν πρώτιστος, ὃς ἑσπερίην ἅλα τίκτει,
Συρόμενος Λιβύηθεν ἔσω Παμφυλίδος αἴης.
Δεύτερος αὖτ' ὀλίγος μὲν, ἀτὰρ προφερέστατος ἄλλων,
Ὅς [4] ἀποκιδνάμενος Κρονίης ἁλὸς ἐκ Βορέαο,
Κασπίῃ αἰπὺ ῥέεθρον ἐπιπροΐησι θαλάσσῃ,
Ἥντε καὶ Ὑρκανίην ἕτεροι διεφημίξαντο.

ναι· οὗ καὶ τάφον ἐκεῖ εἶναι λέγει. ὅτι δὲ τὸ μιλτῶδες χρῶμα, ἐρυθρὸς ἐστιν, ὡς ἀνωτέρω γέγραπται, δῆλον τῇ αἰσθήσει. ὅθεν καὶ ὁ Ποιητὴς ἐμβάπτων ταῖς ναυσὶ τὰ πρόσωπα, μιλτοπαρήους αὐτὰς καλεῖ.

1. Ὅτι πρὸς νότον πολὺς ἀοικήτου χθονὸς αὐλὼν, ἢ ἀγκὼν, ἐκτέταται, θερμοῖς κεκαυμένος ἡλίοις· ὃς καλεῖται διακεκαυμένη ζώνη, ἔρημος οἰκούντων οὖσα, διὰ τὴν ἐκεῖ ἄγαν θερμότητα. Ἰστέον δὲ ὅτι ὥσπερ τὸ νότιον καὶ πρὸς τῷ βορείῳ ὠκεανῷ ἀοίκητον ὁμοίως εἶναι τόπον, διὰ τὴν λίαν ψυχρότητα. διὸ καὶ περιμήκης ἡ οἰκουμένη, ὡς εἴρηται, παρατέταται δίκην σφενδόνης, καὶ οὐκ ἀκριβῶς ἐσφαίρωται, ὡς ὑπεραιρομένων τῶν ἑκατέρωθεν ἀοικήτων. ὅτι δὲ καὶ πρὸς βορρᾶν πολλή ἐστι γῆ Νομάδων ἀοίκητος, ὡς εἴρηται, διὰ ψυχρότητα, δῆλον ἔσται ἐν τοῖς ἑξῆς. Ἰστέον δὲ ὅτι τὰ τῆς οἰκουμένης ἄκρα, τὰ παρακείμενα τῇ διὰ καῦμα ἢ διὰ ψύχος δυσκράτῳ καὶ ἀοικήτῳ, δοκεῖ τοῖς σοφοῖς ἀποτεύγματος, ἤγουν ἀποτυχίας εἶναι τῆς εὐκράτου, καὶ ἐκστάσεις τινὰς, καὶ ἐλαττώματα. καὶ δῆλον φασὶ τοῦτο καὶ ἐκ τῶν βίων. κακόβιοι γάρ εἰσιν οἱ ἐν τοῖς τοιούτοις ἄκροις οἰκοῦντες, καὶ γυμνοὶ τὰ πολλὰ, καὶ νομάδες. καὶ τὰ βοσκήματα δὲ αὐτοῖς μικρὰ, καὶ οἱ κύνες. τάχα δὲ, φασὶ, καὶ οἱ νοτιώτατοι Πυγμαῖοι ἀπὸ τῆς τούτων μικροφυΐας ὑπενοήθησαν καὶ ἀνεπλάσθησαν. οὐδεὶς γὰρ αὐτοὺς ἱστορικῶς ἐξηγεῖται πίστεως ἄξιος. σημείωσαι δὲ ὅτι οὐ παρὰ Λιβανίῳ μόνον καὶ Αἰλιανῷ πληθυντικῶς οἱ ἥλιοι· ἰδοὺ γὰρ καὶ παρὰ Διονυσίῳ, ἐν τῷ, μαλεροῖς κεκαυμένος ἡλίοις. ἀλλ' ὁ μὲν Λιβάνιος ἐπὶ ἡμερῶν τοὺς ἡλίους τίθησιν, ὅτε πού λέγει, «τὴν μελῶν ἐπὶ πολλοῖς ἡλίοις διαφυλαχθῆναι.» οἱ δὲ ἄλλοι τὰς ὁσημέραι τοῦ ἡλίου λάμψεις ἡλίους φασίν. ἄλλως γὰρ μοναδικός ἐστιν ὁ ἥλιος, καὶ διὰ τοῦτο οὐ θέλει, ἐν τῷ κλίνεσθαι, πληθύνεσθαι. ὥσπερ οὔτε ἡ γῆ, κἂν αἱ χῶραι, γαῖαι λέγονται, ὡς μετὰ ταῦτα φανήσεται. οὔτε ἡ ἅλς, κἂν τὰ πελάγη θαλάσσας ὁμοίως λεγομένας ἀκούσωμεν.

2. Ὅτι εἰπὼν τέσσαρα πελάγη τοῦ ὠκεανοῦ, τὸ ἑσπέριον, Ἀτλαντικόν· καὶ τὸ ἀρκτῷον, Κρόνιον· καὶ τὸ κατὰ τὴν ἕω, Ἰνδικόν· καὶ τὸ νότιον, Αἰθιόπιον· καὶ οὕτω τοῖς τοῦ κόσμου τέσσαρσι κέντροις ἐπεξελθὼν, ἐπάγει συμπληρωματικῶς ἅμα καὶ ἐπιφωνηματικῶς, ὅτι Οὕτως ὠ-

κεανὸς

Ad auſtrum: ubi certe multus non habitatæ terræ tractus
Extenſus eſt, fervidis uſtus ſolibus.
Sic oceanus circumcurrit terram univerſam,
Tantus, & talia inter homines nomina trahens.
Sinus autem hinc inde eructat, introrſum mittens
In mare: parvos quidem plures, quatuor vero maximos.
Scilicet primus, qui occiduum mare gignit,
Tractus è Libya intra Pamphylicam terram.
Secundus autem, exiguus quidem, ſed potiſſimus aliorum,
Qui ſeparatus à Cronio [*Saturnio*] mari à borea,
Caſpio profundum fluentum intromittit mari;
Quod etiam Hyrcanium alii nuncuparunt.

κεανὸς περιδέδρομε γαῖαν ἅπασαν. ὡς ἤδη δείξας ὅτι πᾶσαν τὴν γῆν περιστεφανοῖ, ὡς προείρηκεν. εἰ καί τινες τῶν παλαιῶν ἀντιλέγειν ἐβούλοντο, καθὰ καὶ Ἡρόδοτος· ὃς οὐκ ἀποδέχεται τοὺς γράφοντας τὸν ὠκεανὸν ῥεῖν πέριξ τῆς γῆς.

3. Ὅτι τὸν ὠκεανὸν εἰς τέσσαρα διελὼν, ὡς προείρηται, ἱστορεῖ καὶ τέσσαρας αὐτοῦ κόλπους μεγίστους εἰς τὴν γῆν ἔσω ἐρεύγεσθαι. ἕνα μὲν, τὸν τὴν ἑσπερίαν θάλασσαν τίκτοντα, τὴν ἀπὸ Γαδείρων διήκουσαν ἕως εἰς Παμφυλίαν, ὅπου καὶ ἡ Κύπρος· ἕτερον δὲ, τὴν ἐκ τοῦ βορρᾶ Κασπίαν θάλασσαν, τὴν καὶ Ὑρκανίαν· τρίτον δὲ, ἀπὸ νοτίας θαλάσσης, ἤτοι νοτίου ὠκεανοῦ, τὸν Περσικὸν κόλπον τὸν ἀντικρὺ κείμενον τῆς Κασπίας· καὶ τέταρτον, τὸν Ἀραβικὸν, ἀντικείμενον τῷ Εὐξείνῳ, ἐκ νότου καὶ αὐτὸν· καλούμενον Ἀραβικὸν, διὰ τοὺς αὐτόθι Ἄραβας· ὡς καὶ ἡ Περσὶς τοῖς Πέρσαις παρωνομάζεται, καὶ τοῖς Ὑρκανίοις καὶ Κασπίοις ἡ αὐτῶν παρώνυμος θάλασσα. τὸν δὲ Ὑρκάνιον κόλπον, τὸν καὶ Κάσπιον, ὀλίγον μὲν λέγει, ὡς πρὸς τὴν ἑσπερίαν θάλασσαν, τὴν συρομένην ἀπὸ Γαδείρων, ἕως καὶ εἰς Παμφυλίαν· τῶν ἄλλων δὲ προφερέστερον ἱστορεῖ, τοῦ Περσικοῦ δηλαδὴ καὶ τοῦ Ἐρυθραίου. λέγει δὲ καὶ ὅτι μικροὺς μὲν κόλπους ὁ ὠκεανὸς πλείονας, ὡς δὲ προϊὼν ἐρεῖ, καὶ ἀπειρεσίους ἔνθα καὶ ἔνθ' ἀπερεύγεται εἰς ἅλα ἔνδοθι βάλλων· (ἤγουν θαλάσσας ἔσω τῆς οἰκουμένης ἀποτελῶν) μεγίστους δὲ τέσσαρας, οὓς καὶ πρὸς ὄνομα ἐξέθετο, καθὰ προείρηται.

4. Ὅτι τὴν Κασπίαν θάλασσαν Πτολεμαῖος μὲν λιμνοειδῶς περιγράφων, περιοδεύεσθαι λέγει πεζῇ βαδίζουσι. συμφωνεῖ δὲ αὐτῷ καὶ Ἡρόδοτος, ἐν οἷς λέγει ὅτι "ἡ Κασπία ἐστὶν ἐφ' ἑαυτῆς οὐ συμμίσγουσα τῇ ἑτέρῃ θαλάσσῃ". Διονύσιος μέντοι δοκεῖ τῆς Κρονίας ἁλὸς αὐτὴν ἀποσχίζεσθαι ἐκ βορείου. λέγει γὰρ ἐν τοῖς ἑξῆς, ὅτι ὀξὺ ἐπ' ἄρκτους ἐληλαμένη προχοαῖς ἐπιμίσγεται τοῦ ὠκεανοῦ. καὶ οὕτω μὲν διαφωνοῦσιν αὐτοί· οἱ δὲ παλαιοὶ, συμφωνίαν τῇ τοιαύτῃ τῶν περιηγητῶν διαφωνίᾳ τεχνώμενοι, φασὶν ὅτι τάχα διὰ τόπων ἀδήλων ὁ Κρόνιος ὠκεανὸς ἑαυτὸν ἐκπέμπων, ἀναδίδωσι τὸν Ὑρκάνιον κόλπον. καὶ οὕτω σωθήσεται καὶ ὁ λόγος ὁ λέγων τὴν Κασπίαν κύκλῳ περιοδεύεσθαι, καὶ ὁ εἰπὼν ἐκ τῆς Κρονίας θαλάσσης γεννᾶσθαι αὐτήν.

Τῶν δ' ἄλλων, εἴτ' εἰσὶν ἀπαὶ νοτίης ἁλὸς ἄμφω,
Εἷς μὲν ἀνώτερός ἐστι, τὸ Περσικὸν οἶδμα περιχεύων,
Ἀντία Κασπίης τετραμμένος ἀμφιτρίτης·
Ἄλλος δ' Ἀρράβικος κυμαίνεται ἐγγύθι κόλπος,
Εὐξείνου πόντου νοτιώτερον ὁλκὸν ἑλίσσων.
Τόσσοι μὲν κόλποι βαθυκύμονος ὠκεανοῖο
Οἱ μείζους· ἄλλοι δέ τ' ἀπειρέσιοι γεγάασι.
Νῦν [1] δ' ἁλὸς ἑσπερίης ἐρέω πόρον, ἥ τ' ἐπὶ πάσας
Ἠπείρους λοξοῖσιν ἐπιστρέφεται πελάγεσσιν·
Ἄλλοτε μὲν νήσοισι περίδρομος, ἄλλοτε δ' αὖτε
Ἢ ὀρέων ἢ πέζαν ὑποξύουσα πολήων.
Ὑμεῖς [2] δ', ὦ Μοῦσαι, σκολιὰς ἐνέποιτε κελεύθους,
Ἀρξάμεναι στοιχηδὸν ἀφ' ἑσπέρου ὠκεανοῖο·
Ἔνθα [3] τε καὶ στῆλαι περὶ τέρμασιν Ἡρακλῆος
Ἑστᾶσιν (μέγα θαῦμα) παρ' ἐσχατόωντα Γάδειρα,
Μακρὸν ὑπὸ πρηῶνα [4] πολυσπερέων Ἀτλάντων·

1. Ὅτι ἡ ἑσπερία θάλασσα οὕτως ἐστὶ μεγάλη, καὶ, ὡς αὐτός που ἐρεῖ, ἀπείριτος, ὥστε ἐπὶ τὰς τρεῖς ἠπείρους τῆς οἰκουμένης λοξοῖς ἐπιστρέφεται πελάγεσιν, ἄλλοτε μὲν νήσοις περίδρομος, ἄλλοτε δὲ ἢ ὀρέων πέζαν ὑποξύουσα, ἢ πόλεων. καὶ ὅρα τὸ ὑποξύουσα, ὡς ἐὰν εἴπῃ τις, ὑποτρίβουσα ἐν τῷ παραρρεῖν. καὶ ἔστιν ἀστεία ἡ τῆς λέξεως τροπή, ὡς ἐπὶ ξυομένων ποδῶν.

2. Ὅτι κατ' ἀρχὰς μὲν εἰς τὸν τῆς περιηγήσεως σκοπὸν ἐπειγόμενος ὁ Διονύσιος, ὡς προῄρηται, καὶ ἅμα ἵνα καὶ φιλοσοφώτερος δόξῃ, καὶ τὸ κοινὸν ποιητικὸν ἐκκλίνῃ ἔθος, καινοπρεπέστερον παρῆκε τὰς Μούσας, ὡς ποιητῇ πρέπον ἐπικαλέσασθαι. καὶ οὕτω μὲν κατὰ τὰς ἀρχὰς τῆς περιηγήσεως. προϊὼν μέντοι αὐτῷ τῷ ἔργῳ γινόμενος, καὶ ὅτι ποιητής ἐστιν αἰσθόμενος, καὶ ὡς σοφὸς ἀοιδὸς Μουσῶν, ἤτοι γνώσεως μεθοδικῆς, δυσπεριόδευτα τὰ τῆς γῆς αὐτῷ ἐννοησάμενος, προφανῶς αὐτὰς τῆς περιηγήσεως ἡγεμόνας καλεῖ· ἃς ἂν ἀρξάμεναι, φησί, στοιχηδὸν ἐνέποιεν τὰς σκολιὰς κελεύθους. καὶ σημείωσαι ὅτι εἰ καὶ ἐν ἄλλοις τὸ ἐννέπειν διπλασιάζει τὸ ν, ἀλλ' ἐνταῦθα κατὰ φύσιν δι' ἑνὸς ἐκφέρεται ν, καθὰ καὶ ἐν τοῖς ἑξῆς.

3. Ὅτι περὶ τὰ Γάδειρα Ἡρακλέους ἑστᾶσι στῆλαι περὶ τοῖς τέρμασι τῆς γῆς, μέγα θαῦμα. φασὶ δὲ αὐτὰς ἢ ἀνδριάντας εἶναι Ἡρακλέους, ἢ πόλεις ἐπωνύμους ἐκείνου, ἢ καὶ λόφους ἐπονομαζομένους αὐτῷ. εἰσὶ δὲ αὐτῶν, ἡ μὲν Εὐρωπαία, Κάλπη καλουμένη βαρβαρικῶς, Ἀλύβη δὲ καθ' Ἕλληνας· ἡ δὲ Λιβυκή, κατὰ βαρβάρους μὲν Ἀβέννα καλουμένη, Ἑλληνικῶς δὲ Κυνηγετική. μέγα δὲ θαῦμα ὁ Διονύσιος φησὶν αὐτάς, ἢ διὰ τὸ ὑψηλόν· ὄρη γάρ εἰσιν, ὧν τὸ ὕψος οὐ μεῖον ἑκατόν, ὥς φασιν, ὀργυιῶν· ἢ διὰ τὸ θαυμαστὸν τοῦ ἄχρι ἐκεῖ τοῦ Ἡρακλέους ἐλθόντος. ἐκαλοῦντο δέ ποτε καὶ Κρόνου στῆλαι, εἶτα καὶ στῆλαι Βριάρεω, διὰ τὸ μέχρι τοῦ τῆδε ὅραν διήκειν

At aliorum [*ſinuum,*] qui ſunt ab auſtrali mari ambo,
Unus quidem ſuperior eſt, Perſicum fluctum profundens,
Contra Caſpium verſus mare:
Alter vero Arabicus fluctuat juxta ſinus,
Euxino ponto magis auſtralem ſulcum volvens.
Tot quidem ſinus procelloſi oceani,
Majores: verum alii etiam innumeri ſunt.
Nunc autem maris occidui referam meatum, quod ad omnes
Continentes tortuoſis convertitur pelagis:
Alias quidem inſulis circumfluum, alias vero
Aut montium aut oram ſubradens urbium.
Vos vero, ô Muſæ, difficiles referte vias,
Auſpicatæ ordine ab occiduo oceano:
Ubi etiam columnæ in finibus Herculis
Stant (ingens miraculum) ad extremas Gades,
Alto ſub monte longe lateque diſperſorum Atlantum;

διήκειν τὰ κατ' ἐκείνους. τὰ Γάδειρα δὲ, νῆσος πλησίον τοῦ ὠκεανοῦ, περιμήκης, κατὰ τοὺς παλαιοὺς, ὡς οἷα ταινία, τυπῶσι καθιστάμενον ὑφάσματος τμῆμα στενὸν καὶ μεμηκυσμένον· ὅπερ ἡμεῖς φασκίαν φαμέν. λέγεται δὲ καὶ Γάδειρα θηλυκῶς. καλεῖται δὲ οὕτως οἱονεὶ γῆς δειρὰ, ὅ ἐστι τράχηλος, διὰ τὸ τῆς ἠπείρου στενὸν, τῆς ἑκατέρωθεν σφιγγούσης τὸν ἐκεῖ ὀλιγοστάδιον πορθμόν. ἔστι δὲ καὶ πόλις ἐκεῖ Γάδειρα. ὁ δὲ Γεωγράφος φησὶν ὅτι “τὰς Ἰταλικὰς παρ' Ὁμήρῳ πλαγκτὰς πέτρας, καὶ τὰς Ποντικὰς συμπληγάδας τινὲς τῇ μυθικῇ αὐτονομίᾳ μετήγαγον εἰς τὸν ἐν Γαδείροις πορθμόν· καὶ ταύτας εἶναι στήλας ἐνόμισαν, ἃς ὁ Πίνδαρος καλεῖ πύλας Γαδειρίδας, διὰ τὴν τοῦ πορθμοῦ στενότητα, εἰς ταύτας ὑστάτας ἐλθεῖν φάσκων τὸν Ἡρακλέα.” ἄλλοι δὲ, ὡς αὐτὸς ὁ Γεωγράφος λέγει, “στήλας Ἡρακλέους, φασὶ, λέγεσθαι τὰς ἐν τῷ κατὰ Γάδειρα Ἡρακλείῳ, τουτέστι τὰς ἐν τῷ τοῦ Ἡρακλέος τεμένει ὀκταπήχεις στήλας, ἐν αἷς ἀναγέγραπται τὸ ἀνάλωμα τῆς κατασκευῆς τοῦ ἐκεῖ ἱεροῦ. ἐφ' ἃς ἐλθόντες οἱ πλέοντες ἐποίησαν διαφημισθῆναι, ἐνταῦθα εἶναι τὸ τῆς γῆς καὶ τῆς θαλάσσης πέρας. ἕτεροι δὲ στήλας, φησὶν, ὑπολαβοῦσι τὴν Εὐρωπαίαν Κάλπην, καὶ τὸ ἀντικείμενον αὐτῇ ὄρος ἐκ Λιβύης, τὴν Ἀβύλην ἢ Ἀβύλικα. ἄλλοι δὲ στήλας ὠνόμασαν, τὰς πλησίον ἐκεῖ ἑκατέρωθεν νησίδας, ὧν τὴν ἑτέραν Ἥρας ὀνομάζουσι νῆσον. καὶ οὐ φαύλως, φησὶ, τὰ τοιαῦτα νησίδια, διὰ τὸ εὐπερίγραπτον, καὶ σημειῶδες, καὶ εὐδεραστιν, στήλαις εἰκάζονται. ἐξοχὴν γάρ τινα ἐμφαίνουσι καὶ αὐτὰ οἷαν καὶ αἱ στῆλαι καὶ αἱ στηλίδες· καὶ διὰ τοῦτο τὰ τοιαῦτα στῆλαι ἂν λέγοιντο.

4. Ὅτι ὁ Ἄτλας, ὁ κατὰ βαρβάρους Δύρις, ὄρος μέγιστον περὶ τὰ τῆς Λιβύης πρὸς δύσιν ἔσχατα· ἀφ' οὗ καὶ πέλαγος

ὠκεάνιον

Ἠχί τε καὶ χάλκειος ἐς οὐρανὸν ἔδραμε κίων,
Ἠλίβατος, πυκινοῖσι καλυπτόμενος νεφέεσσι.
Πόντος [1] μὲν πρώτιστος Ἰβηρικὸς ἀρχομένοισιν
Ἐγκέχυται, ὅς πέρ τε καὶ Εὐρώπης πέλει ἀρχὴ,
Καὶ Λιβύης· μέσσος γὰρ ἑλίσσεται ἀμφοτεράων.
Στῆλαι δ' ἔνθα καὶ ἔνθα παρὰ πλευρῆσι κέονται·
Ἡ μὲν ἐπ' Εὐρώπην, ἡ δ' ἐς Λιβύην ὁρόωσαι.
Τὸν δὲ μετεκδέχεται Γαλάτης ῥόος· ἔνθα τε γαῖα
Μασσαλίη [2] τετάνυσται, ἐπίστροφον ὅρμον ἔχουσα.
Ἑξείης δ' ἐπὶ τοῖσι [3] Λιγυστιὰς ἕλκεται ἅλμη·

ὠκεάνιον τὸ Ἀτλαντικόν. διὰ δὲ τὸ πολὺ τοῦ ὄρους μέγεθος, Ἄτλαντας αὐτὸ πολυαστερίας ὁ Διονύσιος καλεῖ ποιητικῷ τρόπῳ· ὡς καὶ ὁ Ποιητὴς Μάλειαν καὶ Μαλείας φησὶ, καὶ Κρήτην καὶ Κρήτας, καὶ Ἀθήνην καὶ Ἀθήνας. καὶ τὸ πρόσωπον δέ που πληθύνει δι' ἔμφασιν, πρόσωπα λέγων· καὶ τὸ τόξον, τόξα· καὶ τὸ ἅρμα, ὁμοίως ἅρματα. ὁ δὲ τὰ ἐθνικὰ γράψας, ἔθνος Λιβυκὸν λέγει τοὺς Ἄτλαντας. καὶ Ἀρριανὸς δὲ, ὥς φησιν, "Ἀτάραντας ἱστορεῖ, καὶ "μετ' ἐκείνους λέγει κεῖσθαι τοὺς Ἄτλαν"τας, οἳ καὶ λέγονται μὴ βλέπειν ὀνείρους". ὠνόμασται δὲ τὸ ὄρος ἀπ' ἀνδρὸς ἐγχωρίου Ἄτλαντος, περὶ οὗ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν κάλλιον γέγραπται. ἐνταῦθα δὲ, ὥς φησιν ὁ Διονύσιος, καὶ χάλκειος εἰς οὐρανὸν ἔδραμε κίων, Ἠλίβατος, πυκινοῖς καλυπτόμενος νεφέεσσι. καὶ τάχα ὁ Διονύσιος ἐν τούτοις ἱστορικὴν τινὰ θεραπείαν παρακαλεῖ τῆς μυθικῆς κιονοφορίας τοῦ Ἄτλαντος. ὁ γάρ τοι κίων οὗτος, οὗ περ, ὡς αὐτὸς λέγει, κορυφὴν οὐκ ἔστιν ἰδεῖν, διὰ τὰ καλύπτοντα νέφη, δόξοι ἂν τῷ πολλῷ τοῦ ὕψους ἕως εἰς τὸν αἰθέρα ἀνήκειν· καὶ οὕτως λέγοιτ' ἂν ἔχειν τὸν οὐρανόν· ὡς εἶναι τούτῳ τῷ τρόπῳ τὸ Ἄτλαντος ὄρος, οἷόν τινα κιονοφόρον, ἔτι καὶ αὐτόχρημα κίονα, κατὰ τὸν Ἡρόδοτον. τινὲς δὲ ἐνταῦθα ἀντὶ τοῦ χάλκειος κίων χάλκιος ἄξων γράφουσιν· ὡς ἐκεῖ που τάχα διήκοντος τοῦ κοσμικοῦ ἄξονος, ὡς καὶ τοῦτο ἐν τῷ ἄλφα τῆς Ὀδυσσείας γέγραπται. Ἡρόδοτος δὲ τοιαῦτα περὶ τούτων λέγει, "μετὰ τοὺς Γαράμαντας ἔθνος διὰ δέκα "ἡμερῶν ὁδοῦ, Ἄτλαντες, ἄνθρωποι "ἀνώνυμοι· τουτέστι, κοινῶς μὲν λεγόμενοι "Ἄτλαντες, ἰδίᾳ δὲ ἑκάστῳ μὴ ἔχοντες κεί"μενον ὄνομα". λέγει δὲ καὶ ὅτι "καταρῶν"ται ὑπερβάλλοντι τῷ ἡλίῳ οἱ Ἄτλαν"τες, διότι καταικαίων ἐπιτρίβει αὐτούς. "καὶ ὅτι στενὸν καὶ κυκλοτερές ἐστι τὸ "ὄρος ὁ Ἄτλας, καὶ ὑψηλὸν ἐστὶν, ὡς μὴ "εἶναι δυνατὸν ἰδεῖν τὰς αὐτοῦ κορυφάς, "καὶ μηδὲ νέφη αὐτὰς ποτὲ ἐκλείπειν. ὅ"θεν καὶ κίονα οὐρανοῦ φασιν οἱ ἐπιχώριοι, "ὅτι αὐτὸ καὶ ἐπώνυμον αὐτοῦ τὸ ἔθνος "οἱ Ἄτλαντες, οὔτε ἔμψυχον οὐδὲν σι"τούμενοι, οὔτε ἐνύπνια ὁρῶντες. Ἰστέον δὲ ὅτι ὥσπερ τὸν Ἄτλαντα κίονα εἴπομεν οὐρανοῦ λέγεσθαι, οὕτω καὶ τὴν Αἴτνην οὐρανίαν κίονα εἶπεν ὁ Πίνδαρος.

¶. Ὅτι ὁ Ἰβηρικὸς κόλπος Εὐρώπης ἐστὶν ἀρχὴ καὶ Λιβύης. μέσος γὰρ σφίσιν ἑλίσσεται ἀμφοτέρων, οὗ παρὰ πλευρὰς καὶ αἱ τοῦ Ἡρακλέους κεῖνται στῆλαι. τὸν δὲ μετεκδέχεται Γαλάτης ῥοῦς, ἤτοι τὸ Γαλατικὸν πέλαγος. ἀντὶ κτητικοῦ γὰρ εἴρηται· ὥσπερ καὶ Αἰσχύλος Σκύθην οἶμον λέγει τὸν Σκυθικόν. ὅρα δὲ ὅπως ἐν ὅλῳ τῷ παρόντι χωρίῳ εὐφυῶς καὶ ἐπικαίρως

Ubi etiam ænea in cœlum excurrit columna,
Excelſa, denſis operta nubibus.
Pontus quidem primus Ibericus incipientibus
Infunditur, qui & Europæ eſt initium
Et Libyæ: nam medius volvitur ambarum.
Columnæ autem hîc & illic ad latera ſitæ ſunt:
Una quidem ad Europam, altera vero ad Libyam ſpectans.
Illum autem excipit Galaticus gurges: ibique terra
Maſſilia extenſa eſt, rotundum [*curvum*] portum habens.
Deinceps poſt hos Liguſticum trahitur ſalum;

πικαίρως τοῖς παρίσοις, ἤτοι τοῖς ἰσοκαταλήκτοις ῥήμασι συχνῶς χρῆται ὁ Διονύσιος, τὴν ὑπτιότητα καὶ ἀνάπτωσιν τῆς περιηγητικῆς ἀφηγήσεως ἀνιστῶν τῷ κάλλει καὶ τῇ γοργότητι, ἐν τῷ λέγειν, πόντος Ἰβηρικὸς ἐγκέχυται, καὶ, μέσσος ἑλίσσεται, καὶ, Λιγυστιὰς ἕλκεται ἅλμη, καὶ, ἐπὶ Κύπριον ἐρεύγεται ἁλμυρὸν ὕδωρ, καὶ, Σαρδόνιος μορμύρεται πόντος, καὶ, ἀρύεται Τυρσηνὶς θάλασσα, καὶ, κυρτὸς ἐπιστρέφεται Σικελὸς ῥόος, καὶ ἄλλα τοιαῦτα. σκόπει δὲ καὶ τὴν ἐν τοῖς ὀνόμασιν ἐπίχυσιν καὶ πορισμότητα τοῦ ποιητοῦ, ἐν τῷ, πόντος Ἰβηρικὸς, καὶ, Γαλάτης ῥόος, καὶ, Λιγυστιὰς ἅλμη, καὶ, Κύπριον ἁλμυρὸν ὕδωρ, καὶ, Τυρσηνίδος οἶδμα θαλάσσης. Ἰστέον δὲ ὅτι τὸν ἀπὸ τῶν Γαλατῶν ὀνομαζόμενον Γαλάτην ῥοῦν, ἤτοι τὴν Γαλατικὴν θάλασσαν, Κελτογαλάται παροικοῦσιν· καὶ ὅτι λέγονται ἥττονες ἀκράτου οἱ Γαλάται εἶναι. λέγεται δὲ οὕτω καλεῖσθαι ἀπὸ Γαλάτου τινὸς υἱοῦ τοῦ Ἀπόλλωνος.

2. Ὅτι καὶ ἡ Μασσαλία Γαλατική [...]ι, Φωκεῖς δὲ ᾤκησαν αὐτὴν, φυγόντες τὴν τοῦ Κύρου δουλείαν. καὶ ὅτι ὅρμον ἔχει ἡ Μασσαλία ἐπίστροφον, ὅ ἐστι περιφερῆ καὶ περίδρομον, καμπύλον· ἢ οὗ ἐπιστρέφονται οἱ ναυτιλλόμενοι. ἀγαθὸς γὰρ τοῖς Μασσαλιώταις λιμὴν ὁ Λακύδων. τὸ δὲ ἐπίστροφος, καὶ παρ' Ὁμήρῳ κεῖται, ὅπου λέγει ὅτι καὶ Ὀδυσσεὺς ἐπίστροφος ἦν ἀνθρώπων. φασὶ δὲ τοὺς Μασσαλιώτας εὐδαιμονῆσαί ποτε περί τι ὀργανοποιΐαν, καὶ ναυτικὴν παρασκευήν. ἔστι δὲ οὐ μόνον χώρα Μασσαλία, ἀλλὰ καὶ πόλις Λιγύων περί που τὴν Κελτικήν, ἐτυμολογουμένη ἀπὸ τοῦ μάσσαι, ὅ ἐστιν ἐκδῆσαι, Αἰολικῶς, καὶ ἀπό τινος ἁλιέως. προσπλέων γάρ, φασὶν, ὁ τῶν ἀποίκων Φωκίων κυβερνήτης, καὶ ἰδὼν ἐκεῖ ἁλιέα, ἐκέλευσε μάσσαι, ὅ ἐστι δῆσαι τὸ ἀπόγαιον πεῖσμα· ὅθεν καὶ ἡ πόλις Μασσαλία, παρὰ τὸ μάσσειν, καὶ τὸν ἁλιέα.

3. Ὅτι μετὰ τοὺς Μασσαλιώτας οἱ Λίγυες, οὓς Λιγυστίνους ὁ Λυκόφρων καλεῖ. ὀνομάζονται δὲ οὕτως ἀπὸ Λίγυος ἀνδρὸς, ὃς τὸν Ἡρακλέα ἐκώλυσεν εἰς τὰς Γηρυόνου βοῦς ἀπιόντα. ὅτι καί φασιν οἱ μῦθοι ὡς ἐπέλιπε μὲν τὸν Ἡρακλέα πᾶν ἀμυντήριον βέλος· ὁ δὲ ηὔξατο τῷ Διΐ, ἐπαμῦναι· καὶ κεῖνος ἀναγαγὼν νεφέλην, λίθους ἄνωθεν ὗσεν, ἐξ ὧν καὶ τὸ λίθινον πέδον, μεταξὺ Μασσαλίας καὶ Ῥηγβύης, μεστὸν χειροπληθῶν λίθων, οὓς ὑπὸ κεραυνῶν στοιχείων, ἢ τυφωνικῶν ἀναθυμιάσεων διαρραγῆναί φασιν οἱ σοφοί, καὶ ἐκ πλακώδους στοιχείου κατακερματισθῆναι εἰς μικρά· τὸν μῦθον ἀφέντες ληρεῖν ἐθέλειν. ζῶσι δὲ ἀπὸ θρεμμάτων οἱ Λίγυες τὸ πλέον, καὶ γάλακτος, καὶ

κριθίνω

Ἔνθ' Ἰταλῶν υἷες ἐπ' ἠπείροιο νέμονται,
Ἐκ Διὸς [1] Αὐσονιῆες, ἀεὶ μέγα κοιρανέοντες,
Ἀρξάμενοι Βορέηθεν ἔσω Λευκὴν ἐπὶ πέτρην,
Ἥ ῥά τε [2] Σικελικῆς ἐπὶ πορθμίδος ἐῤῥίζωται,
Ἑξείης δ' ἐπὶ Κύρνον ἐρεύγεται ἁλμυρὸν ὕδωρ.
Τῇ δ' ἔπι [3] Σαρδόνιος μορμύρεται ἐγγύθι πόντος.
Τόνδε μέτ' ὠρύεται [4] Τυρσηνίδος οἶδμα θαλάσσης
Πρὸς νότον· αὐτὰρ ἔπειτα πρὸς αὐγὰς ἠελίοιο
Κυρτὸς ἐπιστρέφεται Σικελὸς ῥόος· αὐτὰρ ἔνερθεν
Ἐγκέχυται καὶ μέχρι πολυκλύστοιο Παχύνου,
Καὶ [5] Κρήσσης ἄκρης (ἥτ' εἰς ἅλα πουλὺ νένευκε,

χελιδόνων πομπάτων. οὗτοι δὲ σφενδονῶσιν (ὡς ἱστορία λέγει) ὥστε ὀρνίθων ἐπιφανέντων, διορίζονται εἰς ποῖον ἕκαστος βαλεῖ, ὡς πάντες τευξόμενοι. οἱ μέντοι παρὰ Τυρρηνοῖς Λίγυες ἀπό τινος ποταμοῦ Λίγυος ὀνομάζονται. Ἰστέον δ' ὅτι ἐοίκασι καὶ Κολχικοί τινες Λίγυες εἶναι ἄποικοι τῶν Εὐρωπαίων. καὶ δηλοῖ ὁ Λυκόφρων, ἱστορῶν ἐν τοῖς Κόλχοις Κύταιαν Λιγυστικὴν πόλιν. Ἀριστοτέλης δὲ ἱστορεῖ τῶν Λιγύων τινὰς ἐπεξεπλεύσεις πρός τινων λέγεσθαι (οὐ πιστεύων αὐτὸς τῷ τοιούτῳ λόγῳ) διὰ τὸ τοῖς ἀνθρώποις ἀνὰ ὀκτὼ ἑκατέρωθεν εἶναι πλευράς.

1. Ὅτι τοὺς Ἰταλοὺς, ὡς τότε μεγαλαυχοῦντας, μέγα κοιρανέειν λέγει, καὶ Αὐσονιῆας, ἤτοι Αὔσονας, ὀνομάζει. καὶ σημείωσαι ὅτι τοὺς αὐτοὺς εἶναι λέγει Αὔσονας καὶ Ἰταλούς. λέγονται δὲ Αὔσονες ἀπὸ Αὔσονος, ὃς πρῶτος μὲν τῆς κατὰ Ῥώμην βασιλεῦσαι πρός τινων ἱστορεῖται, Ὀδυσσεῖ γεγονὼς ἐκ τῆς Κίρκης· ἢ, κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα, ἐκ Καλυψοῦς γεννηθεὶς τῷ Ἄτλαντι· ἀφ' οὗ καὶ τὸ Σικελικὸν πέλαγος Αὐσόνιον ἐκλήθη ποτέ. λέγει δὲ αὐτοὺς παρὰ τὸν Λιγυστικὸν εἶναι κόλπον, ἀρξαμένους ἀπὸ βορέου, καὶ διήκοντας ἕως τῆς Λευκῆς πέτρας, ἧς καὶ ἐν τοῖς ἑξῆς μεμνήσεται. ἄκρα δέ ἐστιν αὕτη, περὶ ἧς οὕτως ἱστορεῖται· ἄκρα Λευκὴ πέτρα κεκλημένη ἀπὸ χρόας, εἰς ἣν τελευτᾷ τὸ Ἀπέννιον ὄρος. ἀπὸ Ἰταλοῦ δέ τινος ὀνομάζονται Ἰταλοί, ὡς καὶ Αὔσονες ἀπὸ Αὔσονος. Ἰστέον δὲ ὅτι ἀπὸ τοῦ Αὔσονος παράγωγον Αὐσονεύς, ὡς καὶ Αἰθιοπεύς, ἡγεμονικῶς, καὶ πλεονασμῷ τοῦ ι, διὰ δακτύλου συγκρότησιν, Αὐσονιεύς, ἐξ οὗ τὸ Αὐσονιῆες.

2. Ὅτι τὸν Σικελικὸν πορθμόν, καθ' ὑποκορισμὸν ἢ παρωνυμίαν πορθμίδα καλεῖ, λέγων ὅτι ἡ Σικελικὴ πέτρα Σικελικῆς ἐπὶ πορθμίδος ἐῤῥίζωται. ἄλλως δέ γε πορθμίδα φασὶν οἱ παλαιοὶ τὴν ἁλιάδα, ὅ ἐστι τὸ ἁλιευτικὸν πλοιάριον· ἢ καὶ τὸ ἁπλῶς μικρὸν πλοῖον, ὡς δηλοῖ Εὐριπίδης, ἔνθα Κρησίαν πορθμίδα καλεῖ, ἤγουν πλοῖον Κρητικόν. καὶ τὴν Ἀσίαν δὲ Ἀσιάδα παρωνύμως καλέσει ἐν τοῖς ἑξῆς ὁ Διονύσιος, εὐτελέστερον μὲν οὕτω ποιῶν διὰ τὸ ὑποκοριστικὸν σχῆμα, τὴν δὲ τοῦ μέτρου ἀνάγκην οὕτως ἀποπληρῶν.

3. Ὅτι οὐ μόνον Σαρδώ, ἡ νῆσος, ὡς τὸ Σαπφώ, ἀλλὰ καὶ Σαρδὼν Σαρδόνος, ὡς τρυγὼν, ἐξ ἧς Σαρδόνιος κόλπος, ὁ μετὰ τὴν Κύρνον. περὶ δὲ Σαρδόνος καὶ Κύρνου ἐν ἰδίῳ τόπῳ ῥηθήσεται. φαίνεται δὲ μετὰ τὸ Λιγυστικόν, εἶναι καὶ Κύρνιον

πέλαγος.

Ubi Italorum filii in continente habitant,
A Jove Auſonii ſemper longe lateque dominantes,
Orſi à borea introrſum uſque ad Leucopetram,
Quæ quidem Siciliæ in freto fixa eſt,
Deinceps vero in Corſicam eructat ſalſam aquam.
Poſt hanc autem Sardonium murmurat intus mare.
Hoc vero excipit Tyrrheni [*Thuſci*] unda maris,
Verſus auſtrum: at deinceps ad ortum ſolis,
Obliquus obvertitur Siculus pontus: ceterum infra
Infuſus eſt, etiam uſq; ad Pachynum qui multis undis abluitur,
Atq; Cretæum promontorium (quod in mare valde prominet,

πέλαγος, τὸ περὶ τὴν Κύρνον νῆσον· ἐνδοτέρω δὲ τούτου τὸ Σαρδόνιον.

4. Ὅτι μετὰ τὸν Σαρδόνιον κόλπον, θάλασσα πρὸς νότον ἡ Τυρρηνίς, καλουμένη οὕτως, διότι παράκειται αὐτῇ πρὸς βορρᾶν οἱ Τυρρηνοί, καθὰ καὶ οἱ Γαλάται τῇ Γαλατικῇ, καὶ οἱ Λίγυες τῇ Λιγυστικῇ· καὶ διὰ τὸ τοὺς Τυρρηνοὺς, πειρατὰς ποτὲ γενομένους, αὐτόθι συνιστᾶν τὰ λῃστήρια· ἐκεῖθεν δὲ πρὸς ἡλίου, φησὶν, αὐγὰς κυρτὸς ἐπιστρέφεται ὁ Σικελικὸς ῥόος, μέχρι τοῦ τε Παχυνοῦ, ἀνατολικοῦ ἀκρωτηρίου Σικελικοῦ, καὶ τοῦ κατὰ τὴν Κρήτην Κριοῦ μετώπου. ἐξήπλωται δὲ, φησὶ, καὶ μέχρι τοῦ Ἰονίου κόλπου ἐπιστρεφόμενος καὶ κυρτούμενος, ἕως καὶ ἐκεῖ. διὸ καὶ κυρτὸν αὐτὸν ὀνομάζουσιν, ὡς μὴ κατ' εὐθυωρίαν προϊόντα μέχρι τῆς Κρήτης, ἀλλὰ καὶ εἰς τὸν Ἰόνιον παρεκκλίνοντα. Σημείωσαι δὲ ὅτι νῦν μὲν ἕως τοῦ Κρητικοῦ μετώπου τοῦ Κριοῦ περαίνει τὸ Σικελικὸν πέλαγος· ὕστερον δὲ, ἄχρι καὶ Σαλμωνίδος αὐτὸ τῆς Κρητικῆς ἑῴας ἄκρας προάγει· ἔνθα τις ἐπιστατικώτερον τῷ λόγῳ διδοὺς ἑαυτὸν, εὕροι ἂν διώνυμον τὸ Σικελικὸν πέλαγος, αὐτό τε τοῦτο Σικελικὸν καλούμενον, ἀλλὰ δῆτα καὶ Κρητικόν. Φησὶ γὰρ ἐκεῖ ὁ Διονύσιος ἐν σχήματι ἐπαναλήψεως, Ἐκ δ' ὀρέων Σικελῶν Κρήτης ἀναπέπταται οἶδμα μακρὸν, Σαλμωνίδος ἄχρι κορώνης· οὐ λέγων ὅτι ἐκ τοῦ μετώπου τοῦ Κριοῦ τὸ Κρητικὸν πέλαγος, ἀλλ' ἐκ τῶν ὀρέων τῶν Σικελικῶν πέπταται. καὶ ἴσως δυοῖν ὄντων προσώπων τῷ πελάγει τούτῳ, ἑνὸς μὲν Σικελικοῦ, ἑνὸς δὲ Κρητικοῦ, ποτὲ μὲν Σικελικὸν ἐκ τοῦδε καλεῖται, ποτὲ δὲ ἐκ τοῦ ἑτέρου, Κρητικόν. εἰ δέ τις ἴσως τὸ, Ἐκ δ' ὀρέων Σικελῶν, νοήσει ἀντὶ τοῦ, μετὰ τὰ ὄρη τὰ Σικελικὰ, τότε δύνανται δύο εἶναι πελάγη, ἰδίᾳ μὲν τὸ Σικελικὸν, ἕως τοῦ μετώπου τοῦ Κριοῦ, ἰδίᾳ δὲ ἐκεῖθεν τὸ Κρητικὸν, ἕως Σαλμωνίδος.

5. Ὅτι ἡ τῆς Κρήτης ἄκρα, ἥτις εἰς ἅλα πολὺ νένευκεν, ἡ περὶ τὴν Γόρτυνα, παραυγάζει (τουτέστι παρεμφαίνει καὶ φαντάζει) μέτωπον Κριοῦ τοῖς πόῤῥωθεν βλέπουσι· καὶ ἐντεῦθεν ἔχει τὴν κλῆσιν, ὀνομαζομένη Κριοῦ μέτωπον. δεῖ δὲ εἰδέναι ὅτι ἐστὶ καὶ περὶ τὸν Εὔξεινον πόντον ἕτερον μέτωπον Κριοῦ, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται, ἀρκτικὸν ὄρος, διὰ τὴν αὐτὴν κἀκείνῳ αἰτίαν οὕτω καλούμενον. Ἰστέον δὲ ὅτι πολλάκις ἔκ τινων τόπων πόῤῥωθεν ὁρωμένων ζωϊκή τις φαντασία [illegible] καθ' ὁμοιότητα, δι' ἀπάτην ὄψεως· καὶ ὅτι τοιοῦτόν τι πέπονθεν ὁ

Πὰρ δ' ἱερὴν [1] Γόρτυνα, καὶ ἠπειρῶτιδα [2] Φαιστὸν,
Προπρηνής, κριοῖο παραυγάζουσα κάρηνον·
(Τοὔνεκά μιν καὶ Κριοῦ ἐφημίξαντο μέτωπον)
Ναὶ μὴν καὶ τετάνυσται Ἰηπυγίην ἐπὶ γαῖαν.
Κεῖθεν [3] δ' εὐρυνθεῖσα πιαίνεται Ἀδριὰς ἅλμη
Πρὸς βορέην· αὖθις δὲ πρὸς ἑσπέριον μυχὸν ἕρπει,
Ἥντε καὶ Ἰονίην περιναιέται αὐδάξαντο.
Διοσσὰς δ' ἠπείρους ἀπερεύγεται. [4] ἐς μὲν ἰόντι
Δεξιτερὴν κατὰ χεῖρα φαείνεται Ἰλλυρὶς αἶα,
Δαλματίη [5] δ' ἐφύπερθεν, ἐνυαλίων πέδον ἀνδρῶν.
Σκαιῇ δ' Αὐσονίων παρακέκλιται ἄσπετος ἰσθμὸς,
Πουλυτενής, τριοσῆσι περίδρομος ἀμφιτρίταις,
Τυρσηνῇ, Σικελῇ τε, καὶ Ἀδριάδι πληθούσῃ.
Ἡ μία δ' εἰς ἀνέμους τεκμαίρεται ὁλκὸν ἑκάστη·

ὀφθαλμὸς καὶ περὶ τὸν Εὔξεινον καὶ περὶ τὴν Κρήτην, μέτωπα φαντάζεται Κριοῦ. καὶ ὁ κατὰ τὴν Νιόβην δὲ μῦθος οὕτω πως θεραπεύεται· φασὶ γὰρ τινῶν ἀκρωτήριον εἶναι Φρύγιον, ἐοικὸς γυναικείῳ προσώπῳ τοῖς πόρρω ἀφεστηκόσιν, ἐξ οὗ ὕδωρ ἀέναον καταρρέει, ὅπερ ὁ μῦθος εἰς δάκρυον αὐτοματίζει τῇ Νιόβῃ. ὁρῶμεν δὲ καὶ τοὺς τὴν γραφικὴν τέχνην δεινοὺς, εἰς λεόντων μιμήματα, ἢ τοιούτων τινῶν θηρίων προτομὰς, τὰς τῶν ὀρέων ἐκτυποῦντας κορυφὰς, ὡς τῆς ὄψεως τοιαῦτά τινα φανταζομένης καὶ πόρρωθεν.

1. Ὅτι ἡ Γόρτυν καὶ Γόρτυνα λέγεται τρισυλλάβως, καὶ τὸ μὲν κλίνεται Γόρτυνος, ὡς Φόρκυνος· τὸ δὲ, Γορτύνης, ὡς Λεαίνης. ἱερὰν δὲ αὐτὴν λέγει, ἢ ἁπλῶς διὰ τὸ ἔνδοξον· ἢ Ὁμηρικῷ ζήλῳ, ὡς καὶ Ὁμήρου τὰς πόλεις οὕτω καλοῦντος, διὰ τὸ φυλακτικὸν τῶν ἐν αὐταῖς. κτίσμα δὲ ἡ Γόρτυν Ταύρου ἐκείνου τοῦ τὴν Φοίνισσαν Εὐρώπην ἁρπάσαντος, ὃς Κρήτης ἦν βασιλεύς. μεγάλη δὲ αὕτη ἡ πόλις, κατὰ τὸν Γεωγράφον, εἰπόντα, "πόλεις Κρήτης μέγισται, Γόρτυνα, Κυδωνία, καὶ Κνωσσός". λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι "Γορτύνη δευτερεύει μετὰ Κνωσσὸν κατὰ δύναμιν", καὶ ὅτι "συμπράττουσαί ποτε ἀλλήλαις, πάντας εἶχον ὑπηκόους τοὺς ἐκεῖ."

2. Ὅτι ἡ Φαιστὸς, ἣν ὁ Διονύσιος ἠπειρῶτιδα λέγει, διεῖχε θαλάσσης μὲν σταδίους κ', Γόρτυνος δὲ, ἑξήκοντα· κατεσκάφη δὲ ὑπὸ Γορτυνίων. ἐξ αὐτῆς ἦν Ἐπιμενίδης ὁ ποιήσας δι' ἐπῶν καθαρμούς.

3. Ὅτι ὁ Ἰόνιος κόλπος μετὰ τὸν Σικελικὸν εὐρύνεται πρὸς βορρᾶν, αὖθις δὲ κάμπτων, πρὸς ἑσπέριον μυχὸν ἕρπει, ἀφορῶν πρὸς τὸν εἰς τὴν ἑσπερίαν θάλασσαν παρεκταθέμενον ὠκεανόν. Ἱστέον δὲ ὅτι οὐ μόνον Ἰόνιος κόλπος καλεῖται, ἀλλὰ καὶ Ἀδρίας ὁ αὐτὸς λέγεται, καὶ Ἀδριακὸς, καὶ Ἀδριατικὴ θάλασσα. οἱ δὲ ἀκριβέστεροι τὸν Ἰόνιον μέρος τοῦ Ἀδρίου φασί. λέγεται δὲ Ἰόνιος, ὡς καὶ παρὰ Λυκόφρονι δοκεῖ καὶ παρὰ Αἰσχύλῳ, ἀπὸ τῆς Ἰοῦς. διενήξατο γὰρ ἐκείνη, βοῦς γενομένη, κἀνταῦθα. οἱ δέ φασιν ἀπὸ Ἰάονος ἀνδρὸς Ἰταλοῦ. ἢ ἀπὸ Ἰονίου ἀνδρὸς Ἰλλυρικοῦ. λέγουσι δέ τινες καὶ τὸ ἀπὸ Γάζης μέχρις Αἰγύπτου πέλαγος, Ἰόνιον λέγεσθαι ὁμοίως,

Et juxta ſacram Gortynam, ac mediterraneam Phæſtum,
Pronum, arietis aſſimilans caput :
Eoque ipſum etiam Arietis vulgo dixerunt frontem)
Quinetiam expanſus eſt Iapygiam ad terram.
Inde vero dilatatum protenditur Adrium ſalum
Ad boream : ſed rurſum ad occiduum receſſum ſerpit,
Quod etiam Ionium accolæ dixerunt.
Duas vero continentes eructat. intranti quidem
Dextram ad manum cernitur Illyris terra,
Dalmatia vero ſupra [*ultra*] Martiorum ſolum virorum.
Ad lævam vero Auſoniorum expanditur immenſus iſthmus,
Longe porrectus, tribus circumfluus maribus,
Tyrrheno, [*Thuſco,*] Siculo, atque Adrio adventante.
Unumquodque autem in ventum dirigit tractum :

μοίως, ἀπὸ τῆς Ἰοῦς. καὶ τὴν ἐκεῖ δὲ Γάζαν, Ἰονίην καλοῦσί τινες· ἔνθα βοῦς ἦν ἐν ἀγάλματι τῆς Ἰοῦς, ἤτοι τῆς σελήνης. Ἰὼ γὰρ ἡ σελήνη, κατὰ τὴν τῶν Ἀργείων διάλεκτον. τοῦ δὲ ἀνωτέρω ῥηθέντος Ἰονίου μυχὸς Ἀδρίας ἰσίερηται, ἀφ' οὗ τὸ αὐτὸ πέλαγος καὶ Ἀδριατικὸν λέγεται. ἄλλοι δὲ οὕτω φασίν· ἔστιν Ἀδρία πόλις ἐπιφανὴς, καὶ παρ' αὐτὴν κόλπος Ἀδρίας, καὶ ποταμὸς ὁμωνύμως. ἀγαθὴ δὲ, φασὶ, βοσκήμασιν ἡ ἐκεῖ γῆ, ὥστε καὶ δὶς τίκτειν τοῦ ἐνιαυτοῦ καὶ διδυμοτοκεῖν.

4. Ὅτι εἰσιόντι τὴν Ἰονίαν θάλασσαν, κατὰ μὲν τὰ σκαιὰ ἡ τῶν Αὐσόνων κεῖται χώρα, δεξιτερὴν δὲ κατὰ χεῖρα ἡ Ἰλλυρὶς ἐστὶ γῆ, οὕτω καλουμένη ἀπὸ Ἰλλυριοῦ υἱοῦ Κάδμου. Δαλματία δ' ἐφύπερθεν, ἣν καὶ λέγει ἐνυαλίων πέδον ἀνδρῶν, διὰ τὸ μαχίμους εἶναι τοὺς ἐκεῖ. φασὶ δὲ καὶ τοὺς Δαλματεῖς δι' ὀκταετηρίδος ποιεῖσθαι τῆς χώρας ἀναδασμὸν κατά τινα ἀναγραφήν· καὶ οὐδὲ νομίσμασι χρῆσθαι, πολλὴν ταύτην ἀφιλομένους τοῦ βίου κιβδηλίαν. διχῶς δὲ τὸ ἔθνος λέγεται, καὶ Δαλματαὶ καὶ Δαλματεῖς· ἡ δὲ πόλις αὐτῶν, Δάλμιον, ἢ Δελμίνιον, ἢ Δέλμινον.

5. Ὅτι καὶ ἐνταῦθα οὐ κατὰ κοινὴν χυδαιολεξίαν ἰσθμὸν εἶπε τὸν περὶ τοὺς Αὔσονας τὸν πλατύτατον. οὐ γὰρ ἐστένωται οὐδὲ ὁ τοιοῦτος ἰσθμός. διὸ ἐπάγει, ὡς καὶ ἐν τοῖς περὶ τούτου, θεραπείαν, λέγων, παρεκπέπταται ἄπειρος, πολυτενὴς, τρισσαῖς θαλάσσαις περίδρομος. καὶ εὐθὺς ἐπάγει ποίαις θαλάσσαις περιείληπται ὁ τοιοῦτος ἰσθμός. λέγων πάιν γεγαῖς, ὅτι Τυρσηνῇ, Σικελῇ τε καὶ Ἀδριάδι πληθούσῃ. εἶτα εἰπὼν, ὅτι ἑκάστη τῶν τοιούτων τριῶν θαλασσῶν πρός τινα ἄνεμον τεκμαίρεται τὸν ὁλκὸν, σχηματίζει πάλιν κατὰ γειτότητα οὕτω, Τυρσηνὴ ζέφυρον, Σικελὴ νότον, Ἀδριὰς εὖρον· φιλοτιμησάμενος ἐν ἑνὶ στίχῳ ἐνθεῖναι τάς τε τρεῖς θαλάσσας, καὶ τοὺς τρεῖς ἀνέμους, εἰς οὓς ἑκάστη τὸ ἑαυτῆς παρασύρεται ῥεῦμα. ὁποῖόν τι πεποίηκε περὶ τούτου, ὡς προγέγραπται, καὶ ἐν τῷ, Πρώτιστον μὲν Λιβύην, μετὰ δ' Εὐρώπην, Ἀσίην τε, τὰς τρεῖς ἠπείρους ἐκεῖ ἐνὶ ἔπει συμπεριλαβών. Σημείωσαι δ' ὅτι ἐνταῦθα μὲν Τυῤῥηνὴν ἀμφιτρίτην, ἀνωτέρω δὲ, Τυῤῥηνίδα θάλασσαν εἶπεν, ἐν διαφόροις καταλήξεσιν.

Τυρσηνὴ ζέφυρον, Σικελὴ νότον, Ἀδριὰς εὖρον.
Αὐτὰρ [1] ὑπὲρ Σικελῆς χθονὸς ἕλκεται οἶδμα κορύσσων
Πόντος ἔσω Λιβύης, νοτίην ἐπὶ Σύρτιν ἑλίσσων
Τὴν ἑτέρην, ἥνπερ τε καὶ εὐρυτέρην ἐνέπουσιν·
Ἄλλη δ', ἥτις ἀφαυρὸν ἔχει πόρον ἔνδον ἐοῦσα,
Τηλόθεν ἐρχομένην δέχεται πλημμυρίδα πόντου.
Ὡς [2] οἱ μὲν βοόωσιν ἑλισσόμενοι δύο κόλποι.
Ἐκ δ' ὀρέων Σικελῶν Κρήτης ἀναπέπταται οἶδμα
Μακρὸν ἐπ' ἀντολίην, [3] Σαλμωνίδος ἄχρι καρήνου,
Ἣν Κρήτης ἐνέπουσιν ἑώϊον ἔμμεναι ἄκρην.
Δοιαὶ δ' ἑξείης προτέρω [4] φρίσσουσι θάλασσαι,
Ἰσμαρικοῦ πνοιῇσιν ἐλαυνόμεναι Βορέαο,
Ὀρθὸν φυσιόωντος, ἐπεὶ κατεναντία κεῖνται.
Ναῦται δὲ πρώτην, Φαρίην ἅλα κικλήσκουσιν,
Ὕστατον ἐς πρηῶνα τιταινομένην Κασίοιο·
Σιδονίην [5] δ' ἑτέρην, ὅθι τείνεται ἐς μυχὰ γαίης
Ἰσσοῦ ἄχρις πόλιος, Κιλίκων χώραν παραμείβων,
Ἰσσικὸς [6] ἑλκόμενος βορέην ἐπὶ κόλπος ἀπείρων.

1. Ὅτι πρὸς τὰ νότια τῆς Σικελικῆς χθονὸς ἕλκεται κόλπος ἔσω Λιβύης, νοτίαν Σύρτιν ἑλίσσων, τὴν ἑτέραν τὴν εὐρυτέραν· ἐνδοτέρα δὲ ταύτης δυσκαιτέρα ἐστὶν ἡ ἑτέρα Σύρτις, ἀφαυρὸν ἔχουσα πόρον, ὅ ἐστι, μικροτέρα οὖσα. ἥτις, φησί, τηλόθεν ἐρχομένην δέχεται πλημμυρίδα πόντου· περὶ δὲ τῆς τοιαύτης πλημμυρίδος ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. Σημείωσαι δὲ ὅτι ἐνταῦθα ὁ περιηγητὴς τῇ ὑπὲρ προθέσει ἐπὶ τοῦ νοτίου ἐχρήσατο, εἰπὼν ὑπὲρ Σικελικῆς χθονὸς τὴν νοτίαν Σύρτιν ἑλίσσεσθαι. ποιήσει δὲ τοῦτο πλειστάκις καὶ ἐν τοῖς ἐσέπειτα. ὥστε οὐκ ἐπὶ βορείου μόνον ἡ ὑπὲρ πρόθεσις τίθεται, διὰ τὸ ἔξαρμα τὸ ἐν αὐτοῖς, ἀλλὰ καὶ ἐπὶ τοῦ νοτίου. οὐδὲ γὰρ οὐδ' ἐκεῖνα ἐστέρηνται τοῦ εἰς ὕψος ἐξῆρθαι, εἰ καὶ ἡμῖν δοκεῖ ταπεινά. ὅτι δὲ καὶ ἐπὶ βορείου τίθησι τὴν ὑπὲρ, ἐκδηλότατόν ἐστιν. ἐρεῖ οὖν ἐν τοῖς ἑξῆς, βορειοτέρη γαίης ὑπὲρ Εὐρωπείης, τουτέστι πρὸς τὰ βόρεια τῆς Εὐρώπης.

2. Ὅτι μέλλων ἀπὸ τῶν δύο Σύρτεων μεταβῆναι εἰς τὴν ἑξῆς περιήγησιν, σχήματι τοιούτῳ χρῆται συμπληρωτικῷ, γοργῷ τε καὶ σεμνῷ, Ὡς οἱ μὲν βοόωσιν ἑλισσόμενοι δύο κόλποι. καὶ μετὰ ταῦτα δὲ πολλαχοῦ διὰ σαφήνειαν χρῆται συχναῖς συμπληρώσεσιν, ἤτοι ἀποθέσεσιν.

3. Ὅτι ἡ Σαλμωνίς, ἑῴα ἐστὶν ἄκρα τῆς Κρήτης· ὥσπερ αὖ πάλιν δυτικὸν ἄκρον αὐτῆς, τὸ τοῦ Κριοῦ μέτωπον. πρὸς τοῦτο τὸ τῆς Σαλμωνίδος, ὡς αὐτός φησι, κάρηνον, ἤτοι ἀκρωτήριον, ἀναπέπταται τὸ Κρητικὸν πέλαγος. μᾶλλον δὲ ἄχρι καὶ αὐτοῦ περαίνεται τὸ εἴτε Σικελικὸν, εἴτε καὶ Κρητικὸν, καθὰ πρὸ μικροῦ εἴρηται, πέλαγος· οὗ κατεξῆς ἡ Φαρία θάλασσα· μεθ' ἥν, ἡ Σιδωνία· καὶ

ἐπὶ

Tyrrhenum in zephyrum, Siculum notum, Adrium eurum.
Porro ſupra Siculam terram trahitur undam attollens
Pontus intra Libyam, auſtralem in Syrtim volvens
Alteram, quam quidem & latiorem vocant:
Altera vero, parvum habens ſinum, quæ intus eſt,
Eminus advenientem ſuſcipit æſtum maris.
Ita quidem reboant vorticoſi hi duo ſinus.
E montibus autem Siculis Cretæ expanditur [*porrigitur*] unda
Longe in ortum, Salmonium uſque ad promontorium,
Quod dicunt orientale Cretæ eſſe promontorium.
At deinceps duo ulterius intumeſcunt maria,
Iſmarici flatibus agitata boreæ,
Recta ſpirantis, quandoquidem è regione ſita ſunt.
Nautæ autem primum, Pharium mare appellant,
Quod in ultimum jugum porrigitur Caſii:
Sidonium vero alterum, ubi extenditur in ſeceſſum terræ,
Iſſum aduſque urbem, Cilicum regionem præteriens,
Iſſicus, qui trahitur boream verſus, ſinus immenſus.

ἐπὶ ταύτῃ τελευταῖος ὁ περὶ Κύπρον κόλπος, ἤγουν ὁ Ἰσσικός. περὶ οὗ καὶ μετ' ὀλίγον λελέξεται.

4. Ὅτι τὸ φρίσσειν κυρίως ἐπὶ θαλάσσης λέγεται. φησὶν οὖν ὅτι φρίσσουσιν ἥτε Φαρία καὶ ἡ Σιδωνία θάλασσα, ἐλαυνόμεναι πνοαῖς Ἰσμαρικοῦ βορρᾶ, ὀρθὸν φυσῶντος, ἐπεὶ κατ' ἐναντία κεῖνται τοῦ Βορρᾶ. εἶπε δὲ τὸ φρίσσουσιν, ἀντὶ τοῦ ὀρθοῦνται, καὶ εἰς ὕψος αἴρονται τοῖς κύμασιν. ἐντεῦθεν δὲ καὶ ἡ φρίξ, ὡς καὶ ὁ ποιητής, μελαίνῃ φρικὶ καλυφθείς, ἤτοι τῇ ἐπαναστάσει τοῦ κύματος. ὅτι δὲ θαλασσία λέξις τὸ φρίσσειν, ἐν τοῖς τοῦ Ὁμήρου κάλλιον γέγραπται. τὸν δὲ βορρᾶν Ἰσμαρικὸν εἶπεν, ἀντὶ τοῦ Θρακικὸν, ἀπὸ Ἰσμάρου πόλεως Θρᾴκης. ἰστέον δὲ ὅτι τὴν Φαρίαν ταύτην θάλασσαν, ἥτις μετὰ τὸ Κρητικόν ἐστιν, ὡς εἴρηται, πέλαγος, καὶ Παρθένιον κόλπον ἐκάλουν οἱ παλαιοί. καὶ ὅτι ὥσπερ Σιδωνία καὶ Ἰσσικὸς ἀπὸ Ἴσσου πόλεως καὶ Σιδῶνος, οὕτω καὶ Φαρία διὰ τὴν Ἀλεξανδρεινὴν Φάρον, ἥτις ἐστὶ νῆσος ἐν δεξιᾷ κειμένη Ἀλεξανδρείας, πύργον ἀνέχουσα μέγιστον, ἐκπυρσεύοντα τοῖς καταπλέουσι. περὶ δὲ ταύτης τῆς Φάρου εἴρηται μὲν καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν· ῥηθήσεται δὲ καὶ ὅτε τῷ λόγῳ εἰς Ἀλεξάνδρειαν ἔλθωμεν.

5. Ὅτι ὁ Διονύσιος τὴν Σιδῶνα κλίνων, ἀκολούθως Ὁμήρῳ, ἐν τῷ, Σιδωνία θάλασσα, ἐκτείνει μὲν τὸ τῆς ἀρχούσης δίχρονον, συστέλλει δὲ τὸ ο τὸ μετὰ τὴν ἄρχουσαν. ὁμοίως καὶ ἐν τοῖς ἑξῆς, ἐν τῷ,

Βύβλον τ' ἀγχίαλον, καὶ Σιδόνα ἀνθεμόεσσαν.

εἰ δὲ ὕστερον τὰς ὅλας πλαγίας τῆς Σιδῶνος, τῷ ω μεγάλῳ παραληγομένας ἐκφέρουσιν.

6. Ὅτι ἡ περὶ τὴν Παμφυλίαν χώραν θάλασσα.

Οὐ μὲν πολλὸν ἄνωθεν ἰσόδρομος· ἄγχι γὰρ ἤδη
Ὑσπληγγι [1] δνοφερῇ Κιλίκων ἀποπαύεται αἴης,
Τῆμος ἐπὶ ζέφυρον στρεπτὴν ἐπερεύγεται ἅλμην.
Ὡς δ' [2] ὅτε δράκων βλοσυρωπὸς ἑλίσσεται ἀγκύλος ἕρπων,
Νωθὴς, τῷ δ' ὑπὸ πᾶσα βαρύνεται οὔρεος ἄκρη
Ἐρχομένῳ· τὼς κεῖνος ἑλίσσεται εἰν ἁλὶ κόλπος
Νήχυτος, [3] ἔνθα καὶ ἔνθα βαρυνόμενος προχοῇσι.
Τοῦ μὲν ἐπὶ προχοῇ Παμφύλιοι ἀμφινέμονται,
Ὅσσον ἐπιπροβέβηκε Χελιδονίων ἐπὶ νήσων·
Σῆμα [4] δ' ἔχει ζεφύρου Παταρηΐδα τηλόθεν ἄκρην.
Φράζεο δ' ἐκ κείνου τετραμμένος αὖθις ἐπ' ἄρκτους,
Αἰγαίου πόντοιο πλατὺν πόρον· ἔνθα τε κῦμα

θάλασσα, περὶ ἣν ἡ Κύπρος, ὁ φυγόνοι Παμφύλιος κόλπος λέγεται, κατὰ ἐθνικὴν τοπικὴν κλῆσιν, ἀπὸ τοῦ τῶν Παμφύλων ἔθνους· ἀλλὰ καὶ Ἰσσικὸς, ἀπὸ Ἰσσοῦ πόλεως κειμένης μεταξὺ Συρίας καὶ Κιλικίας. φησὶ γοῦν καὶ ὁ Διονύσιος ὅτι ὁ Ἰσσικὸς κόλπος ἕλκεται ἐπὶ βορρᾶν, Ἰσσοῦ ἄχρι πόλεως, Κιλίκων χώρην παραμεῖβον. ταύτην δὲ τὴν πόλιν Ἀλέξανδρος ὀνομαστὴν ποιήσας, ὡς τὸν Δαρεῖον ἐκεῖ νικήσας, ἐκάλεσε Νικόπολιν. οὗτος ὁ κόλπος, ὡς ὁ Διονύσιος λέγει, ἄγχι τῆς τῶν Κιλίκων γῆς ἐλθὼν εὐθύπορος, κατὰ ἰσοδρομίαν τινὰ, κἀκεῖ ἀποπαυσάμενος, ἐκεῖθεν ὡς ἐν ὑσπληγγι γνοφερῇ, τουτέστιν ὡς ἐν καμπτῆρι, στρεπτὴν ἐπὶ ζέφυρον ἐπερεύγεται ἅλμην, ἠρέμα ἐπὶ δύσιν κάμπτων, καὶ στρεφόμενος, καὶ ἀφορῶν εἰς τὸν ζέφυρον.

1. Σημειῶσαι δὲ ὅτι ὕσπληγξ οὐ μόνον, ὡς ἐνταῦθα, ἐπὶ καμπτῆρος λέγεται, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ ἀφετηρίας, ὅ ἐστι καγκέλλου. ὀνομάζεται δὲ οὕτω καὶ ἡ ὑστριχὶς, οὐ τὸ ζῷον, ἀλλὰ τὸ πληκτικὸν ὄργανον· λεγόμενον οὕτω διὰ τὸ ἐκ τριχῶν ὑείων εἰς πληγὴν συγκροτεῖσθαι. δέρμα γὰρ ὑὸς στενὸν καὶ ἐπίμηκες ἀποτεμνόμενοι τινὲς αὐταῖς θριξὶ, καὶ τοῦ μήκους τῶν τριχῶν κείραντες, ὡς ἂν ἔχοιεν αὐταὶ οὕτω κεντεῖν σταθηρότερον, ἔτυπτον τοὺς μαστιγίας· καὶ ἐκαλεῖτο ὕσπληγξ τὸ τοιοῦτο τῆς μάστιγος ἐργαλεῖον. καὶ ἄλλως δὲ ἡ τοιαύτη ὕσπληγξ, πλέγμα ἦν ἀπὸ ὑείων τριχῶν. Ἰστέον δὲ ὅτι παρὰ Θεοκρίτῳ ἡ ὕσπληγξ εἴρηται, καὶ ἐπὶ παγίδος ὀρνέου τιθεμένη, διὰ τὸ συγκροτεῖσθαι, ὡς εἰκὸς, ἀπὸ ὑστριχίδος πλέγματος. Ἰστέον δὲ καὶ ὅτι πρώτως μὲν ὑστριχὶς ἐλέχθη τὸ τῆς πληγῆς ὄργανον, ὁποῖον ἂν καὶ ἦν· ἐκεῖθεν δὲ καὶ ὁ καμπτὴρ τοῦ ἀγῶνος ὕσπληγξ ὠνόμασται, διὰ τὸ τοὺς ἵππους ἐκεῖ προσεκτικώτερον καὶ πλήσσεσθαι καὶ νύσσεσθαι. ὅθεν καὶ νύσσα ὁ τοιοῦτος τόπος λέγεται. ἐπεὶ δὲ καὶ ἐκ πρώτου δρόμου οἱ ἵπποι ταῦτα πάσχουσι, διὰ τοῦτο καὶ ἡ ἀφετηρία ὕσπληγξ, ἔτι δὲ καὶ νύσσα ἐλέγετο.

2. Οὐκ εἰ καὶ εὐτελῶς καὶ μικροπρεπῶς, ὅμως ὡς ἐξὸν τὴν ἐν παραβολαῖς, δράκοντι τὸν τοιοῦτον Ἰσσικὸν εἰκάζει κόλπον, λέγων ὅτι ἐκεῖνος ἐν ἁλὶ κόλπος ἑλίσσεται, ὡς δράκων βλοσυρωπὸς ἑλίσσεται ἀγκύλος ἕρπων, νωθὴς, ὑφ' ᾧ πᾶσα βαρύνεται ὄρεος ἄκρα ἐρχομένῳ. τοῦτο δὲ λέγει, διὰ τὸ καὶ τὸν Ἰσσικὸν κόλπον ἔνθα καὶ ἔνθα βαρυνόμενον

ταῖς

Non tamen multum procul æqualem curſum habet: jam enim prope
Cilicum terram ceſſat, flexu atro;
Tum ad zephyrum converſam eructat undam.
Ut autem draco horrendus viſu volutatur flexuoſus repens,
Tardus, ſub hoc autem totum gravatur montis jugum
Incedente: ſic ille volvitur in mari ſinus
Diffuſus, hinc & illinc gravatus gurgitibus.
Hujus quidem ad gurgitem Pamphylii habitant,
Quantum progreditur Chelidonias ad inſulas:
Terminum autem habet zephyri Patareum eminus promontorium.
Conſidera vero, ex illo [*ſinu*] converſus rurſus ad ſeptentriones,
Ægæi ponti vaſtum gurgitem: ubi etiam fluctus

ταῖς περιοχαῖς ἑλίσσεται δυσπόρευτον κεχυμένον, καὶ πολὺ τὸ κεκλασμένον, καὶ κατὰ τοὺς ὄφεις καμπύλον ἔχοντα. Σημείωσαι οὖν ὅτι διὰ μόνας τὰς καμπὰς τοῦ Ἰσσικοῦ, ἡ τοῦ ὄφεως εἴληπται παραβολή· καὶ διὰ τοῦτο ἔχει ἀσφαλῶς. ἄλλως γὰρ πολὺ ἔχει τὸ ταπεινόν, εἰ ὁ τοσοῦτος κόλπος ὁλκῷ παραβέβληται ὄφεως. δράκοντι μὲν γὰρ προσαρμόσαι παραβολὴν ἐκ πελάγους, ὑψοποιόν ἐστι· πέλαγος δὲ τηλικοῦτον παραβάλλειν ἁπλῶς δράκοντι, καταβάλλει τὸ τοῦ κόλπου μέγεθος. ὅρα δὲ ὅτι φανερῶς ἐνταῦθα τὸ βλοσυρωπὸς δι' ἑνὸς σ ἐκφέρεται, δηλοῦν τὸ ἄγριον καὶ ὑποσεσυρμένον τοῦ βλέμματος.

3. Οὐκ ὥσπερ τὸ α ποτὲ μὲν στερεῖ, ποτὲ δὲ ἐπιτείνει, οὕτω καὶ τὸ νη. τὸ μὲν γὰρ νηλεής, ἐλέου δηλοῖ στέρησιν· τὸ δὲ νήχυτος κόλπος, δαψιλείαν κύματος.

4. Ὅτι ὁ Ἰσσικὸς κόλπος, ὁ κατὰ Κύπρον, ὡς εἴρηται, διὰ τῆς τῶν Παμφυλίαν ἔρχεται, διὸ καὶ Παμφύλιος λέγεται. διήκει δὲ καὶ μέχρι τῶν Χελιδονίων νήσων, περὶ ἃς μετὰ ταῦτα εἰρήσεται. ἔχει δὲ τελευταῖον σῆμα πρὸς ζέφυρον, τὴν τῶν Παταρέων ἄκραν, ἥτις διορίζει Λυκίαν τε καὶ Καρίαν. σῆμα δὲ, τὸ σημεῖον ἤτοι τὸ πέρας, λέγει, κατὰ λόγον φιλόσοφον. τὸ γὰρ σημεῖον, τουτέστιν ἡ στιγμή, πέρας ἐστὶ γραμμῆς, ὡς καὶ ἐνταῦθα τῆς περιόδου τοῦ πελάγους τούτου δυτικὸν σῆμά ἐστι τὰ Πάταρα. Ἱστέον δὲ ὅτι Πάταρα καλεῖται ὁ τοιοῦτος τόπος, ἢ ἀπὸ Παταρέως υἱοῦ Ἀπόλλωνος καὶ Λυκίας τῆς Ξάνθου· ἢ ἀπὸ τῆς παταρᾶς, ὃ δηλοῖ Ἑλληνιστὶ τὴν κίστην, ἤτοι κιβωτόν. φασὶ γὰρ ὅτι παταρὰν ἀθύρματα τοῦ Ἀπόλλωνος περιέχουσαν, πέμματά τινα ἐν σχήματι λύρας καὶ τόξου καὶ βελῶν, ἄνεμος ἁρπάσας ἀπό τινος παιδίσκης, καὶ ὑπολαβὼν εἰς θάλασσαν ἔβαλε τὴν Λυκιακήν, καὶ τῇ ἐκεῖ Χερρονήσῳ προσήγαγεν. ὅθεν καὶ ἡ Χερρόνησος ἱερά τε ἀνεῖται τῷ Ἀπόλλωνι, καὶ τὴν κλῆσιν ἀπὸ τῆς τοιαύτης παταρᾶς, ἤτοι κιβωτοῦ, ἐκέρδανε. κρατεῖ δὲ περὶ τούτου καὶ τοιαύτη τις ἱστορία· Πάταρος καὶ Ξάνθος λῃσταί, παῖδες Λαπιῶνος, βίον ἐκ τοῦ πειρατεύειν ἀποχρῶντα πορισάμενοι, κατέλυσαν τὴν τοῦ λῃστεύειν πλάνην, καὶ τῇ Λυκίαν γῇ προσσχόντες, ᾤκησαν βεβαίως ἐκεῖ. καὶ ἀπὸ μὲν τοῦ πρεσβυτέρου Ξάνθου ποταμὸς ἐκεῖ Ξάνθος ἐκλήθη, καὶ πόλις ὁμώνυμος· ἀπὸ δὲ τοῦ λοιποῦ ἐκλήθη τὰ Πάταρα.

1. Οτι

Ρησσόμενον νήσοισι περιβρέμεται [1] Σποράδεσσιν.
Οὐ γάρ τις κείνῳ ἐναλίγκια κύματ' ὀφέλλει
Ὑψόθι μορμύρων ἕτερος πόρος Ἀμφιτρίτης.
Οὖρον [2] δ' ἐς Τένεδον τεκμαίρεται ἐσχατόωντα,
Ἴμβρον ἔχων ἑτέρωθεν· ὅθεν στενὸς ἔρχεται αὐλὼν,
Συρόμενος βορέηνδε Προποντίδος ἔνδοθι πάσης.
Τῆς [3] δ' ὑπὲρ ἄσπετα φῦλα τιταίνεται Ἀσίδος αἴης
Πρὸς νότον· ἠπείρου γὰρ ἐπὶ πλατὺς ἔρχεται ἰσθμός.
Τῇ δ' ἔπι, Θρηϊκίου [4] στόμα Βοσπόρου, ὃν πάρος Ἰὼ
Ἥρης ἐννεσίῃσιν ἐνήξατο πόρτις ἐοῦσα.
Στεινότατος [5] δὴ κεῖνος ἁπάντων ἔπλετο πορθμὸς

1. Ὅτι αἱ Σποράδες νῆσοι περὶ τὸ Αἰγαῖον κεῖνται πέλαγος· οὗ οὐδεὶς ἕτερος, φησὶ, κόλπος θαλάσσης ὑψόθι μορμύρων ἐναλίγκια κύματ' ὀφέλλει. αἴτιον δὲ τούτου φασὶ τὸ πλῆθος τῶν αὐτόθι νήσων, αἷς προσρησσόμενα συχνὰ τὰ κύματα ἐπαναστρέφει, καὶ τῇ συνδρομῇ βιαιότερον κορυφούμενα, πλείω ἐγείρει τὸν κλύδωνα. διὸ καὶ ὁ Διονύσιος φησιν, ἔνθα κῦμα ῥησσόμενον νήσοις περιβρέμεται Σποράδεσσι. περὶ ὧν ἐρεῖ ἐν τοῖς ἑξῆς. Ἰστέον δὲ ὅτι οὐ μόνον πέλαγος Αἰγαῖον, ἀλλὰ καὶ πεδίον τι περὶ τὴν Φωκίδα γῆν ἱστορεῖται καλούμενον Αἰγαῖον ἐκεῖνο, παρὰ τὸν ἐκεῖ ῥέοντα Αἴγαν ποταμόν.

2. Ὅτι ὁ τοῦ Αἰγαίου πόντου πλατὺς πόρος, ἀπὸ Πατάρων ἀρχόμενος, εἰς Τένεδον καὶ Ἴμβρον περαίνεται. ἐκεῖθεν δὲ στενὸς ἔρχεται αὐλὼν συρόμενος πρὸς βορρᾶν, ἕως εἰς τὴν καθ' ἡμᾶς ταύτην τὴν περὶ τοῦ πόντου Εὐξείνου· ἀφ' οὗ καὶ ὀνομάζεται Προποντίς. καλῶς δὲ εἶπε τὸ, αὐλὼν στενὸς, ὡς πρὸς διαστολὴν τοῦ Αἰγαίου πλατυτάτου ὄντος. στενὴ γάρ ἐστι καὶ οἱονεὶ αὐλωνοειδὴς ἔκτασις ὁ Ἑλλήσποντος. δεῖ δὲ εἰδέναι ὅτι ἡ Προποντὶς καὶ στόμα ἁπλῶς λέγεται, καὶ μετὰ προσθήκης δὲ, στόμα Πόντου, δηλαδὴ τοῦ Εὐξείνου, ὃς κατ' ἐξοχὴν Πόντος λέγεται, ὡς μετ' ὀλίγον εἰρήσεται· Αἰγαῖον δὲ πέλαγος, ὥς τισι δοκεῖ, λέγεται, παρὰ τὰς ἐν Εὐβοίᾳ Αἰγὰς, τόπον οὕτω καλούμενον, ἔνθα τοὺς τοῦ Ποσειδῶνος ἵππους ἀναπαύει ὁ ποιητής· οἱ δὲ παρὰ Αἰγαίωνα τὸν Ὁμηρικὸν, ὡς ἐν τῇ Ἰλιάδι γέγραπται.

3. Ὅτι καὶ ἐνταῦθα ἰσθμὸν εἶναι πλατὺν ἱστορεῖ περιεχόμενον ὑπό τε τῆς Προποντίδος καὶ τοῦ Αἰγαίου πελάγους, ὃς, ἑῷος μὲν κείμενος, πρὸς νότον δὲ καθελκόμενος, ἄσπετα φῦλα τῆς Ἀσιάδος γῆς ἀγκαλίζεται· ἐν οἷς εἰσι καὶ Αἰολεῖς καὶ Ἴωνες. Ὅτι τὴν ὑπὲρ πρόθεσιν καὶ ἐνταῦθα ἐπὶ τῆς νοτίαν τίθησιν, εἰπὼν, τῆς δ' ὑπὲρ ἄσπετα φῦλα τιταίνεται πρὸς νότον. καὶ ἡ αἰτία προείρηται.

4. Ὅτι μετὰ τὴν Προποντίδα τὸ τοῦ Θρακικοῦ Βοσπόρου στόμα ἐστὶν, ἤγουν ὁ Θρακικὸς Βόσπορος, ὁ καὶ Μύσιος· ὃν καταζεύξας ὁ Δαρεῖος περὶ που τὸ ἱερὸν στόμα, ἐς Θρᾴκην διέβη. μεθ' ὃ καὶ εἰς Σκύθας ἐπέρασε, γεφυρώσας καὶ τὸν Ἴστρον. τὸν δὲ Θρακικὸν τοῦτον Βόσπορον οἱ μὲν φασιν εἶναι τὸ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον στενόν· (φησὶ γοῦν περί τινος ὁ Ἀρριανὸς, οἷα « ἐλαύνει ἐπὶ Χρυσόπολιν, ἔνθα « ὑπὸ νύκτα περάσας τὸν Βόσπορον », καὶ

τὰ

Fractus inſulas circumfremit Sporadas.
Neque enim aliquis illi ſimiles fluctus excitat
Profunde-murmurans alius gurges maris.
Limitem vero in Tenedum terminat extremum,
Imbrum habens altera ex parte, unde arctum exit fretum,
Quod trahitur boream verſus, Propontidem intra totam.
Hanc autem ſupra innumeræ gentes panduntur Aſiaticæ terræ
Ad auſtrum. continentis enim latus ſuccedit tractus.
Hanc item poſt, Thracii oſtium Boſpori; quem olim Io
Junonis impulſu tranavit, juvenca quum eſſet.
Anguſtiſſimum ſane illud omnium eſt fretum

τὰ ἑξῆς) οἱ δὲ μάλιστα τὰ ἄνω Πόντου τοῦ καλουμένου Ἀνάπλου. τοῦτον τὸν Βόσπορον διήξατο, φησὶ, ποτὲ ἡ Ἰὼ βουλαῖς Ἥρας, δάμαλις οὖσα. διὸ καὶ Βόσπορος λέγεται, οἱονεὶ βοὸς πόρος ἐκείνης τῆς οἰστροπλῆγος, περὶ ἧς Ἀρριανὸς οὕτω φησί· «πορθμὸς ὁ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον, ὁ ποτὲ Μύσιος, διότι Μυσοὶ ἀντιπέρας ᾤκουν τῆς Θρᾴκης· ὕστερον δὲ, Βόσπορος, ἐπὶ τῇ συμφορᾷ τῆς Ἰοῦς, ἣν κατὰ μῆνιν Ἥρας οἰστρηθεῖσαν, εἰς τοὺς χώρους τούτους ἀφικέσθαι, καὶ ταύτῃ διαπεραιώσασθαι οἱ μῦθοι ἐποίησαν». λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι κατά τινας, «οὐκ ἀπὸ τῆς ῥηθείσης βοὸς ὁ τοιοῦτος Βόσπορος, ἀλλ᾽ ἀπό τινος ἑτέρας ὠνόμασται· ἥτις, φησὶ, Φρυγῶν ἐπικειμένων, ἐμβάλλει ἀδεῶς εἰς τὴν θάλασσαν, καὶ περαιοῦται ἀσφαλῶς τὸν κατὰ Χαλκηδόνα καὶ Βυζάντιον Βόσπορον· καὶ οὕτω καθηγεμὼν ἐκείνη γίνεται, κατά τινα θεοφορίαν, ἤγουν μαντείαν, ἥτις διεκελεύετο βοῦν ἡγεμόνα τῆς ὁδοῦ ποιήσασθαι. ὃ καὶ ποιήσαντες ἐκεῖνοι διεπεραιώσαντο ἀσφαλῶς· καὶ μνῆμα, φησὶ, τοῦ πόρου τούτου ἵστηκε βοῦς χαλκῆ, ὕστερον ποτὲ χρόνῳ ὑπὸ Χαλκηδονίων ἱδρυθεῖσα. καὶ τάχα ἐκ ταύτης καί τις ἐκεῖ τόπος καλεῖται Δάμαλις, ἕως νῦν». Θρᾴκιος δὲ Βόσπορος καλεῖται ἀπὸ τῶν περὶ δύσιν αὐτοῦ οἰκούντων Θρᾳκῶν· ὥσπερ ἀπὸ τῶν ἀντιπέραν ποτὲ Μυσῶν ἐκλήθη, ὡς εἴρηται, Μύσιος.

5. Ὁ δὲ Διονύσιος περὶ τούτου λέγει, καὶ ὅτι στενότατος δὴ ἐκεῖνος ἁπάντων ἐστὶ πορθμὸς τῶν ἄλλων, οἱ θαλάσσης εἰσὶ πολυκλύστου. τετραστάδιον γὰρ ἐκ τοῦ τοιούτου Βυζαντικοῦ στόματος εἶναί φησι, καθὰ καὶ Ἡρόδοτος ἱστορεῖ. λέγει δὲ ὁ γεωγράφος, ὅτι «τὸ Βυζαντινὸν στόμα, Θρᾴκιον Βόσπορον καλοῦσι. ἔστι δὲ τετραστάδιον. τοῦ μέντοι Ἑλλησπόντου τὸ στενότατον ἑπταστάδιόν ἐστι, περί που τὴν Θρᾳκίαν Χερρόνησον, κατὰ Σηστόν». ἑπταστάδιον δὲ, κατὰ τὸν Γεωγράφον, ὁμοίως καὶ τὸ τοῦ Σικελικοῦ πορθμοῦ στενότατον. Σημειωτέον δὲ ὅτι ἐκπίπτει κατά τινα διαφορὰν τοπικὴν ὁ Θρᾴκιος Βόσπορος τῆς Προποντίδος, καὶ ἔστι βορειότερος μὲν αὐτὸς, νοτιωτέρα δὲ ἡ Προποντίς. Ἰστέον δὲ καὶ ὅτι ἀκριβέστερόν φασιν οἱ λέγοντες ὑπὲρ Χαλκηδόνα εἶναι τὸ στόμα τοῦ Πόντου· ἔνθα καὶ τὸ μάλιστα στενὸν, καὶ οὐκ ἐγγὺς, κατὰ τὸν Διονύσιον, αἱ Κυάνεαι πέτραι· καὶ ὅθεν, ὡς αὐτός φησιν, οἰζόμβρος παραπέπταται ὁ Πόντος. δεῖ δὲ σκοπῆσαι εἰ ἐπὶ τὸν Ἑλλήσποντον

Τῶν ἄλλων, ¹ οἵ τ' εἰσὶ πολυκλύστοιο θαλάσσης·
Κυανέας ² ὅθι μῦθος ἀναιδέας εἰν ἁλὶ πέτρας
Πλαζομένας, καναχηδὸν ἐπ' ἀλλήλῃσι φέρεσθαι.
Ἐκ δὲ τοῦ οἰγομένου προπέπταται ἐγγύθι ³ Πόντος,
Πολλὸς ⁴ ἐών, καὶ πολλὸν ἐπ' ἀντολίης μυχὸν ἕρπων.
Τοῦ δ' ἤτοι ⁵ λοξαὶ μὲν ἐπιτροχάουσι κέλευθοι

τι καὶ τὴν Προποντίδα εἰς ἕν τι συναλειπτέον, ἢ μᾶλλον μετὰ τὸ πλάτυ Αἰγαῖον τρία ταῦτα βορειότερα ῥητέον. πρῶτον μὲν τὸν στενὸν αὐλῶνα τοῦ Ἑλλησπόντου· μετὰ δὲ, τὴν Προποντίδα· εἶτα βορειότερον τὸ στόμα τοῦ Πόντου. ἔχει μὲν ἀμφιβόλως ταῦτα, διὰ τοὺς παλαιούς· ὧν οἱ μὲν μόνα τὰ κατὰ Σηστὸν καὶ Ἄβυδον, Ἑλλήσποντον εἶπον· οἱ δὲ καὶ ὅλην τὴν Προποντίδα. οἱ δὲ μέρος τι αὐτῆς τὸ ἐντὸς Περίνθου, ἤτοι Ἡρακλείας, τῷ Ἑλλησπόντῳ ἀπένειμαν. οἱ δὲ καί τι τοῦ Αἰγαίου πελάγους τῷ Ἑλλησπόντῳ προσετίθεντο· καθά πού τάχα καὶ Ὅμηρος, ὅπου καὶ πλατὺν ἐκεῖνον λέγει Ἑλλήσποντον. τούτοις δὲ μὴ φαινόμενος ἀκολουθεῖν ὁ Διονύσιος, εἰς τρία διαιρεῖ τὸ μεταξὺ Αἰγαίου καὶ Εὐξείνου ὕδωρ, εἰς τε τὸν Ἑλλησποντιακὸν στενὸν αὐλῶνα, τὸν ἕως Προποντίδος, καὶ ἀνωτέρω εἰς αὐτὴν τὴν Προποντίδα, καὶ εἰς τὸν μετ' αὐτὴν Θρᾴκιον Βόσπορον. οὕτω δὲ νοεῖ καὶ Ἡρόδοτος, λέγων « τὸν μὲν Βόσπορον τείνειν εἰς « τὴν Προποντίδα, αὐτὴν δὲ καταδιδόναι « εἰς τὸν Ἑλλήσποντον· μεθ' ὃν τὸ χάσμα « τοῦ Αἰγαίου πελάγους.

1. Ὅρα δὲ ὅτι καλῶς προσέθηκεν ὁ Διονύσιος ἀνωτέρω ἐπὶ τῶν πορθμῶν τὸ, οἳ θαλάσσης εἰσί, διὰ τοὺς ἴσως νομίζοντας δύνασθαι πορθμοὺς λέγεσθαι καὶ τοὺς ποταμούς. κατὰ γάρ τινα συνήθη χρῆσιν οὕτοι πορθμὸς καὶ ποταμός, καὶ ταῦτα στενὸς ὢν πόρος μεταξὺ δύο γαιῶν· ἀλλ' αὐτοὺς μὲν κεκλήρωται τὸ ποταμοὺς λέγεσθαι· ὁ δὲ πορθμὸς ἐξαίρετος θαλάσσης ἐστὶ πόρος στενός, ἑκατέρωθεν γῆς μεσολαβούμενος. Ἰστέον δὲ ὅτι ἐστὶ καὶ Κιμμέριος Βόσπορος ὁ περὶ Χερσῶνα, ὁ καὶ Μαιωτικός· οὗ τὸ στενότατον, εἴκοσι στάδια, ἢ καὶ ὀλίγον τι πλέον. λέγεται δὲ Βόσπορος μὲν διὰ τὴν αὐτὴν αἰτίαν καὶ ἐκεῖνος, ἐκ τῆς Ἰοῦς τῆς βοός· Κιμμέριος δὲ, διὰ τὸ παροικοῦν ὁμώνυμον ἔθνος, οὗ πολὺς λόγος, ὡς τὴν Ἀσίαν ἦν ὅτε καταδραμόντος ἕως καὶ εἰς αὐτὴν Βιθυνίαν. ἔστι δὲ Βόσπορος καὶ Ἰνδικός. καὶ ὁ περὶ τὸ Βυζάντιον δὲ λιμὴν οὕτως ὕστερον ἐκλήθη, κατὰ παραγραμματισμόν, ἢ μάλιστα κατὰ τὴν παρὰ τοῖς ῥήτορσι λεγομένην παραφθοράν· Φωσφόριον ὀ... ...λων καλεῖσθαι, ὡς φασιν οἱ παλαιοί. Φιλίππου γὰρ ἐν πολιορκίᾳ διορύξαντος εἴσοδον κρυπτήν, ὅθεν οἱ ὀρύσσοντες ἔμελλον ἀφανῶς ἐξαναδῦναι τοῦ ὀρύγματος, ἡ Ἑκάτη φωσφόρος οὖσα δᾷδας ἐν... ἔφηνε τοῖς πολίταις. καὶ τὴν π... οὕτω φυγόντες, Φωσφόριον οἱ... τὸν τόπον ἐκάλεσαν.

2. Ὅτι περὶ τὸν Θρᾴκιον Β... Κυάνεαι πέτραι εἰσί, κατὰ κυε... οὕτω καλούμεναι· ἐξ ὧν ἀνοιγόμενος ὁ Εὔξεινος παραπέπταται, πολὺς ὤν, καὶ πολλὴν ἐπ' ἀνατολῆς μυχὸν ἕρπων. καὶ ὅρα τὸ ἀνοιγόμενος· προσφυῶς γὰρ εἴρηται, ὡς πρὸς τὸ στόμα τοῦ πόντου. τὰς δὲ πέτρας ταύτας καὶ ἀναιδέας λέγει Ὁμηρικῷ ζήλῳ, ὡς εἴπερ ἔμψυχοι ἦσαν, ἐξ Ὁμήρου λαβὼν τὸ ἐπίθετον. καὶ μῦθον εἶναί φησι, πλαζομένας ποτὲ αὐτάς, ἤτοι κινουμένας ἀπήκτως, καναχηδὸν ἐπ' ἀλλήλαις φέρεσθαι. οἱ καὶ ὕστερον, ἐπειδὴ ἡ Ἀργὼ παρέπλευσεν αὐτάς, ἔστησαν ἐφ'

ἑνός.

Aliorum quæ ſunt undoſi maris:
Cyaneas ubi fama eſt impudentes in mari cautes
Vagantes, cum ſtrepitu [*ſonitu*] in ſe mutuo incurrere.
Ex eo autem [*Boſpori ore*] apertus panditur prope Pontus,
Qui eſt vaſtus, & longe in orientis receſſum ſerpit.
Hujus autem obliquæ quidem procurrunt viæ

ἐνός. φησὶ δὲ ὁ Γεωγράφος "αὐτὰς ἐκεῖ "πρὸς ἔσω τοῦ Πόντου εἶναι δύο νησίδια· τὸ "μὲν τῇ Εὐρώπῃ προσεχές, τὸ δὲ τῇ Ἀσίᾳ". Πίνδαρος δὲ διὰ τὴν μυθικὴν κίνησιν, καὶ ζῆν ταύτας τὰς πέτρας τολμᾷ λέγειν καὶ ἐπιμένων τῇ σκληρᾷ ταύτῃ τροπῇ, τεθνάναι φησὶν αὐτὰς ἡνίκα διεξῆλθεν αὐτῶν ἡ Ἀργώ. γέγραπται δὲ περὶ τούτων καὶ ἐν τῇ Ὀδυσσείᾳ, ἐν τῷ περὶ πλαγκτῶν λόγῳ. τὸ μέντοι πλαζομένας, ὅπερ ὁ Διονύσιος ἐνταῦθά φησι, δίδωσι νοεῖν ὅτι δύνανται καὶ αὗται κατὰ τὰς Ὁμηρικὰς, Πλαγκταὶ λέ[illegible]· καθὰ καὶ Ἡρόδοτος ἱστορεῖ, λ[illegible] ὅτ[illegible] "Πλαγκτὰς πρότερον οἱ Ἕλληνες ἔλε[illegible] "εἶναι αὐτάς". εἰ καὶ ἐκληρώσαντο ἰδίω[illegible] τὸ τοιοῦτον ὄνομα αἱ παρ' Ὁμήρῳ Σικ[illegible]λικαὶ Πλαγκταί.

3. Ὅτι τὸν Εὔξεινον, ἄπλουν τε ὄντα, καὶ Ἄξεινον θάλασσαν ποτὲ καλούμενον, Εὔξεινον οἱ ὕστερον, κατὰ σχῆμα εὐφημισμοῦ, μετεκάλεσαν. Ἄξεινος δὲ ἐλέγετο (ὡς τὸν δὲ εἰπεῖν ἀπόξενος, κατὰ τὸν Σοφοκλῆν) ἢ διὰ τὸ μὴ ἔχειν νήσων καταγωγὰς, ἢ διὰ τοὺς περιοικοῦντας Σκύθας, ἀνεπιμίκτους βαρβάρους· οἳ καὶ ἐξενοθύτουν καὶ ἐσαρκοφάγουν, καὶ ἀνθρώπων κρανίοις ἐχρῶντο ἐκπώμασιν. ἕτεροι δέ φασιν Ἡρακλέα κεκαθαρκέναι τὰ τῇδε, καὶ εἰς Εὔξεινον μετασκευάσαι τὸν Ἄξεινον. ἄλλοι δὲ εἰς Ἴωνας ἀνάγουσι τὸ τοιοῦτον ἀρίστευμα, οἳ πόλεις πολλὰς ἐν τῇ παραλίᾳ ᾤκισαν.

4. Ἰστέον δὲ ὅτι τοῖς παλαιοῖς ὁ Εὔξει[illegible]ος πόντος μέγιστος τῶν καθ' ἡμᾶς [illegible]' ἀπειρίαν ἐδόκει· καὶ οἱ πλέοντες ἐκεῖ, ἐκτοπίζειν ἐνομίζοντο, καθὰ καὶ οἱ ἔξω τῶν στηλῶν, καθ' ἡμᾶς· καὶ ἄλλος τις ὥσπερ ὠκεανὸς τοῖς τότε ὑπελαμβάνετο, καὶ εἰς αὐτὸν πλέειν, ἐξωκεανίζειν ἐνομίζετο. διὸ, καθὰ προερρέθη, καὶ κατ' ἐξοχὴν ἰδίως Πόντος ἐλέγετο· καθὰ καὶ οὕτως ὁ ποιητὴς αὐτὸν καλεῖ ἐν τῷ, δεξιὰ Πόντου. καὶ καλοῦσι δὲ μητέρα Πόντου· καὶ Πόντου τὸ μυρίον ὕδωρ. διὰ δὲ τὸ κακόξενον καὶ δύσπλοον αὐτοῦ, καὶ τὸ εἰς Πόντον ἀπελθεῖν, ὅμοιον ἦν τῷ, εἰς μέγα κακόν· ὡς καὶ οἱ παλαιοί φασιν. ὅπερ μέχρι καὶ εἰς ἄρτι κρατεῖ. Ἡρόδοτος δὲ ἀξιοθέατον πόντον τὸν Εὔξεινον λέγει, καὶ [illegible]πελαγέων ἁπάντων θαυμασιώτατον. ἱστ[illegible]ῶν καὶ τὸ μῆκος αὐτοῦ καὶ τὸ πλάτος πόσ[illegible] σταδίων ἐστίν.

5. Ὅτι αἱ τοῦ Εὐξείνου πόντου κέλευθοι λοξαὶ ἐπιτρέχουσιν ἀεὶ, πρὸς βορέην τε καὶ ἀνατολίην ὁρόωσαι. καὶ ὅτι περὶ αὐτὸν δύο κολῶναι, ἤτοι ἄκραι καὶ ἐξοχαὶ, ἔνθα καὶ ἔνθα· ἡ μὲν νοτιωτέρα, ἡ Κάραμβις, περὶ τὴν Παφλαγόνων γῆν, φυλάττουσα μέχρι καὶ νῦν τὴν ἀρχαιογονίαν τῆς κλήσεως· ἡ δὲ βορειοτέρα, ἥτις ἐστὶ τὸ τοῦ Κριοῦ μέτωπον, τὸ ἤδη καὶ ἀνωτέρω ῥηθὲν, τὸ περί που τὰ Κιμμέρια. αἱ δὲ δύο αὗται ἄκραι οὕτως ἀλλήλαις ἀντικείμεναι ὕψους τε ἀνέχουσι, καὶ ἐπὶ πολὺ τῆς θαλάσσης εἰσέχουσι· καὶ διέχουσι μὲν ἀλλήλων ὅσον ἂν ὁλκὰς πλοῦν ἐπὶ τρίτον ἦμαρ ἀνύσῃ· ὅμως δὲ καὶ ἄμφω συνιᾶσιν ἐναντίαι, καθ' ὁμοιότητά τινα καὶ αὗται τῶν πλαγκτῶν πετρῶν. ὡς ἐκ τούτου εἰκονεὶ διθάλασσον τοῖς ἑκατέρωθεν πλέουσι δοκεῖν τὸν Εὔξεινον, κολουομένης ὡς ἐν

Αἰεὶ, πρὸς βορέην τε καὶ ἀντολίην ὁρόωσαι,
Μέσσαι δ᾽ ἔνθα καὶ ἔνθα δύω ἀνέχουσι κολῶναι·
Ἡ μὲν, ὑπερνοτίη, τήν τε κλείουσι Κάραμβιν·
Ἡ δὲ, βορειοτέρη, γαίης ὕπερ [1] Εὐρωπείης,
Τὴν ῥα περικτίονες Κριοῦ καλέουσι μέτωπον.
Αἵ τ᾽ ἄμφω ξυνίασιν ἐναντίαι· οὐ μὲν ἔχουσαι
Ἐγγύθεν, ἀλλ᾽ ὅσον ὁλκὰς ἐπὶ τρίτον ἦμαρ ἀνύσσῃ.
Ἐκ τοῦ δ᾽ ἂν καὶ Πόντον ἴδοις διθάλασσον ἐόντα,
Τόρνῳ [2] εειδόμενον περιηγέος ἄμματι τόξου·
Ἀλλ᾽ εἴη νευρῆς σημήια, δεξιὰ Πόντου,
Ἰθὺ διαγραφθέντα· μέση δέ τοι ἐστὶ Κάραμβις
Γραμμῆς ἐκτὸς ἔουσα, καὶ ἐς βορέην ὁρόωσα.
Σῆμα δ᾽ ἔχει κεράων σκαιὸς πόρος, ὅς τ᾽ ἐπὶ διστὴν
Εἴλεται στροφάλιγγα, βιοῦ κεράεσσιν ἐοικώς.
Τοῦ καὶ [3] πρὸς βορέην Μαιώτιδος ὕδατα λίμνης

τινι διατειχίσματι ταῖς δυσὶ ταύταις μακραῖς κολώναις τῆς ὁράσεως. ὥστε καὶ τοὺς ἐκ τῶν ἑῴων πρὸς τὰ ἑσπέρια πλέοντας, καὶ τοὺς ἐκ τῆς ἑσπέρας ἐπὶ τὰ ἑῷα, δοκεῖν εἰς αὐτὰς συμπλεῖσθαι τὴν θάλασσαν· οἷα μὴ διικνουμένης τῆς ὁράσεως αὐτοῖς ὑπερέκεινα. ὁπηνίκα δὲ περὶ τὸ μέσον τῶν ἀκρωτηρίων γένοιντο οὗτοί τε καὶ ἐκεῖνοι, τότε δὴ τὴν λοιπὴν αὐτοῖς διαφαίνεσθαι θάλασσαν, ὥσπερ ἑτέραν δευτέραν ὑπανοιχθεῖσαν, μὴ βλεπομένην πρότερον. διὰ γὰρ τὴν τῶν ἀκρωτηρίων τοιαύτην ἀντίθεσιν διαιρεῖσθαί πως ὁ Εὔξεινος τοῖς πόῤῥωθεν βλέπουσιν εἰς πελάγη δύο δοκεῖ, τῶν ἑκατέρωθεν γινομένων σφιγγομένου πορθμοῦ· καὶ τούτῳ τῷ τρόπῳ φαίνεται διδύμη θάλασσα, καθά που λέγει ὁ Σοφοκλῆς. καὶ ταῦτα μὲν οὕτως. οἱ δὲ παλαιοὶ περὶ τούτων οὕτως φράζουσιν ἐπιτομώτερον καὶ σαφέστερον “ὁ Ἑλλήσποντος ἐκδίδωσι πρὸς ἄρκτον εἰς τὴν Προποντίδα· ἡ δὲ, εἰς τὸν Εὔξεινον, ὃς διθάλασσός ἐστι τρόπον τινά. κατὰ μέσον γὰρ ἄκραι δύο προσπίπτουσι, διέχουσαι ἀλλήλων περὶ δισχιλίους πεντακοσίους σταδίους, καὶ συνάγουσι τὸν μεταξὺ πόρον, καὶ ποιοῦσι δύο πελάγη μεγάλα.

1. Ὅτι ὥσπερ Ὑψιπύλη Ὑψιπύλεια, Ἀπάμη Ἀπάμεια, Πηνελόπη Πηνελόπεια, Λαοδίκη Λαοδίκεια, ἐρήμη ἐρήμεια, κολώνη κολώνεια· οὕτω καὶ Εὐρώπη Εὐρώπεια. καὶ τὴν Εἰδοθέαν δὲ, Εἰδοθέειαν αὐτὸς μετ᾽ ὀλίγα ἐρεῖ. ὁ δὲ σχηματισμὸς Ἰώνων.

2. Ὅτι τὸν Εὔξεινον, οὗ λοξὰς ἔφθασεν εἰπεῖν τὰς κελεύθους, τόξῳ ἀπεικάζει τεταμένῳ Σκυθικῷ· Σκυθικὰ δὲ τόξα, τὰ ἐκ κεράτων συγκείμενα. καὶ νευρᾶς μὲν εἶναι σημεῖα τίθησι τὰ τοῖς εἰσπλέουσι δεξιὰ τοῦ Πόντου, ἤτοι τὰ νότια, εὐθὺ διαγραφέντα, τουτέστι ταθέντα κατ᾽ εὐθεῖαν γραμμὴν, καὶ ὑπερβαίνοντα τὴν Κάραμβιν, ἐκτὸς πεσοῦσαν τῆς γραμμῆς, πλὴν οὐ πρὸς νότον, ἀλλ᾽ εἰς βορέαν ὁρῶσαν· ἵνα μὴ σκολιὰ γένηται ἡ τοῦ τόξου νευρὰ, προσλογιζομένης καὶ τῆς καμπῆς τῆς Καράμβεως. τὰ δὲ τοῦ Πόντου βόρεια

Semper, ad boream & orientem ſpectantes;
Media vero hinc & inde duo eminent promontoria:
Alterum quidem, ſuperauſtrale, quod vocant Carambin;
Alterum autem magis boreale, terram ſuper Européam,
Quod quidem accolæ Arietis vocant frontem.
Quæ ambo coëunt adverſa: quum tamen non ſint
Vicina, ſed quantum navis intra tertium diem conficeret.
Ex hoc vero & Pontum videas bimarem,
Ambitu [*ſuo*] ſimilem curvi nexui [*funi*] arcus.
Verum fuerint nervi ſimulacra dexteræ partes Ponti,
Recta linea delineatæ: at media eſt Carambis
Quæ extra lineam eſt, & in boream ſpectat.
Simulacrum autem cornuum habet ſiniſtra pars alvei, quæ ad [duplicem
Sinuatur flexum, [*curvaturam*,] arcus cornibus ſimilis.
Cujus etiam ad boream Mæotidis aquæ paludis

τὰ τοῖς ἐν τῇ Προποντίδος εἰσπλ[illegible]σι σκαιά, ἤγουν ἀριστερά, σχῆμα ἔχ[illegible]ησὶ τῶν τοῦ τόξου δύο κεράτων· διὰ τὸ κ[illegible] αὐτὰ ὁμοίως τοῖς τοῦ τόξου κέρασιν ἐπὶ διοστὴν κυρτοῦσθαι στροφάλιγγα ἑκατέρωθεν τοῦ μετώπου τοῦ Κριοῦ. Ἰστέον δὲ ὅτι ὥσπερ ὁ Εὔξεινος πρὸς τόξον εἰκάσθη, οὕτω καὶ ἄλλοι τόποι πολλοὶ διαφόρως εἰκάζονται πρός τινας ὁμοιότητας. οὕτω γὰρ τὴν Αἴγυπτον, δελτωτὸν τρίγωνον ἡ ἱστορία φησίν. ἐντεῦθεν τὰ δύο τοῦ Κριοῦ ἐτυπώθησαν μέτωπα, τό, τε Κρητικὸν καὶ τὸ Ποντικόν. οὕτω τὴν Ἀλεξάνδρειαν εἰκάζουσι χλαμύδι στρατιωτικῇ· τὴν Ἰταλίαν, κισσῷ· τὴν Ἰβηρίαν, βύρσῃ βοός· τὴν Νάξον, ἀμπέλου φύλλῳ· τὴν τοῦ Πέλοπος, πλατάνου πετάλῳ· τὴν Σαρδώ, ἴχνει ἀνθρώπου· τὴν Κύπρον, δορᾷ προβάτου· τὴν Λιβύην, τραπεζίῳ σχήματι. καὶ ἄλλα δὲ ἄλλως εἰκάζουσιν οἱ παλαιοί. Σημείωσαι δὲ ὅτι τὸ ἐοικέναι τόξῳ τὸν Εὔξεινον παραφράζων, οὕτω φησί, Τόρνῳ εἰδόμενον περιηγέος ἄμματι τόξου. λέγει δὲ τόρνον τὸ περιοειδές· ὥσπερ Λυκόφρων, στρόβιλον τὸ στροβιλοειδές. ἄμμα δὲ τόξου, τὸν σινώδεσ[illegible] τοῦ Σκυθικοῦ τόξου. περιηγὲς δέ, τὸ [illegible]ηγμένον, ἤτοι καμπύλον. τ[illegible]το δ[illegible]τὸ ἐντεταμένον τόξον· ἵνα λέγῃ ἐοικέναι τὸ τοῦ Εὐξείνου πέλαγος τόξῳ οὐ σκολιῷ, ἀλλὰ στρογγύλῳ γινομένῳ διὰ τὴν τάσιν τῆς νευρᾶς. περιάγει γὰρ ἡ τάσις τὰ κέρατα εἰς καμπήν· καὶ οὕτως ἀπὸ σκολιοῦ γίνεται περιφερὲς κατὰ τὰς ἀψῖδας τὸ τόξον. ὅτε δὲ καὶ εἰς βολὴν ἐπιταθῇ, τότε κυκλοτερὲς τὸ τόξον γίνεται, κατὰ τὸν ποιητήν. τὸ δὲ περιηγὲς καὶ ἐπὶ ἀγκίστρου λέγεται.

3. Ὅτι πρὸς βορρᾶν Εὐξείνου ἡ Μαιῶτις λίμνη, καὶ ὅτι Σκύθαι αὐτὴν ἀμφινέμονται, καὶ εἰς αὐτὴν τερματοῦνται. φησὶν οὖν ὁ Ἡρόδοτος, "Τάναϊν διαβάντι "οὐκ ἔτι Σκυθίη". ἔθνος δὲ καὶ οἱ Μαιῶται Σκυθικόν, πολυανθρωπότατόν τε καὶ ἄλκιμον, ἄνδρες γεωργοὶ καὶ πολεμισταί. τὴν δὲ τοιαύτην Μαιῶτιν, μητέρα τοῦ Πόντου καλοῦσιν. ὅθεν καὶ τούτου τινές φασι λαχεῖν αὐτὴν τοῦ ὀνόματος. μαῖα γὰρ ἡ τροφός

Ἐγκέχυται· τῇ μέν τε πέρι Σκύθαι ἀμφινέμονται,
Ἄνδρες ἀπειρέσιοι, καλέουσι δὲ μητέρα Πόντου.
Ἐκ τοῦ γὰρ Πόντοιο τὸ μύχιον ἕλκεται ὕδωρ,
Ὀρθὸν Κιμμερίου διὰ Βοσπόρου· ᾧ πέρα πολλοὶ
Κιμμέριοι ναίουσιν, ὑπὸ ψυχρῷ ποδὶ Ταύρου.
Τοίη μὲν μορφὴ κυαναυγέος ἀμφιτρίτης.
Νῦν [1] δέ τοι ἠπείρου μυθήσομαι εἶδος ἁπάσης,
Ὄφρα καὶ οὐκ ἐσιδών περ ἔχοις εὔφραστον ὀπωπήν.
Ἐκ τοῦ δ' ἂν γεραρός τε καὶ [2] αἰδοιέστερος εἴης,
Ἀνδρὶ παρ' ἀγνώσσοντι πιφαυσκόμενος τὰ ἕκαστα.
Ἤτοι μὲν Λιβύη τετανυσμένη ἐς νότον ἕρπει,
Ἐς νότον ἀντολίην τε, [3] τραπεζίῳ εἶδος ὁμοίη.

τροφός. διὸ καὶ ὁ περιηγητής φησιν, ἐξ αὐτῆς Πόντου τὸ μύχιον ἕλκεται ὕδωρ, Ὀρθὸν Κιμμερίου διὰ Βοσπόρου· παρ' ᾧ πολλοὶ Κιμμέριοι ναίουσιν, ὑπὸ ψυχρῷ ποδὶ Ταύρου. φασὶ δέ τινες καὶ μὴ πολὺ ἐλάττονα εἶναι τοῦ Πόντου τὴν αὐτ[illegible] μητέρα ταύτην Μαιώτιδα. Ἱσ[illegible] ὅτι καὶ Μαιῶτις λέγεται διὰ τοῦ ω, [illegible] τοῖς παλαιοῖς, ὡς ἀπὸ τοῦ μαιοῦ[illegible] μαιώσω· καὶ Μαιῆτις διὰ τοῦ η, ὡς ἀπὸ τοῦ μαῖα. Ταῦρον δὲ λέγει ὄρος ἄλλο παρὰ τὸ μετὰ ταῦτα ῥηθησόμενον ἑῷον Ταῦρον· ἢ βόρειόν τι τμῆμα ἐκείνου τοῦ Ταύρου, ὑφ' ᾧ κεῖνται οἱ Κιμμέριοι, τὸ Σκυθικὸν ἔθνος. ἔνθα καὶ ἡ Ταυρικὴ Χερρόνησος μεγάλη οὖσα, καὶ ὥς φασί τινες, τῇ Πελοποννήσῳ ἐοικυῖα καὶ τὸ σχῆμα καὶ τὸ μέγεθος, παρακειμένη δυσμικῇ τῷ στόματι τῆς Μαιώτιδος. οἱ δὲ ἐνταῦθα Σκύθαι, Ταυροσκύθαι λέγονται, ἀπὸ τοῦ ἐκεῖ Ταύρου ὄρους. ὅπως οἶδε καὶ Ἡρόδοτος, ἱστορῶν καὶ αὐτὸς ὄρη Ταυρικά, Σκυθικά. περὶ δὲ Κιμμερίων ζήτει ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. τὸ δὲ, ὑπὸ ψυχρῷ ποδὶ Ταύρου, ἔχει τι ἀστεῖον καὶ αἰνιγματῶδες, κατὰ τὴν ὁμωνυμίαν τῶν λέξεων.

1. Ὅτι τὸ τῆς περιηγήσεως ἐνταῦθα χρήσιμον ἐκτιθέμενος λέγει, ἐρῶ σοι τὸ τῆς γῆς ἁπάσης εἶδος, ὄφρα καὶ οὐκ ἰσιδὼν ἔχοις εὔφραστον ὀπωπήν, ἤγουν θεωρίαν· ἐκ δὲ τοῦδε, γεραρός τε καὶ αἰδοιέστ[illegible] εἴης, τοῖς ἀγνοοῦσι τάδε πάντα [illegible]υόμενος. ὡς εἶναι τῆς περιηγήσεως [illegible]λος, τὴν τοῦ μαθητοῦ γνῶσιν, εἶτα καὶ τὴν πρὸς ἄλλους ἀγνοοῦντας ἀπ' αὐτοῦ διδασκαλίαν· τούτων δὲ τέλος αὖθις τὴν ἐκ τῶν διδασκομένων τιμήν.

2. Ὅρα δὲ τὸ αἰδοιέστερος, ποιητικώτερον ὄν, καὶ τῷ μέτρῳ χρήσιμον. κεῖται δὲ ἡ λέξις καὶ παρὰ Πινδάρῳ. ἐκεῖνος δὲ καὶ ἀφθονέστερον λέγει, καὶ ἄλλα τοιαῦτα.

3. Ὅτι τὸ τῆς Λιβύης εἶδος ἄλλοι μὲν εἰς ὀρθογώνιόν τι καταγράφουσι τρίγωνον· ὁ δὲ Διονύσιός φησιν αὐτὸ τραπεζίῳ ἐοικέναι σχήματι γεωμετρικῷ τετραπλεύρῳ, ἔχοντι τὴν ἄνω πλευρὰν ἐλάττονα τῆς ὑποτεινούσης, ὡς ὑπόκειται. καὶ γὰρ τῆς Λιβύης στενοῦται μὲν ὀξυνόμενα τὰ πρὸς τοῖς Γαδείροις, τουτέστι τὰ ἑσπέρια· εὐρύνεται δὲ τὰ πρὸς ἕω, καὶ Αἴγυπτον. καὶ οὕτω μὲν οἱ τῶν παλαιῶν. ἀκριβέστε[illegible]ροι, οἱ καὶ συντρέχουσι τῷ τοῦ Διονυ[illegible] σκοπῷ, λέγοντες, ὅτι ἡ Λιβύη ἐς μυ[illegible] μὲν ὀξύνεται ὠκεανοῦ τὸν πρὸς τοῖς [illegible]δείροις, τὸ ἄκρον δὲ αὐτῆς τὸ εὐρύτερον [illegible]

ρα[illegible]


LIBYÆ seu AFRICÆ Tabula DIONYSIO et EUSTATHIO Accommodata
Summæ Spei Juveni Joanni Dugdale è Coll. Univ. Oxon.
Fl. fluvius
I. Inſula
M. Mons
Pr. promontorium
Vrbs
MARE ATLANTICUM
MARE HESPERIUM
MEDITERRANEUM
Mare Creticum
MARE LIBYCUM seu MARE ÆTHIOPICUM
Erythia I
Gades
Sicilia I
Creta I
Cyprus I
Maurusii seu Mauri
Maſylenſes
Numidiæ
Nomades
Syrtis Minor
Syrtis Major
Meninx I
Mare Pharium
Gætuli
Mazaces
Nigretes
Atlantes
Phaurusii
Lotophagi
Marmaridæ
Asbystæ
Naſamones
Garamantes
Babylon
Laodicea
Phœnicia
Sidon
Tyrus
Judæa
ARABIA
Sinus Arabicus seu Mare Rubrum
Atarantes
L I B Y A
ÆTHIOPIA
Meroe I
Erembi seu Troglodytæ seu Saraceni
Æthiopes Heſperii
Blemmyes
Siris fl.
Cinnamomifera Regio
Lunæ Montes
Regio Dionyſio Incognita
Harris Sculp.

Effuſæ ſunt: hanc quidem circum Scythæ utrinque habitant,
Viri innumeri; vocant autem matrem Ponti.
Ex hac enim Ponti immenſa trahitur aqua,
Recta Cimmerium per Boſporum: apud quem multi
Cimmerii habitant, ſubter frigido pede Tauri.
Talis quidem forma [*eſt*] cærulei maris.
Nunc autem tibi continentis eloquar faciem univerſæ, [lectu;
Ut, licet non conſpicatus, habeas ejus ſpeciem facilem intel-
Ex hoc autem honorabilis & magis reverendus eſſe poſſis,
Homine coram imperito ediſſerens ſingula.
Nempe Libya quidem extenta ad auſtrum ſerpit,
Ad auſtrum & ortum, menſulæ forma ſimilis;

ρωοίης τεκμαίρεται ἄγχι θαλάσσης. ἄλλοις δέ τισι δοκεῖ, πλατεῖαν μὲν εἶναι ὑποτείνουσαν γραμμὴν τὴν βορείαν παραιγιαλῖτιν, ἀπεναντίας δὲ αὐτῆς, στενοτέραν ὑπερτείνουσαν, τὴν πρὸς τῇ Αἰθιοπικῇ ἐσχατιᾷ ὠκεανῖτιν πλευράν, ὡς εἶναι τὸ σχῆμα τοιοῦτον. οἷς οὐ πάνυ ἄν τις ἀρέσκοιτο, τοῦ Διονυσίου προσέχειν θέλων καὶ τῇ φύσει τοῦ πράγματος. φασὶ δὲ οἱ παλαιοὶ ὅτι τὸ τραπέζιον σχῆμα κατὰ μετρικὴν ἀνάγκην ἐνταῦθα ἔχει ἐν τῇ παραληγούσῃ τὸ δίχρονον. ἄλλως γὰρ διὰ διφθόγγου, φασίν, ἐκφέρεται. οὐ γὰρ ὑποκορίζεται ἀπὸ τῆς τραπέζης, ἀλλ' ἀπὸ τοῦ τραπεζοῦς γίνεται, ὡς τάχα τῶν πάλαι τραπεζίων τοιουτοσχήμοσι χρωμένων τραπέζαις, διὰ τὸ στερρὸν τῆς βάσεως. Λιβύη δὲ ἡ χώρα λέγεται, ἢ ἀπὸ γυναικὸς ὁμωνύμου Λιβύης, δηλαδὴ τῆς Επάφου· ἢ διὰ τὸ τοῦ τόπου αὐχμηρὸν, κατὰ παραγραμματισμόν τινα, οἱονεὶ λιφύη τις οὖσα, ὡς ἐλλιπὴς ὑετοῦ. οἱ δὲ παρὰ τὸν ἄνεμον τὸν λίβα, ὡς ἐκεῖθεν πνέοντα. ὅπερ δοκεῖν ἔοικε καὶ τοῦ Διονυσίου καθ' ὅσον ἐστὶ τεκμήρασθαι ἀπὸ τῆς παρηγήσεως αὐτοῦ τῆς τοιαύτης, ἐς λίβα μὲν Λιβύην, ἐς δ' αὐγὰς, Ἀσίην. Νικίας δέ τις φησὶ τὰς τρεῖς ἠπείρους ἀπό τινων κληθῆναι ἀνδρῶν, Εὐρώπου, Ἀσίου, καὶ Λίβυος· ὥσπερ καὶ ἄλλοι μυρίοι τόποι ἀπό τινων προσώπων ἀξίων λόγου ἐκλήθησαν· οἷον ἀπὸ Περσέως, ἡ Περσίς· καὶ Κρήτη, ἀπὸ Κρητός· καὶ Ἀφρικὴ, ἀπὸ Ἄφρου τινὸς συνεκδημήσαντος τῷ Ἡρακλεῖ ἐπὶ τὰς Γηρυόνου βοῦς. καὶ ἄλλοι ἀπ' ἄλλων. Σημειωτέον δὲ ὅτι καὶ μέρος τι τῆς Λιβύης τῆς χώρας ἐστὶν ἰδίως οὕτω καλούμενον Λιβύη. παρὰ γοῦν τοῖς παλαιοῖς εὑρίσκομεν τὸ, ἀμφοτέρας Λιβύας. τοῦτο δὲ τάχα ἐμφαίνει καὶ τριχῶς τὴν Λιβύην λέγεσθαι, τήν τε ὅλην χώραν, καὶ μέρος τι αὐτῆς, εἰς δύο Λιβύας ὑποδιαιρούμενον· ὥσπερ καὶ τὴν Ἀρμενίαν καὶ τὴν Καππαδοκίαν εἰς πολλὰς Καππαδοκίας καὶ Ἀρμενίας οἱ παλαιοὶ κατατέμνουσι. τοιοῦτον δέ τι καὶ περὶ τῆς Ἀσίας ἐν τοῖς ἑξῆς ῥηθήσεται. ἐπὶ μέντοι τῆς Εὐρώπης ἔμπαλιν γέγονεν. ἐκείνης γὰρ μέρος τι ἐξῃρέθη, τὸ λεγόμενον Εὐρώπη, ὡς ἐν τοῖς περὶ Εὐρώπης λεχθήσεται. θηριοτρόφον δὲ τὴν Λιβύην ἱστοροῦσι, καὶ ἔρημον τὴν πολλήν. ἔλαφος δὲ καὶ ὗς ἄγριος ἐν αὐτῇ οὐκ ἔστιν, ὡς οἱ παλαιοὶ λέγουσι. δοκεῖ δὲ καὶ ἡ τῶν τεσσάρων χρῆσις ἐκεῖθεν εὑρεθῆναι. φησὶν οὖν Ἡρόδοτος, ὅτι "τέσσαρας ἵππους ζευγνύναι, παρὰ Λιβύων Ἕλληνες ἔμαθον,"

Ἀρξαμένη πρώτιστα Γαδειρόθεν, ἧχί περ ἄκρη
Εἰς μυχὸν ὀξυνθεῖσα τιταίνεται Ὠκεανοῖο.
Οὖρον δ' Ἀρραβίης τεκμαίρεται ἄγχι θαλάσσης
Εὐρύτερον· τόθι γαῖα [1] κελαινῶν Αἰθιοπήων
Τῶν ἑτέρων, τῶν ἄγχι τιταίνεται οὖδας [2] Ερεμβῶν.
Παρδαλέῃ δέ μιν ἄνδρες ἐπικλείουσιν ὁμοίην·
Η γὰρ διψηρή τε καὶ αὐχμήεσσα τέτυκται,
Τῇ καὶ τῇ κυανέῃσι κατάστικτος φολίδεσσιν.
Αλλ' ἤτοι πυμάτην μὲν ἐπὶ γλωχῖνα νέμονται
Αγχου στηλάων, [3] Μαυρούσιδος ἔθνεα γαίης.
Τοῖς δ' ἔπι δή, Νομάδων παραπέπταται ἄσπετα φῦλα,
Ενθα Μασαισύλιοί τε καὶ [4] ἀγρόνομοι Μασυλῆες
Βόσκονται σὺν παισὶν ἀν' ἤπειρόν τε καὶ ὕλην,

"ἔμαθον. τοσοῦτον δὲ καὶ (φασὶν) ἡ Λιβύη ἀπολείπεται τοῦ τρίτον ἀκριβῶς εἶναι μέρος τῆς οἰκουμένης, κατὰ τὴν εἰς τρία ἴσα τομήν, ὥστε καὶ συντεθεῖσα μετὰ τῆς Εὐρώπης, οὐκ ἂν ἐξισάζειν δόξῃ τῇ Ἀσίᾳ. πῶς ἂν οὖν εἴη τρίτον τῆς ὅλης οἰκουμένης, ἥτις οὐδὲ εἰς τεταρτημόριον προσλογίζεται; ὃ καὶ ὁ Διονύσιος ἐμφαίνει ἐν τῷ περὶ τῆς Ἀσίας λόγῳ. Οτι πρώτη ἐνταῦθα ἐπαναλήψει χρῆται, ἐν τῷ, Λιβύη ἐς νότον ἕρπει, ἐς νότον, ἀντολίην τε. ἐπαναλαβὼν, διὰ κάλλος καὶ διὰ σαφήνειαν, καὶ δὶς εἰπὼν τὸ, ἐς νότον.

1. Οτι περὶ τὴν Ἀραβίαν ἡ γῆ τῶν ἑτέρων κελαινῶν Αἰθιόπων, ἤγουν τῶν ἀνατολικωτέρων ἀντιδιαστελλομένων τοῖς ἑσπερίοις Αἰθίοψι. καὶ γὰρ καὶ καθ' Ομηρον, "οἱ μὲν δυσομένου ὑπερίονός εἰσιν, οἱ δὲ ἀνιόντος"· ὡς ἐν τῷ πρώτῳ τῆς Ὀδυσσείας γέγραπται.

2. Οτι ἄγχι τῶν ἑῴων Αἰθιόπων οἱ Ερεμβοί, οἱ κατὰ σαφεστέραν μετάληψιν, ἤγουν μεθερμήνευσιν, λέγονται καὶ Τρωγλοδύται· οὕτω καλούμενοι διὰ τὸ ὑπὸ τὴν ἔραν βαίνειν, καὶ τρώγλας ὑποδεδυκέναι διὰ τὴν ἄγαν ἐκ τοῦ ἡλίου θερμότητα. λέγονται δὲ καὶ οἱ αὐτοὶ Σαρακηνοί. τούτων τῶν Ερεμβῶν ἡ γῆ παρδαλέῃ ὁμοία ἐστί, τουτέστι δορᾷ παρδάλεως, ὡς διψηρά, φησίν, οὖσα, καὶ αὐχμήεσσα, καὶ ὧδε καὶ ὧδε κυανίαις κατάστικτος φολίδεσσιν, καὶ οὕτω ποικίλη, κατὰ τὴν παρδαλιν. διάφορος γὰρ ἀληθῶς ἡ τοιαύτη γῆ τοῖς χρώμασι, διὰ τὴν τοῦ ἡλίου ἔκκαυσιν. εἰσὶ δὲ Τρωγλοδύται καὶ ἐν Εὐρώπῃ, περί που τὴν Τριβαλλῶν γῆν, καὶ περὶ Καύκασον, καὶ τὸ βόρειον ὁμοίως. καὶ αὐτοὶ δὲ διὰ τὴν ἄγαν ψυχρότητα δύονται ὑπὸ γῆν. καὶ οἱ Παρνάσιοι δὲ Δυσόχθονες, τοιοῦτοί τινές εἰσι. περὶ δὲ Τρωγλοδυτῶν καὶ Ερεμβῶν γέγραπται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. ὅτι δὲ οἱ παρὰ τῷ Διονυσίῳ Ερεμβοί, καὶ Τρωγλοδύται λέγονται, δηλοῖ καὶ ὁ εἰπὼν ῥήτωρ, "Τρωγλοδύται, μοῖρα Αἰθιοπικὴ, Νομαδικὴ, καὶ Ἀράβων ὅμορος. λέγεται δὲ κατὰ ὀξύτητα δρόμου εὐτυχεῖν, καὶ ἀπὸ σφενδόνης ἀκροβολίζεσθαι ἄριστα". ὁ δ' αὐτὸς, καὶ ἐτυμολογῶν τὴν [illegible]ους κλῆσιν, φησὶν, ὅτι "ὅτε τοὺς ἀνθισταμένους διαδιδράσκουσιν, ἐκτεταμένοι τῇ ποδωκείᾳ, ὡς ὀπτὰς εἶναι βραχυσήμους· καὶ χηραμοὺς κρυφίους πετρῶν καταδύονται". Ἡρόδοτος δὲ καὶ τοὺς Τρωγλοδύτας Αἰθίο-

Orſa primum à Gadibus, ubi quidem extrema
In receſſum acuminata porrigitur Oceani.
Limitem vero Arabicum terminat prope mare
Latiorem: ubi terra nigrorum Æthiopum
Alterorum, quos juxta porrigitur ſolum Eremborum.
Pelli pantherinæ autem ipſam homines perhibent ſimilem:
Arida enim atque ſqualida eſt,
Hinc & inde nigris diſtincta ſquamis.
Verum extremum quidem ad angulum habitant
Prope columnas [*Herculis*]. Mauritanæ gentes terræ.
Poſt has autem, Nomadum diſperſæ ſunt infinitæ nationes,
Ubi Maſæſyliique & in agris degentes Maſylenſes
Paſcuntur cum liberis per continentem & ſylvam,

τας εἶναι ἱστορῶν φησιν, ὅτι "οἱ Τρωγλοδύται Αἰθίοπες τάχιστοι τῶν ἀνθρώπων εἰσὶ πάντων· σιτοῦνται δὲ καὶ ὄφεις καὶ σαύρας· τῇ δὲ διαλέκτῳ τετρίγασι, καθάπερ αἱ νυκτερίδες".

3. Ὅτι περὶ τὴν ἄκραν γλωχῖνα, ὅ ἐστι γωνίαν, τοῦ ῥηθέντος Λιβυκοῦ τραπεζίου σχήματος, ἀγχοῦ τῶν στηλῶν οἰκοῦσιν οἱ Μαυρούσιοι, οὓς καὶ Μαύρους οἱ Ῥωμαῖοι ἔλεγον. εὐδαίμονα δὲ γῆν ἔχουσιν οὗτοι, καὶ μεγαλόδενδρον καὶ πολύδενδρον· ἐξ ὧν καὶ μέγισται μονόξυλοι τράπεζαι. καίτοι δὲ Νομαδικῶς ζῶντες οἱ Μαυρούσιοι καλλωπίζεσθαι ἱστόρηνται κόμης τε ἐμπλοκῇ, καὶ χρυσοφορίᾳ, καὶ σμήξει ὀδόντων, καὶ ὀνυχισμῷ. ἐπὶ δὲ τοῖς Μαυρουσίοις, φησί, τὰ τῶν Νομάδων περιπίπτεται ἄσπετα φῦλα, οὕς φησιν Ἡρόδοτος Ἡλίῳ καὶ Σελήνῃ θύειν μόνοις ἐκ τῶν ἄλλων θεῶν. καὶ ὅρα ὅτι καὶ ἐνταῦθα Νομαδικά εἰσιν ἔθνη νότια, καθὰ καὶ ἀρκτῷα ἐν Σκύθαις· οὓς καὶ διὰ τὸ Νομαδικόν, καὶ λίαν βοσκηματώδεις, βόσκεσθαί φησι σὺν παισίν, ἀνὰ ἤπειρόν τε καὶ ὕλας πλανωμένους, καὶ θήραις βίου ζητοῦντας κακόν. οὐ γὰρ ἔμαθον, φησί, γῆς τομὴν δι' ἀρότρου, οὐδὲ βοῶν αὐτοῖς ἀκούεται αὐλιζομένων μυκηθμός, οὐδὲ τερπνὸς ὁλκὸς ἁμάξης· ἀλλ' οἷα θῆρες ἀνὰ τὰς ὕλας βουκολοῦνται, νήϊδες ἀσταχύων, καὶ ἀπευθέες ἀμήτοιο. καὶ ὅρα τὸ βουκολοῦνται, ληφθὲν εἰς ἐτυμολογικὴν ἀνάπτυξιν τῆς κλήσεως τῶν Νομάδων, καθὰ καὶ τὸ βόσκεσθαι. Νομάδες γὰρ πάντως ἀπὸ τοῦ νέμεσθαι· τὸ δὲ νέμεσθαι, καὶ τὸ βουκολεῖσθαι, καὶ βόσκεσθαι, ταὐτόν τι σημαίνουσιν. ἔστι δὲ τὸ μέν, νήϊδες, ἀνεπιστήμονες· παρὰ τὸ νη στερητικόν, καὶ τὸ εἰδέναι. τὸ δὲ ἀπευθέες, ἀντὶ τοῦ ἀμαθεῖς, καὶ μὴ ἀκούσαντες. Ὅμηρος δὲ καὶ ἐπὶ τοῦ μὴ ἀκουσθέντος τὴν λέξιν τίθησιν, ἐν οἷς ἀπευθέα λέγει τὸν ἀνήκουστον καὶ ἄγνωστον ὄλεθρον. τερπνὸν δὲ τὸν τῆς ἁμάξης λέγει ὁλκόν, ὡς τὴν γεωργίαν καὶ τὸν ἥμερον βίον ἀποδεχόμενος. ἄλλως γὰρ δύσηχος καὶ οὐχ ἡδὺς ὁ τῆς ἁμάξης ὁλκός.

4. Ὅτι τὸ ἀγρονόμοι Μασυλῆες προπαροξύνεται, ὁμοίως τῷ, πρωτοτόκοι παῖδες· ἐπεὶ οὐκ ἐνέργειαν, ἀλλὰ πάθος σημαίνει. τοὺς γὰρ ἐν ἀγροῖς νεμομένους, ἢ τοὺς κατὰ τὰ ἄγρια νεμομένους ἡ λέξις δηλοῖ. Πολύβιος δὲ Μασυλεῖς γράφει αὐτούς.

Μαιόμενοι βιότοιο κακὴν καὶ ἀεικέα θήρην.
Οὐ γὰρ γειομόροιο τομὴν ἐδάησαν ἀρότρου,
Κείνοις δ' οὔποτε τερπνὸς ἀκούεται ὁλκὸς ἁμάξης,
Οὐδὲ βοῶν μυκηθμὸς ἐς αὔλιον ἐρχομενάων·
Ἀλλ' αὔτως, ἅτε θῆρες, ἀνὰ δρυὰ βουκολέονται,
Νήϊδες ἀσταχύων, καὶ ἀπευθέες ἀμήτοιο.
Τοῖς δ' ἔπι [1] Καρχηδὼν πολυήρατον ἀμπέχει ὅρμον,
Καρχηδὼν, Λιβύων μὲν, ἀτὰρ πρότερον Φοινίκων·
Καρχηδὼν, τὴν μῦθος ὑπαὶ βοῒ μετρηθῆναι.
Ἑξείης [2] δ' ἐπὶ Σύρτις ἀγάρροον ὁλκὸν ἑλίσσει

1. Ὅτι Καρχηδὼν, μητρόπολίς ἐστι Λιβύης, Φοινίκων ἀποικίαν ἔχουσά ποτε, μετὰ τοὺς Νομάδας οὖσα. λέγει δὲ αὐτὴν εὔορμον· λιμένα γὰρ ἔχει εὐκαταγώγιον, ἱδρυμένη ἐπὶ Χερρονήσου. πολλὴ δέ ἐστι παρὰ ταῖς ἱστορίαις ἡ πόλις, καὶ πλοῦτον ἔσχε βαθὺν καὶ δύναμιν πολλήν. διὸ καὶ ὁ Διονύσιος ἐπὶ θαύματι ἐπαναλαμβάνει καὶ αὐτὴν, λέγων, Καρχηδὼν Λιβύων, ἀτὰρ πρότερον Φοινίκων· Καρχηδὼν, τὴν μῦθος ὑπὸ βοῒ, τουτέστι βύρσῃ, μετρηθῆναι. καὶ ἔστιν αὕτη δευτέρα παρὰ τούτῳ ἐπανάληψις· τρὶς γὰρ εἶπεν, ἐνταῦθα τὸ Καρχηδών. φασὶ δὲ ὅτι ἐρημωθεῖσα ἡ Καρχηδὼν, καθ' ὃν καιρὸν καὶ ἡ Κόρινθος, ἀνελήφθη πάλιν, τουτέστιν ἀνωρθώθη, ὑπὸ Καίσαρος, τοῦ ἐπιλεγομένου θεοῦ, (οὗ υἱὸς ὁ Σεβαστὸς) πέμψαντος ἐκεῖ ἐποίκους Ῥωμαίους. ἱστόρηται δὲ καὶ ὡς Ταρσεῖς ἡ θεία γραφὴ, οὐ τὴν Ταρσὸν, κατά τινας, ἀλλὰ τὴν Καρχηδόνα ταύτην καλεῖ, προκαθημένην τῆς Ἀφρικῆς. ἡ δὲ περὶ τῆς ῥηθείσης βοὸς ἱστορία τοιαύτη ἐστίν· Διδὼ ἡ τοῦ Πυγμαλίωνος ἀδελφὴ, Ἀγήνορος θυγάτηρ, ἢ Βήλου βασιλέως Τυρίων, ἡ καὶ Ἐλίσσα καλουμένη, καὶ Ἄνα, Συγχαίῳ γενομένη γυνὴ, ἀνδρὶ Φοίνικι, Τύρον ᾤκει· τοῦτον δὴ τὸν ἄνδρα ὁ Πυγμαλίων σὺν αὐτῷ ἀποδημοῦντά που δολοφονεῖ, ἔρωτι χρημάτων. ὁ δὲ δι' ὀνείρων σημάνας τὸ πάθος τῇ γυναικὶ, κελεύει φεύγειν· οὐκέτι γὰρ εἶναι πιστὰ τὰ Πυγμαλίωνι, ἐν δευτέρῳ χρημάτων τὰ φυσικὰ τιθεμένῳ θεσμά. ἡ δὲ, προσλαβομένη τινὰς τῶν Τυρίων, συναραμένη δὲ καὶ τὰ χρήματα, ἔρχεται ἐπὶ Λιβύην. τοῦ δὲ Νομάδων καὶ Μαζίκων βασιλέως Ἰάρβαντος ἐκβάλλοντος αὐτὴν, ἠξίου ἡ γυνὴ χάριν αὐτῇ τιμῆς ἀποδοῦναι ὅσον ἂν ῥινὸς, ἤγουν βύρσα, ἐπιλάβοι βοός. τυχοῦσα δὲ τοῦ ἀξιώματος, διὰ τὸ δόξαι μικρὰ αἰτῆσαι, λαμβάνει βύρσαν, καὶ κατατεμοῦσα εἰς λεπτὰ, καὶ τὰ λεπτοτομηθέντα ἱμάντα ἐπεκτείνασα, ἔσχε τὴν κύκλῳ ἐμπεριληφθεῖσαν γῆν τῷ ἱμάντι εἰς μῆκός τε καὶ εἰς πλάτος· πολλὴν ὅρον τῇ πόλει τῷ τοιούτῳ σοφίσματι περιγράψασα. καὶ οὕτως ἡ Καρχηδὼν, Φοινίκων ἀνέκαθεν οὖσα τῶν μετὰ τῆς Διδοῦς, νῦν Λιβύων ἐστί. Διδὼ δὲ ἐκάλεσαν οἱ πλεονεκτηθέντες τὴν τοιαύτην γυναῖκα ἐπιχωρίῳ φωνῇ, ὡς ἂν εἴποι τις ἀνδροφόνον· διαβάλλοντες ἐκείνην ὡς δῆθεν αἰτίαν ἔχουσαν τοῦ ἀνδροφονῆσαι, διὰ τὸν ἐκ τοῦ ἀδελφοῦ φόνον. ἡ δὲ τῆς πόλεως ἀκρόπολις διὰ τὴν ῥηθεῖσαν ἱστορίαν τῆς βοὸς, Βύρσα ἐκλήθη τὸ παλαιόν. φασὶ δὲ καὶ ὅτι ὁ ῥηθεὶς Ἰάρβας, τὴν πόλιν μετὰ τὴν κτίσιν καθιερώσας, ἐκάλεσε τῇ Λιβύων φωνῇ Καινὴν πόλιν· ὕστερον δὲ ἐκλήθη Καρχηδών. Ἄλλοι δὲ οὕτως ἱστοροῦσι· Καρχηδὼν ἡ πόλις, ἀπὸ

Καρχη-

Quærentes victus miſeram & fœdam venationem.
Non enim terram findentis ſulcationem noverunt aratri,
Illis item nunquam jucundus auditur tractus plauſtri,
Neque boum mugitus ad ſtabulum redeuntium:
Sed paſſim, more ferarum, per ſylvas paſcuntur,
Inſcii ſpicarum, atque ignari meſſis.
Poſt hos autem Carthago perjucundum continet portum,
Carthago, Afrorum quidem, prius vero Phœnicum:
Carthago, quam fama eſt ſub bove dimenſam fuiſſe.
Deinceps autem Syrtis rapide-fluentem tractum volvit

Καρχηδόνος τινὸς ἀνδρὸς Φοίνικος. ἐκαλεῖτο δὲ καὶ Καινὴ πόλις, καὶ Καδμεία, καὶ Κακκάβη, ὅπερ τῇ ἐγχωρίῳ διαλέκτῳ ἵππου δηλοῖ κεφαλήν. ἐξ αὐτῆς, φασί, Κλειτόμαχον εἶναι τὸν Ἀκαδημαϊκὸν φιλόσοφον, τὸν καὶ Ἀσδρούβαν καλούμενον· ὃς ἠκροάσατο τοῦ σοφοῦ Καρνεάδου κη΄. ἐτῶν, ἄνθρωπος ἐλθὼν Ἀθήναζε ἄμοιρος (φασὶ) καὶ τῶν πρώτων στοιχείων, καὶ ὅμως ὀξύτητι φύσεως καὶ ἄκρᾳ μελέτῃ εἰς πολὺ σοφίας ἐληλακώς. Οἱ δὲ καὶ τοῦτο περὶ Καρχηδόνος φασίν, ὡς ἄρα οἱ περὶ τὴν Ἐλίσσαν, ἤγουν οἱ μετὰ τῆς Διδοῦς ὀρύσσοντες εἰς πόλεως κτίσιν, καὶ βοὸς εὑρόντες κεφαλὴν, ἀπέσχοντο τοῦ ὀρύσσειν, οἷα ὑποπτευσάμενοι μόχθους, καὶ δουλείαν συνεχῆ, ὃ καὶ οἱ βόες πάσχουσιν. ὀρύξαντες δὲ περί που φοίνικα πεφυτευμένον, εὗρον κεφαλὴν ἵππου, καὶ συμβαλόντες σημαίνεσθαι σχολὴν αὐτοῖς, καὶ παρ' ἄλλων δόσιν τροφῆς, καθὰ καὶ τοῖς ἵπποις, ἔκτισαν ἐν τῷ τοιούτῳ τόπῳ τὴν Καρχηδόνα, καὶ ταύτῃ πότιμον ὕδωρ μὴ ἔχοντι· καὶ τάχα διὰ τοῦτο καὶ Κακκάβη ἐκλήθη, ὡς ἀνωτέρω ἔκκειται.

Σ. Ὅτι μετὰ τὴν Καρχηδόνα Σύρτις ἡ μικροτέρα, ἡ καὶ Λωτοφαγῖτις, μεθ' ἣν πρὸς αὐγὰς ἡλίου ἡ ἑτέρα ἔρχεται ἄσπετος, εὐρυτέραις βαρυνομένη προχοαῖς. πολλὴ δὲ ἡ τῶν Σύρτεων χαλεπότης, ὡς φασιν οἱ παλαιοί, διὰ τὸ τεναγῶδες τοῦ βυθοῦ· καὶ ὅτι κατὰ τὰς ἐκεῖ ἀμπώτιδάς τε καὶ πλημμυρίδας συμβαίνει, κατὰ τὸν Γεωγράφον, ἐμπίπτειν τοὺς παρατυχόντας εἰς τὰ βραχέα, καὶ καθίζειν, καὶ εἶναι σπάνιον τὸ σωζόμενον σκάφος. τοῦτο δὲ καὶ Διονύσιος ἐμφαίνων φησίν, ἔνθα ἄλλοτε μὲν κορυσσομένης Τυρσηνίδος θαλάσσης πλημμυρὶς ἐγείρεται, ἄλλοτε δὲ ἄμπωτις ξηραῖς ἐπιτρέχει ψαμάθοις· εἰρηκὼς δηλονότι τοῦ πόντου, καὶ μὴ κορυσσομένου τοῖς κύμασιν. καὶ ἀνωτέρω δὲ ὁ αὐτὸς ἔφη περὶ τῆς μικρᾶς, ὅτι τηλόθεν ἐρχομένην δέχεται πλημμυρίδα πόντου. τεναγώδης δὲ ὁ τόπος, ὡς ἐρρέθη, καὶ οὐκ ἀεὶ βαθεῖα θάλασσα, ἀλλὰ κατὰ καιρούς τινας πολὺ τοῦ ὕδατος ἐπισυρομένη· ὅθεν καὶ Σύρτις καλεῖται. ἔστι δὲ ἡ μὲν ἐλάττων Σύρτις, χιλίων ἑξακοσίων σταδίων, ὡς οἱ παλαιοί φασι, τὴν περίμετρον· τῆς δὲ μεγάλης ὁ κύκλος, πεντακισχιλίων σταδίων. τὸ δὲ περὶ αὐτὰς πέλαγος, Λιβυκὸν καλεῖται, ἀποπλεόντων εἰς τὴν Αἴγυπτον. ἄμπωτις δέ ἐστι ξηρασία καὶ ἀνάπτωσις ὕδατος περιοδική, ἀνάπωτις οὖσά τις, καὶ ἐν συγκοπῇ ἄμπωτις. πάθος δέ ἐστι γινόμενον πολλαχοῦ, οἷα τοῦ ἐπιπολάζοντος ὕδατος ἀπονοστοῦντος, καὶ ἐν τῷ οἷον ἀναπίεσθαι, ὑπὸ γῆν δυομένου κατὰ χρονικὰς περιόδους τινάς. αἴτιον δέ φασι τοῦ πάθους τούτου πνεῦμα ὑπόγειον, ποτὲ

Βαιοτέρη. μετὰ τὴν δὲ πρὸς αὐγὰς ἔρχεται ἄλλη
Ἄσπετος, εὐρυτέρῃσι βαρυνομένη προχοῇσιν·
Ἔνθα, κορυσσομένης Τυρσηνίδος ἀμφιτρίτης,
Ἄλλοτε μὲν πλημμυρὶς ἐγείρεται, ἄλλοτε δ' αὖτε
Ἄμπωτις ξηρῇσιν ἐπιτροχάει ψαμάθοισι.
Τάων δ' ἀμφοτέρων μεσάτη πόλις ἐστήρικται,
Ἥν ῥά τε κικλήσκουσι [1] Νέην πόλιν· ἧς ὑπὲρ αἶαν
Λωτοφάγοι ναίουσι, φιλόξεινοι γεγαῶτες·
Ἐνθά ποτ' αἰολόμητις ἀλώμενος ἤλθεν Ὀδυσσεύς.
Κεῖνον δ' αὖ περὶ χῶρον ἐρημωθέντα μέλαθρα
Ἀνδρῶν ἀθρήσειας ἀποφθιμένων [2] Νασαμώνων,
Οὓς Διὸς οὐκ ἀλέγοντας ἀπώλεσεν Αὐσονὶς αἰχμή.
Ἀσβύσται [3] δ' ἐπὶ τοῖσι μεσήπειροι τελέθουσι,
Καὶ τέμενος Λιβυκοῖο θεοῦ, ψαμάθῳ ὑπὸ πολλῇ,
Κυρήνη τ' [4] εὔιππος, Ἀμυκλαίων γένος ἀνδρῶν.

μὲν ἐπιὸν, ποτὲ δὲ ἀπιὸν καὶ ὑποχωροῦν· ὅτι τὸ ὕδωρ ἀναθούμενον, εἶτα συγκαταδῦνον ποιεῖ τὴν ἄμπωτιν, ἥτις, ὡς ἐρρέθη, ἐκ τῆς ἀναπώσεως κέκληται. ὥσπερ αὖ πάλιν ἐκ τοῦ ἐναντίου ἡ πλημμυρὶς ὠνόμασται, ὡς ἀπὸ τοῦ πλῶ πλήσω, τὸ ἀναπληρῶ, ἐξ οὗ καὶ ἡ πλήμη παρὰ τῷ Γεωγράφῳ· ἀφ' ἧς ἡ πλημμύρα παρῆχθαι δοκεῖ, κατὰ παρωνυμίαν ἴσως. τάχα δὲ ἀπὸ τῆς τοιαύτης πλήμης καὶ τὸ πλημμελεῖν ἐπί τινι πλαδῶντος πράγματος λέγεται, καὶ ἑτέρων σημασιῶν μεταφορικῶς.

1. Ὅτι μέση τῶν Σύρτεων ἡ Νέα πόλις, ἡ καὶ μικρὰ Λέπτις, ἧς ὑπὲρ αἶαν Λωτοφάγοι ναίουσι, φιλόξενοι ὄντες· περὶ ὧν ἐν Ὀδυσσείᾳ γέγραπται· ἔνθα ποτὲ, φησὶ, καὶ Ὀδυσσεὺς ἦλθε πλανώμενος. ἔστι δὲ καὶ περὶ Καμπανίαν Νέα πόλις διάσημος, ὡς ῥηθήσεται.

2. Ὅτι οἱ Νασαμῶνες, τὸ Λιβυκὸν ἔθνος, ἔκ τινος βασιλεύσαντος τὴν ὁμωνυμίαν ἔχον, ὃς Νασάμων βαρυτόνως ἐλέγετο· εἰ καὶ τὸ ἐθνικὸν τὸ ἀπ' αὐτοῦ ὀξύνεται, παρὰ τοὺς ἀναδιαστολὴν ἴσως τοῦ κυρίου ὀνόματος, τούτους, φησὶ, Διὸς οὐκ ἀλέγοντας ἀπώλεσεν Αὐσονὶς αἰχμὴ, ἀδίκων χειρῶν κατάρξαντας· ἀνεῖλον γὰρ δόλῳ στρατηγόν τινα Ῥωμαίων ἐκεῖ ἀφιγμένον, διὸ καὶ ἠνδραποδίσθησαν ὑπὸ Ῥωμαίων. οἱ δέ φασιν αὐτοὺς καταπολεμηθῆναι, ὅτε ὁ λεγόμενος ἐμφύλιος ἀνῆπτο πόλεμος, συναγωνιζομένους τῷ Κάτωνι κατὰ τοῦ Καίσαρος. τὸν δὲ Νασάμωνα, οὗ τὸ ἔθνος ἐπώνυμον, Γαράμαντός τινος γενεαλογοῦσι, τοῦ καὶ Ἀμφιθέμιδος λεγομένου· ἀφ' οὗ καὶ τὸ Λιβυκὸν ἔθνος οἱ Γαράμαντες ἐκλήθησαν. οἱ δὲ Νασαμῶνες, ὅτε ἀποδημοῦσι, τὰ πτερὰ ἐπὶ ταῖς κεφαλαῖς ὀρθὰ ἔχουσιν, ὡς ὁ Δίων φησίν. ἄλλοι δὲ καὶ πολυγυναίκας τούτους ἱστοροῦσι, καὶ τὴν μίξιν τῶν γυναικῶν ποιουμένους ἐπίκοινον. μαντεύονται δὲ, φασὶν, ἀπὸ ἐνυπνίων ἃ βλέπουσι φοιτῶντες εἰς τὰ τῶν προγόνων μνήματα. τιμῶσι δὲ τοὺς ἐν αὐτοῖς δικαιοτάτους εἰς τοσοῦτον, ὥστε καὶ τεθνεῶτας ὀμνύουσιν αὐτοὺς, τῶν τύμβων ἁπτόμενοι. καθημένους δὲ, φασὶ, θάπτουσι τοὺς νεκρούς. ἐσθίουσι δὲ

ἀττε-

Minor. poſt hanc ad ortum venit alia
Immenſa, amplioribus onerata gurgitibus:
Ubi, intumeſcente Tyrrheno mari,
Interdum quidem inundatio excitatur, interdum verò rurſus
Reciprocatio [*receſſus æſtûs*] ſiccas currit ſuper arenas.
Harum autem ambarum in medio urbs ſtabilita eſt,
Quam appellant Novam urbem; cujus ultra terram
Lotophagi habitant, hoſpitales qui ſunt natura:
Quo olim variis inſtructus conſiliis errans venit Ulyſſes.
Illam autem rurſus circa regionem deſerta domicilia
Hominum videas interemptorum Naſamonum,
Quos Jovem non curantes perdidit Auſonia haſta.
Asbyſtæ autem poſt hos mediterranei ſunt,
Atque delubrum Libyci dei, arena ſub multa,
Cyreneque bonos habens equos, Amyclæorum, genus homi-[num.

ἀπισπλάστους, πρὸς ἥλιον ξηράναντες. εἶδος δὲ ἀχερδος ὁ ἀπισπλαστος.

3. Ὅτι μεσόγειοι κατὰ Λιβύην οἱ Ἀσβύσται, τὸ ἔθνος· ἔνθα καὶ τὸ ὑμνούμενον Ἄμμωνος τοῦ Λιβυκοῦ θεοῦ τέμενος, ψαμμάθῳ ὑπὸ πολλῇ. καὶ τούτου τοῦ τόπου τὸ ἐθνικὸν, Ἀμμώνιοι, παρ' οἷς λέγεται ἡ τοῦ ἡλίου εἶναι κρήνη, ἥτις ἐν ἑκάστῳ νυχθημέρῳ πολλὰς δέχεται τροπὰς, ὡς Ἡρόδοτος ἱστορεῖ, κατὰ τὸ ψύχεσθαι καὶ θερμαίνεσθαι περιοδικῶς. ἱστορεῖ δὲ καὶ τὰς μαντείας διὰ συμβόλων ἐν Ἄμμωνος γίνεσθαι, ἤτοι διὰ χρημάτων λίθων, καὶ κρουομένων καὶ ἀνακρουομένων. τὸ δὲ, ψαμμάθῳ ὑπὸ πολλῇ, ἐτυμολογίας ἐστὶν ἀφορμὴ, ὡς παρὰ τὴν ἄμμον ἐτυμολογουμένου τοῦ Ἄμμωνος, ἣν πάνυ πολλὴν ὁ νότος τοῖς ἐκεῖ ἐπιφορεῖ. οἱ δέ φασι τὸν ἐκεῖ Δία, Ἄμμωνα κληθῆναι ἀπό τινος ὁμωνύμου ποιμένος, προκατάρξαντος τῆς τοῦ ἱεροῦ ἱδρύσεως. εἴρηται δέ τι περὶ Ἄμμωνος καὶ ἐν τοῖς τοῦ Πινδάρου. Ἡρόδοτος δὲ ταυτὸν οἰόμενος εἰπεῖν Ἄμμωνα καὶ Δία, λέγει ὅτι "κριοπρόσωπον τὸ τοῦ Διὸς ἐστὶν αὐτόθι ἄγαλμα, ἐξ οὗ καὶ τὸ ἔθνος, Ἀμμώνιοι. Ἀμοῦν γὰρ Αἰγύπτιοι τὸν Δία καλοῦσι". τῶν τις δὲ μεγάλων φιλοσόφων, Ἀμοῦν καὶ πατέρα εἰπεῖν, ταυτὸν εἶναι ἱστορεῖ. τὸ δὲ μαντεῖον λέγουσι Θηβαίαν γυναῖκα συστήσασθαι, ἱέρειαν τοῦ Θηβαίου Διός. ἱστορεῖται δὲ καὶ ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν, ἀκούσας Περσέα καὶ Ἡρακλέα εἰς Ἄμμωνος ἀναβῆναι, ἐφιλοδόξησεν ἀπελθεῖν καὶ αὐτός. καὶ ἐποίησεν οὕτω, κοράκων προηγησαμένων αὐτῷ εὐτυχῶς τὴν ὁδὸν, καίτοι ἄλλως ἠφανισμένης τὰ σημεῖα τῇ ἐπιχύσει τῆς ἄμμου. ὅτι, φασὶ, καὶ ὁ τοῦ Ἄμμωνος ἱερεὺς, ἀντὶ τοῦ εἰπεῖν παιδίον, παιδὸς καλέσας βαρβαρικῶς τὸν Ἀλέξανδρον, ἔδοξεν ὡς ἐν χρησμοῦ λοξότητι, ὦ παῖ Διὸς, αὐτὸν προσειπεῖν· οὕτω τῶν ἐπιτρίπτων κολάκων ἐκλαβομένων τὸ βάρβαρον τῆς φωνῆς.

4. Ὅτι τὴν Κυρήνην εὔιππον λέγει, ἢ εὔπυργον, κατὰ ἑτέραν γραφήν. καὶ Ἀμυκλαίων γένος ἀνδρῶν, ἤγουν Λακώνων· ὡς ἀπὸ μέρους. μέρος γὰρ Λακώνων αἱ Ἀμύκλαι. ἀποικία δὲ ἐστιν ἡ Κυρήνη

νησιωτῶν

Ἄγχι δὲ, [1] Μαρμαρίδαι περινενδυκότες Αἰγύπτοιο
Γαίτουλοί τ' ἐφύπερθε, [2] καὶ ἀγχίγυοι Νιγρῆτες
Ἑξείης δ' ἐπὶ τοῖς, Φαυρούσιοι· ὧν ὕπερ αἶαν
Ναίουσιν [3] Γαράμαντες ἀπείριτοι. ἐν δὲ μυχοῖσι
Βόσκοντ' ἠπείροιο [4] πανύστατοι Αἰθιοπῆες,
Αὐτῷ ἐπ' ὠκεανῷ, πυμάτης παρὰ τέμπεα Κέρνης
Τῶν πέρος αἰθαλέων [5] Βλεμύων ἀνέχουσι κολῶναι,
Ἔνθεν πιστάτοιο κατέρχεται ὕδατα Νείλου·
Ὅς δή τοι, [6] Λιβύηθεν ἐπ' ἀντολίην πολὺς ἕρπων,

νησιωτῶν Θηραίων τῶν ἐκ Λακεδαίμονος ἀνέκαθεν μετοικησάντων. ὁ Θήρας γὰρ ἐκεῖνος, ὁ στείλας εἰς αὐτὴν ἀποικίαν, Λάκων ἄνωθεν ἦν, ὡς καὶ Πίνδαρος ἱστορεῖ, ὁ καὶ εὔιππον εἶναι τὴν Κυρήνην μαρτυρῶν, καὶ πολλαχοῦ ἐγκωμιάζων αὐτήν. ἐκαλεῖτο δὲ καὶ Πεντάπολις ἡ Κυρήνη, ἐξ ἧς καὶ ὁ ῥήτωρ Συνέσιος. λέγεται δὲ ὅτι καὶ αὐτὴ, καθαιρεθείσης τῆς τῶν Περσῶν βασιλείας, ὑπὸ Ἀλεξάνδρου ἀνεκτίσθη. ἐκλήθη δὲ Κυρήνη, ἢ ἀπὸ Κυρήνης τῆς Ὑψέως θυγατρὸς, κατὰ Πίνδαρον, ἢ ἀπὸ Κυρήνης πηγῆς ἐγχωρίου. λέγονται δέ ποτε οἱ Κυρηναῖοι καὶ περὶ ἰατρικὴν εὐτυχῆσαι, ὡς Ἡρόδοτος ἱστορεῖ. οὕτω δὲ εὐφορωτάτη ἐστὶν ἡ Κυρήνη, ὥστε ἐπὶ ὀκτὼ μῆνας ἔχειν τοὺς Κυρηναίους ἡ ὀπώρα. ἔστι δὲ καὶ κρήνη τις αὐτόθι λεγομένη Ἀπόλλωνος· καὶ τόπος αὐτόθι οὕτως εὐδαίμων, ὡς λόγον εἶναι ὅτι ἐνταῦθα ὁ οὐρανὸς τέτρηται.

1. Ὅτι τὸ ἔθνος οἱ Μαρμαρίδαι περινεδύκασιν Αἰγύπτου ἤτοι περὶ τῆς Αἰγύπτου, τέτανται. καλοῦνται δὲ οὕτως ἀπὸ Μαρμαρίδου τινὸς υἱοῦ Ἄραβος. καὶ ἡ χώρα αὐτῶν Μαρμαρική.

2. Ὅτι οἱ Γαράμαντες ἐπώνυμοί εἰσιν, ὡς προείρηται, Γαράμαντός τινος. οὗτοι πάντα ἀνθρώπων καὶ παντὸς ὁμιλίαν φεύγειν λέγονται· καὶ οὔτε ὅπλα ἔχουσι πολεμικὰ, κατὰ τὸν Ἡρόδοτον, οὔτε ἀμύνασθαι οἴδασιν. οἰκοῦσι δὲ ἐν τῇ θηριώδει, μετὰ τοὺς Νασαμῶνας, πρὸς νότον ἄνεμον.

3. Ὅτι Γαίτουλοι, μέγιστον ἔθνος Λιβυκόν. τούτους Ἀθηνόδωρος Γαιτουλίους λέγει. Ἡρωδιανὸς δὲ προπαροξύνει, λέγων ὅτι τὰ εἰς λος [illegible]ληγόμενα διφθόγγῳ τῇ διὰ τοῦ ου προπαροξύνονται. ἱστορεῖ δὲ μεγίστους ἀσπαράγους φύεσθαι παρ' αὐτοῖς.

4. Ὅτι ἐν μυχοῖς τῆς Λιβυκῆς ἠπείρου πρὸς νότον βόσκονται πανύστατοι Αἰθίοπες, αὐτῷ ἐπ' ὠκεανῷ, ἔνθα τέμπεα, τουτέστι δάση καὶ ἕλη, πυμάτης Κέρνης. ταύτην δὲ τὴν Κέρνην, οἱ μὲν νῆσόν φασιν ἐν τῷ ὠκεανῷ, οἱ δὲ τοῦτο οὐ δέχονται. καὶ ἡ θέσις δὲ αὐτῆς διαφωνεῖται. οἱ μὲν γὰρ ἀνατολικὴν αὐτὴν ὑποτίθενται, ὡς καὶ ὁ Λυκόφρων ἐμφαίνει· οἱ δὲ, δυτικήν. Διονύσιος δὲ καὶ ἄλλοι, νοτίαν· ὃς, τέμπεα Κέρνης εἰπὼν, καὶ λιμνάζειν αὐτὴν παραδηλοῖ· ἑλώδη γὰρ τὰ τέμπεα, ὡς καὶ τὰ Θετταλικὰ τέμπεα, ὁμοίως δὲ καὶ τὰ Μηδικά. ὁ δὲ Γεωγράφος, παραδηλῶν ψεύδεσθαι τοὺς λέγοντας τὴν Κέρνην νησίζειν, οὕτω φησὶ, "Κέρνην Ἐρατοσθένης ὀνομάζει, καὶ ἄλλους τόπους τοὺς μηδαμοῦ γινωσκομένους". ὁ δὲ Λυκόφρων καὶ δυτικήν τινα Κέρνην παραδηλοῖ, ὑπὲρ Τυρσηνίαν, ἔνθα Κερνεάτιν ἱστορεῖ νῆσον, δοκοῦσαν ἀπὸ Κέρνης παρωνομάζεσθαι. τῶν δὲ Αἰθιόπων Ἡρόδοτος

Juxta autem Marmaridæ vergentes ad Ægyptum,
Gætuli item deſuper, & vicini Nigrètes.
Deinceps vero poſt hos Phauruſii: quorum ſupra terram
Habitant Garamantes innumeri. in receſſibus autem
Paſcuntur continentis omnium extremi Æthiopes,
Ipſum ad Oceanum, ultimæ prope tempe Cernæ.
Quos ante peruſtorum Blemyum eminent juga,
Unde pinguiſſimi deſcendunt aquæ Nili;
Qui quidem, è Libya ortum verſus ſpatioſus ſerpens,

τος τοὺς Μακροβίους ἱστορεῖ μεγίστους καὶ καλλίστους εἶναι πάντων ἀνθρώπων, σιτεῖσθαι δὲ κρέα ἑφθὰ, καὶ πίνειν γάλα, καὶ ζῆν ἔτη εἴκοσι καὶ ἑκατόν. τινὲς δὲ, φησὶν, ὑπερβάλλουσι καὶ ταῦτα. σπανιώτατος δὲ ἐν αὐτοῖς καὶ τιμιώτατος ὁ χαλκός. πολὺς δὲ ὁ χρυσός· [illegible] δεσμῶται παρ' αὐτοῖς χρυσαῖς πέδαις δέδενται. φέρει δὲ, φασὶν, αὐτοῖς ἡ χώρα καὶ ἐλέφαντας ἀμφιλαφεῖς, καὶ ἔβενον. εἰσὶ δὲ κατ' αὐτὴν καὶ ἄλλοι Αἰθίοπες, οὐκ εἰς τὰ ἔσχατα τῆς γῆς, ἀλλὰ περὶ τῇ Αἰγύπτῳ, οὓς ὁ Καμβύσης κατεστρέψατο· δι' οὓς καὶ Αἰθιοπία ἐκλήθη ποτὲ ἡ Αἴγυπτος, ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται.

5. Ὅτι Βλεμμύων κολώνας, ἤγουν ἐξοχὰς, λέγει τοὺς δύο καταρράκτας, ἤτοι καταδούπους, καὶ κρημνοὺς, δι' ὧν πιοτάτου κατέρχεται, φησὶν, ὕδατα Νείλου· τουτέστι, τοῦ πιαίνοντος τὴν ἐκεῖ γῆν. Αἰθιόπων δὲ ὑπακούουσιν οἱ Βλέμμυες, οὕτω καλούμενοι ἀπὸ Βλέμμυός τινος, ὃς ὑποστρατηγῶν τῷ βασιλεῖ Δηριάδῃ κατὰ Διονύσου συνεπολέμησε. καί εἰσι καὶ οἱ Βλέμμυες ἔθνος Αἰθιοπικόν· διὸ καὶ αἰθαλέους αὐτοὺς καλεῖ ὁ Διονύσιος, ἐκ τοῦ αἴθω, ἐξ οὗ καὶ οἱ Αἰθίοπες. λέγει δὲ καὶ ἐγγὺς τῆς Κέρνης εἶναι αὐτοὺς, περὶ ἧς ἀνωτέρω εἴρηται. καταρράκται δὲ ἐν τῷ καθόλου λέγονται οἱ πετρώδεις τόποι, οὓς, ἐν τῷ καθ' ὁδὸν βαίνειν, οἱ ποταμοὶ ἀναχαιτίζοντας τὸν ῥοῦν εὑρόντες, ὑπερβαίνουσι, πολὺ συναγαγόντες ῥεῦμα, καὶ τῇ πλημμύρᾳ καταράσσοντες, ἤτοι ἄνωθεν βιαίως κατιόντες· ἐξ οὗ καὶ οὐρανοῦ καταρράκτας φαμέν. καί τι ὄρνεον ἀετῶδες καταρράκτης καλεῖται, ὡς ἄνωθεν καταράσσον ἐν τῷ θηρεύειν τὰ ὄρνεα.

6. Ὅτι ὁ Νεῖλος, Λιβύηθεν ἐπ' ἀνατολὴν πολὺς ἕρπων ἕως καὶ εἰς τὴν καλουμένην πόλιν Συήνην, Σῖρις ὑπὸ Αἰθιόπων κικλήσκεται· ἀφ' ὧν καὶ ἄρχεται ῥέειν. οἱ δὲ περὶ Συήνην στραφέντι, τουτέστιν ἐπὶ τὰ βόρεια κάμψαντι, Νεῖλον τὸ ὄνομα μετέθεντο. πολλὴ δὲ ἐν ταῖς ἱστορίαις ἡ Συήνη, ἀπὸ Συήνου τινὸς οὕτω κληθεῖσα. ἐν ᾗ καὶ φρέαρ εἶναί φασι, τὰς θερινὰς τοῖς ἐκεῖ διασημαῖνον τοῦ ἡλίου τροπάς· ὅπου καὶ ἄσκιοι κατὰ μεσημβρίαν εἰσὶν οἱ ὡρολογικοὶ γνώμονες, διὰ τὸ ὑποκεῖσθαι τοὺς τόπους τῷ τροπικῷ. τὸ δὲ Σῖρις, οἱ μὲν βάρβαρόν φασιν εἶναι ὄνομα, ἤτοι Αἰθιοπικὸν, κατὰ τὸν Διονύσιον· (διὸ οὐδὲ χρῆναι λέγουσι ζητεῖν Ἑλληνικὴν ἐτυμολογίαν αὐτοῦ, ὡς οὐδὲ τῆς Ἰταλικῆς Σίριδος· πόλις δὲ ἡ Σῖρις ἐκείνη) οἱ δὲ ἐπιχειροῦσιν ἀπὸ τοῦ σειρίου ἀστέρος ἀποδοῦναι τὸ τῆς λέξεως ἔτυμον. ὑπὸ κύνα γὰρ, φασὶν, οὗ μέρος ὁ σείριος ἀστὴρ, πλημμυρεῖ ὁ Νεῖλος, ἐν ἐπιτολῇ κυνὸς ἀναβαίνων· ὅτε ἀποτελοῦνται τὰ παρ' ἡμῖν κατὰ τὴν καθωμιλημένην γλῶτταν λεγόμενα κυνοκαύματα. οἱ δὲ ἀπὸ τοῦ εἴρω ἐτυμολογοῦσι τὸ Σῖρις, ὃ δηλοῖ

τὸ

Σῖρις ὑπ' Αἰθιόπων κικλήσκεται· οἱ δὲ Συήνης
Ἐνναέται στρεφθέντι μετ' οὔνομα Νεῖλον ἔθεντο.
Κεῖθεν δ' ἐς Βορέην τετανυσμένος ἄλλυδις ἄλλος,
Ἑπτὰ[1] διὰ στομάτων εἰλιγμένος, εἰς ἅλα πίπτει,
Ὕδασι πιαίνων λιπαρὸν πέδον Αἰγύπτοιο.
Οὐ γάρ τις ποταμῶν ἐναλίγκιος ἔπλετο Νείλῳ,
Οὔτ' ἰλὺν[2] βαλέειν, οὔτε χθονὸς ὄλβον ἀέξειν·
Ὅς ῥά τε καὶ Λιβύην ἀποτέμνεται Ἀσίδος αἴης,
Ἐς λίβα μὲν Λιβύην, ἐς δ' αὐγὰς Ἀσίδα γαῖαν.
Τῷ πέρα ναιετάουσιν[3] ἀριπρεπέων γένος ἀνδρῶν,

τὸ συμπλέκω καὶ συναρμόττω· ἐπειδὴ εἱρμῷ τινι καὶ τάξει φέρεται, καὶ οὐ παραπεφυρμένην τὴν ἀνάβασιν· διὸ καὶ τῇ αὐτοῦ ὑπερβάσει φασὶ μετρεῖσθαι παρὰ τοῖς ἐγχωρίοις τὸν ἐνιαυτόν. καὶ τὸν Νεῖλον δέ, ὀφείλοντα διὰ διχρόνου μόνου τοῦ ἰῶτα γράφεσθαι, ὡς ἀπὸ τοῦ ἰλύος, ὅμως διὰ τοῦτό φασι τὴν διὰ διφθόγγου γραφὴν ἐπιφέρεσθαι, ὡς ἂν ἔχῃ πληροῦν καὶ τῇ ποσότητι τῆς ἀριθμητικῆς δυνάμεως τῶν ἐν αὐτῷ γραμμάτων τὸν ἐνιαύσιον καιρόν. τὸ γὰρ Νεῖλος, κατὰ τὴν δύναμιν τῶν ἐν αὐτῷ στοιχείων ποσούμενον, τὸν τξε. ἀριθμὸν συντελεῖ, ὁπόσαι εἰσὶ καὶ αἱ κατ' ἐνιαυτὸν ἡμέραι. καὶ οὕτω δείκνυται ὅτι ὁ Νεῖλος κατὰ εἱρμόν τινα φέρεται. καίτοι καὶ ἄλλῳ τρόπῳ τὸ Νεῖλος ἐτυμολογεῖται, παρὰ τὸ νέαν, ἤτοι ἐνιαυσίαν, ἄγειν ἰλύν, Νείλος τις ὤν. λέγει οὖν καὶ ὁ ποιητὴς οὕτως, ὅτι οὔ τις ποταμῶν ὅμοιος τῷ Νείλῳ, οὔτε ἰλὺν βαλεῖν, οὔτε χθονὸς ὄλβον αὔξειν. διὸ καὶ ἐργατικὸν ποταμὸν αὐτόν φησιν ὁ Ἡρόδοτος. ὅτι δὲ πολλὴν ὁ Νεῖλος ἰλὺν βάλλει, δηλοῖ καὶ ὁ λόγος ὁ λέγων ἐπίκτητον εἶναι τὴν Αἴγυπτον, καὶ δῶρον τοῦ ποταμοῦ, διὰ τὴν ἐκ τῆς τοιαύτης ἰλύος πρόσχωσιν. ἦν γὰρ ὅτε, φασί, πᾶσα ἡ Αἴγυπτος ἕλος ἦν. τινὲς δὲ Νεῖλον φασὶν ὀνομάζεσθαι ἀπὸ Νείλου τινὸς ἀπογόνου Ἄτλαντος, βασιλεύσαντος τῶν ἐκεῖ. ἄλλοι δέ, ἐκ Μέλανος πρότερον καλούμενος, μετεκλήθη Νεῖλος ἀπό τινος Νείλου βασιλικοῦ παιδός, ἐκεῖ ῥίψαντος ἑαυτόν. τινὰς μέντοι, ἀπό τινος Νειλαίου κεκλῆσθαι οὕτως αὐτὸν εἰπόντας, οὐκ εὖ λέγοντας ἐπελέγχει ὁ Ἀρριανός.

1. Ὅτι ἑπτὰ διὰ στομάτων ἑλισσόμενος ὁ Νεῖλος εἰς ἅλα βάλλει, ὕδασι πιαίνων λιπαρὸν πέδον Αἰγύπτου. διὸ καὶ πιότατον αὐτὸν φθάσαντες ὀνόμασι. ὁ δὲ Γεωγράφος λέγει, δίχα τῶν ἑπτὰ τούτων στομάτων καὶ ἄλλα εἶναι ἄσημα ψευδοστόματα. Ἡρόδοτος δὲ πεντάστομον εἶναι λέγει τὸν Νεῖλον, δηλαδὴ κατὰ τὰ φυσικὰ στόματα, ὡς δύο τινῶν ὀρυκτῶν ὄντων. φησὶ γὰρ ὅτι ὁ Νεῖλος ἀπὸ τῶν καταδούπων ἀρξάμενος ῥεῖ, μέσην Αἴγυπτον σχίζων εἰς θάλασσαν. σχιζόμενος δὲ εἰς τρία, τὸ μὲν ἑῷον σχίσμα ποιεῖ τὸ Πηλούσιον στόμα· τὸ δὲ ἑσπέριον, Κανωβικὸν καλεῖται· τὸ δὲ μέσον, Σεβεννυτικόν, ἐξ οὗ ἀποσχίζονται τὸ Σαϊτικὸν καὶ τὸ Μενδήσιον. καὶ οὕτω πέντε συναριθμοῦνται γνήσια στόματα, τὰ λοιπὰ δύο, τὸ Βολβιτινὸν καὶ τὸ Βουκολικόν, οὐκ ἰθαγενῆ λέγει στόματα εἶναι, ἀλλὰ ὀρυκτά. καὶ ταῦτα μὲν οὕτως. εἰς τοσοῦτον δὲ κλύζεται ὕδασιν ἡ Αἴγυπτος, ὥστε καὶ ποτάμια νῆσος πρός τινων λέγεται. ἰστέον δὲ ὅτι Ἡρόδοτος μὲν λέγει τοῦ Νείλου τὰς πηγὰς μὴ γινώσκεσθαι. διὸ οὐδ' αὐτὸς ἰσχυρίζεται ταύτας τὰς πηγάς. δοκῶ δέ, φησίν,

Siris ab Æthiopibus vocatur : at Syenes
Incolæ converſo mutarunt nomen *in* Nilum.
Illinc vero in boream extenſus alibi alius
Septem per oſtia volutus in mare delabitur,
Aquis pinguefaciens fertile ſolum Ægypti.
Non enim quiſquam fluviorum par eſt Nilo,
Neque ad limum projiciendum, neque ad ſoli felicitatem augendam:
Qui certe & Libyam dirimit Aſiatica ab ora,
In Libem quidem Libyam, in ortum vero Aſiaticam terram.
Hunc accolunt præclarorum genus hominum,

σιν, ὅτι οὐδὲ οὐδεὶς τῶν Ἑλλήνων". ἕτεροι δέ φασι τὸν Νεῖλον ἐκ τῶν τῆς Σελήνης, ἤτοι ἐκ τῶν Σεληναίων ὀρῶν ἄρχεσθαι, καὶ ἀπὸ τῆς κινναμωμοφόρου γῆς ἐκ τῶν Αἰθιοπικῶν τερμόνων, καὶ διεξιέναι πᾶσαν ἐπ' εὐθεῖαν τὴν Αἰθιοπίαν, κάμψαντα, καὶ ἀπὸ τοῦ μικροῦ καταῤῥάκτου ὑπὲρ Συήνης καὶ Ἐλεφαντίνης πόλεως ἀρξάμενον τῆς κάμψεως, ἐμβάλλειν τε εἰς αὐτὸν ἀπὸ τῆς ἕω δύο ποταμοὺς περιλαμβάνοντας νῆσον εὐμεγέθη καὶ ὀνομαστὴν τὴν Μερόην. ὧν ὁ μὲν Ἀσταβόρας, ὁ δὲ Ἀστάπους καλεῖται. καίτοιγε ὁ Ἡρόδοτος φύσει μέγαν καὶ αὐτάρκη ἑαυτῷ τὸν Νεῖλον εἶναι βούλεται· λέγων ὅτι "οὔτε κρήνη οὔτε ποταμὸς οὐδεὶς εἰς αὐτὸν ἐσδιδοῦσιν". ὁ δὲ ῥηθεὶς μικρὸς καταῤῥάκτης, ὀφρύς ἐστι, φησὶ, πετρώδης, ἐπίπεδος ἄνω, τουτέστι πλατύς. δέχεται δὲ τὸν ποταμὸν πληρωθέντα εἰς τινα κρημνὸν, καθ' οὗ τὸ ὕδωρ καταῤῥήγνυται. πληροῦσθαι δὲ ὑπὸ θερινῶν ὄμβρων τὸν Νεῖλόν φασι, καὶ ὑποκαταβαίνειν μετὰ μ'. ἡμέρας, δι' ὅσων καὶ ηὔξηται. πελαγίζειν δὲ τὴν Αἴγυπτον ἐν τῇ ἀναβάσει αὐτοῦ, ὥστε τὰς ἐπὶ λόφων ἢ χωμάτων οἰκήσεις νησίζειν οἷον τοῖς πόῤῥωθεν βλέπουσιν. ἱστορεῖται δὲ καὶ ὅτι ἀπὸ θερινῆς τροπῆς ὁ Νεῖλος ἀρξάμενος πληθύνει, τουτέστι πλημμυρεῖ ἐπὶ ἡμέρας ἑκατὸν εἶτα ἐκλιπὼν τὸ ῥεῖθρον, καὶ ὀπίσω ἀπελθὼν, διαπλεῖ βραχὺς τὸν ὅλον χειμῶνα· καὶ ὅτι λίθος ἐν τῷ Νείλῳ γεννᾶται κυάμῳ παρόμοιος, ὃν ἐὰν ἴδωσι κύνες οὐχ ὑλακτοῦσι. τροφιμώτατον δέ φησι τὸ τοῦ Νείλου ὕδωρ εἶναι, διὰ τὴν ἐκεῖ τοῦ ἡλίου μετρίαν ἕψησιν, καὶ μεγαλοφυεῖν, καὶ γόνιμον δὲ καὶ πολύγονον εἶναι· διὸ καὶ τὰς γυναῖκας ἔσθ' ὅτε τετράδυμα τίκτειν, ἤδη δὲ καὶ, κατὰ τὴν Ἀριστοτέλους ἱστορίαν, ἑπτάδυμα.

2. Ὅτι τὸν Νεῖλον καὶ πάνυ πολλὴν ἰλὺν λέγει βάλλειν, ὡς καὶ ἀνωτέρω γέγραπται, καὶ ὄλβου χθονὸς εἶναι αὐξητικόν. λέγει δὲ αὐτὸν καὶ τῆς Ἀσίας τὴν Λιβύην ἀποτέμνεσθαι, ἀφέντα κεῖσθαι, ἐς Λίβα μὲν τὴν Λιβύην, ἐς δ' αὐγὰς τὴν Ἀσίαν. Σημείωσαι δὲ ὅτι καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς δέ που τὴν Ἀσίαν, Ἀσίδα φησὶ, κατὰ παρωνυμίαν, οὐ μὴν κατὰ ἀποκρεμασμόν· οὐ γὰρ εἰκὸς ὑποκορίσασθαι αὐτὸν τὴν τοσαύτην ἤπειρον. οὕτω δὲ καὶ αἱ Ἀμαζόνες παρωνύμως λέγονται Ἀμαζονίδες· καὶ παρὰ Εὐριπίδῃ Μαιὰς, ἡ τοῦ Ἑρμοῦ μήτηρ Μαῖα· καὶ τὴν Τυῤῥηνὴν δὲ θάλασσαν οὕτω Τυῤῥηνίδα εἶπεν ὁ Διονύσιος.

3. Ὅτι τοὺς Αἰγυπτίους ἐγκωμιάζων, γένος αὐτοὺς ἀριπρεπῶν λέγει ἀνδρῶν, οἳ πρῶτοι, φησὶ, βίου κελεύθους, ὅ ἐστι τέχνας, ἐξευρόντες διεστήσαντο, ἤτοι διεῖλον, εἰς γεωργίαν τυχὸν καὶ στρατείαν, καὶ ἱερωσύνην, καὶ εἰς τοιαῦτά τινα· πρῶτοι

Οἱ πρῶτοι βιότοιο διεστήσαντο κελεύθους,
Πρῶτοι δ' ἱμερόεντος ἐπειρήσαντο ἀρότρου,
Καὶ σπόρον ἰθυντῆρος ὑπὲρ αὔλακος ἡπλώσαντο·
Πρῶτοι δὲ γραμμῇσι πόλον διεμετρήσαντο,
Θυμῷ φρασσάμενοι λοξὸν δρόμον ἠελίοιο.
Τῶν δέ κεν αὐδήσαιμι καὶ αὐτῆς πείρατα γαίης,
Καὶ μορφήν· [1] οὐ μὲν γὰρ ὀλίζονος ἔμμορε τιμῆς.
Οὐδὲ μὲν οὐδ' ὀλίγη μέγεθος πέλει· ἀλλά τις ἄλλων
Εὔβοτος, εὐλείμων τε, καὶ ἀγλαὰ πάντα φέρουσα.
Σχῆμα [2] μὲν οὖν τετραστῆσιν ἐπὶ πλευρῇσι βέβηκεν,
Εὐρὺ μὲν [3] ἀμφ' ἀκτὰς Βορεήτιδας, ὀξὺ δ' ἐπ' ἠῶ,
Ἑλκόμενον καὶ μέχρι Βαθυκρήμνοιο Συήνης,
Οὔρεσιν ἀμφοτέροισι περισκεπέεσσιν ἐρυμνόν,
Τῶν μέσα καλλιρόοιο κατέρχεται ὕδατα Νείλου.
Καὶ τὴν μὲν πολλοί τε καὶ ὄλβιοι ἄνδρες ἔναιον

δὲ ἱμερόεντος, φησίν, ἐπειρήθησαν ἀρότρου, καὶ σπόρον ἰθυντῆρος ὑπὲρ αὔλακος ἡπλώσαντο· πρῶτοι δὲ γραμμαῖς πόλον διεμετρήσαντο, τὰς τοῦ ἡλίου δηλαδὴ ἐξευρόντες τροπάς· καὶ θυμῷ, τουτέστιν οἴκοθεν ἐκ ψυχῆς καὶ ἀδιδάκτως, φρασσάμενοι λοξὸν δρόμον ἡλίου, ὡς αὐτόχρημα θυμόσοφοι. καὶ ὁ μὲν περιηγητὴς οὕτω σεμνολογεῖ αὐτούς. λέγει δὲ καὶ Ἡρόδοτος πρώτους ἀνθρώπων Αἰγυπτίους ἐξευρεῖν τὸν ἐνιαυτόν, καὶ ὅτι τῶν Αἰγυπτίων οἱ Ἡλιουπολῖται λογιμώτατοι. ἄλλη δὲ ἱστορία καὶ πανούργους οἶδεν αὐτούς, ὡς καὶ Θεόκριτος ὑπεμφαίνει· ὅθεν καὶ αἰγυπτιάζειν λέγεται, τὸ ὕπουλα πράττειν. καὶ παροιμία κεῖται λέγουσα, "Δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι". ἱστοροῦνται δὲ καὶ δουλωθῆναι ὑπὸ Περσῶν. ὁμώνυμος δὲ ἡ Αἴγυπτος Αἰγύπτῳ τῷ Βήλου, τῷ Δαναοῦ ἀδελφῷ. λέγονται δὲ καὶ ξυρᾶσθαι τὰς κεφαλὰς οἱ Αἰγύπτιοι, καὶ πρὸς ἥλιον παχύνεσθαι τὸ ὀστοῦν. διὸ καὶ ἐλάχιστοι, φασίν, εἰσὶν ἐν Αἰγύπτῳ φαλακροί.

1. Ὅτι καὶ ταῦτα Αἰγύπτου ἐγκώμια, κατὰ τὸν Διονύσιον, οὐκ ὀλίγης, φησίν, ἔτυχε τιμῆς. οὐ μὲν οὐδ' ὀλίγη μέγεθος πέλει, ἀλλ' ὑπὲρ τὰς ἄλλας εὔβοτος, εὐλείμων τε, καὶ ἀγλαὰ πάντα φέρουσα. ἄλλοι δέ, καὶ φυσικῶς ὠχυρῶσθαι ἱστοροῦντες αὐτήν, φασὶ κατὰ γῆν τε δυσέμβολον εἶναι, καὶ τὰ πρὸς θάλασσαν ἀλίμενον. καὶ τὸ δολιχὴν δὲ ὁδὸν καὶ ἀργαλέην, ὑπὸ τοῦ Ὁμήρου, διὰ τὸ ἄξενον τοῦ τόπου καὶ τὸ ἀλίμενον εἰρῆσθαι λέγουσιν. ἐκλήθη δὲ ποτέ, κατά τινα ἱστορίαν, ἡ τοιαύτη χώρα, καὶ Ἀερία, καὶ Ποταμία, καὶ Αἰθιοπία, διὰ τοὺς ἐκεῖ Αἰθίοπας, περὶ ὧν πολλοὶ τῶν παλαιῶν ἱστοροῦσι· ναὶ μὴν καὶ Ἀετία, ἐκ τινος Ἰνδοῦ Ἀετοῦ καλουμένη· καὶ Ὠγυγία δέ, καὶ Μελάμβωλος, καὶ Ἡφαιστία.

2. Ὅτι τὸ τῆς ὅλης Αἰγύπτου σχῆμα τετραστοῖς ἐπὶ πλευραῖς βέβηκε. τρίγωνος γάρ ἐστι, προσεοικυῖα τῷ δέλτα στοιχείῳ. καὶ δὴ καὶ οὕτω καλεῖται Δέλτα τὸ κατ' Αἴγυπτον. φασὶ γὰρ ἐν τῷ νοτίῳ τῆς Αἰγύπτου μέρει δύο εἶναι ὄρη· ὧν ἐν τῷ δεξιῷ ἀνατολικὴν κεῖσθαι τὴν προσαγορευο-

μένην

Qui primi vitæ diſtinxerunt vias,
Primi item optabile experti ſunt aratrum,
Atque ſemen ſuper rectiſſimum ſulcum poſuerunt:
Primi etiam lineis cœlum dimenſi ſunt,
Animo contemplati obliquum curſum ſolis.
Horum autem eloquar & ipſius fines terræ,
Et formam: ſi quidem non parvum adepta eſt honorem.
Neque etiam modica eſt magnitudine; quin & præ aliis
Bene paſcuis inſtructa & pratis,& eximia omnia producens.
Figura igitur tria ſuper latera fixa eſt,
Lata quidem ad littora borealia, acuta vero ad auroram,
Quæ trahitur uſque ad habentem alta præcipitia Syenem,
Montibus duobus undique tegentibus munita,
Quos inter pulchriflui deſcendunt aquæ Nili.
Atque [redacted] quidem multi & opulenti homines tenent:

μένην Συήνην. οὕτω δὲ ἐγγὺς εἶναι ἀλλήλων ταῦτα τὰ ὄρη, ὡς μηδὲ ἑπταστάδιον εἶναι τὸ μέσον αὐτῶν· καὶ τούτου τοῦ στενοῦ ἀρχομένην τὴν ἐκεῖσε γῆν πλατύνεσθαι πρὸς τὰ κατὰ θάλασσαν βόρεια, ὡς δέλτα, ἤτοι τριγωνοειδῶς. ἔστι δὲ τὸ ῥηθὲν ἑπταστάδιον, τὸ ὀξὺ τοῦ δέλτα, ἐξ οὗ ὁ Νεῖλος καταρρήγνυται, ὥς φησι καὶ Ἡρόδοτος. φασὶ δὲ καὶ ἐν τῷ μέσῳ τῆς Αἰγύπτου ἕτερον τρίγωνον ἐξ αὐτοῦ τοῦ Νείλου ἀποπλεῖσθαι σχῆμα, Δέλτα λεγόμενον καὶ αὐτό· οὗ ἡ μὲν βάσις μεταξὺ τοῦ Πηλουσίου καὶ τοῦ Ἡρακλείου στόματος τοῦ Νείλου· πλευραὶ δὲ, ἡ δεξιὰ μὲν, κατὰ Πηλούσιον· ἡ ἀριστερὰ δὲ, κατὰ Κάνωβον καὶ Ἡράκλειον. καλεῖται δὲ (φασὶ) Δέλτα καί τι χωρίον, καὶ κώμη τις ἐπὶ τῇ τοῦ Δέλτα κορυφῇ. Σημείωσαι δὲ ὅτι ἔοικεν ἐκ τῶν ῥηθέντων τὸ δέλτα γράμμα τριγωνοειδῶς σχηματίζεσθαι παρὰ τοῖς παλαιοῖς. ὅθεν καὶ δέλτοι κυρίως μὲν οἱ τόμοι ὅσοι τριγωνοειδῶς ἐσχηματίζοντο ἐν τῷ πτύσσεσθαι, καθὰ καὶ νῦν ποιοῦσί τινες· ὕστερον δὲ ἁπλῶς αἱ βίβλοι λέγονται, ἀπὸ τῆς παλαιᾶς χρήσεως· καθὰ καὶ πυξία, διὰ τὸ τοὺς παλαιοὺς τοῖς ἐκ πύξου πινακίσι τὰ γράμματα ἐντυποῦν. Ἰστέον δὲ ὅτι ὁ Ξενοφῶν ἱστορεῖ καὶ τῆς Θρᾴκης τόπον εἶναί τινα Δέλτα καλούμενον.

3. Ὅτι τὸ κατ' Αἴγυπτον τρίγωνον τὸ μὲν πλατὺ τὸ τῆς βάσεως πρὸς ἀκταῖς κεῖται βορεήτιδας, ὡς καὶ ἀνωτέρω γέγραπται· τὸ δὲ ὀξὺ ἐπὶ ἠῶ ἕλκεται, μέχρι πολυκρήμνου Συήνης, ἐρυμνὸν ὄρεσιν ἀμφοτέροις, τοῖς καταρράκταις λεγομένοις· ὧν μέσα (ὡς προεγράφη) καλλιρρόου κατέρχεται ὕδατα Νείλου. τὸ δὲ ἐπ' ἠῶ, φασὶν ἐνταῦθα οἱ παλαιοὶ μὴ δηλοῦν τὴν ἀνατολήν. καλῶς λέγοντες· νότιον γὰρ πάντως καὶ μεσημβρινὸν, οὐ μὴν ἀνατολικὸν, τὸ τοῦ Δέλτα ὀξύ. διὰ τοῦτο τοίνυν ἠῶ σωματικώτερον τὴν τοῦ Μέμνονος νοοῦσι μητέρα, τὴν ἡμέραν τὴν θεὰν, τὴν πρὸς τοῖς Αἰθίοψιν, εἰς οὓς καὶ ἡ τοῦ Δέλτα ὀξύτης ἀφορᾷ· ἧς ἡμέρας ἐν ταῖς νοτίαις Θήβαις ἀνέστηκεν ἄγαλμα, ὡς ῥηθήσεται.

Ἡ μὲν ὅσσοι [1] Θήβην ἐρικυδέα ναιετάουσι,
Θήβην ὠγυγίην, ἑκατόμπυλον, ἔνθα γεγωνὼς
Μέμνων ἀντέλλουσαν ἑὴν ἀσπάζεται Ἠῶ·
Ὅσσοι θ' [2] Ἑπτάπολιν μεσάτην ἤπειρον ἔχουσιν,
Ἠδ' ὅσσοι νοτερῇσιν ἐπ' ἠιόνεσσι θαλάσσης
Παρραλίην ναίουσιν, ἔσω Σερβωνίδος ἅλμης.
Τῆς πρὸς μὲν [3] ζεφύροιο Μακηδόνιον πτολίεθρον,

1. Ὅτι τὰς Αἰγυπτίας Θήβας ἐπικῶς ἐκφέρει. καὶ ἐρικυδέα λέγει πόλιν, τὴν τοιαύτην Θήβην, καὶ ὠγυγίην, καὶ ἑκατόμπυλον· ἔνθα γεγωνὼς, φησὶν, ὁ Μέμνων ἀνατέλλουσαν τὴν ἑαυτοῦ Ἠὼ, τουτέστι τὴν μητέρα ἡμέραν, ἀσπάζεται. ἀνδριὰς μὲν ὢν, διά τινος δὲ μηχανῆς ἅμα ἡμέρᾳ λαμπούσῃ φωνῶν, καὶ οὕτω πως ἐξ αὐτομάτου προσλαλῶν, οἷον καὶ ἀσπαζόμενος τὴν ἡμέραν ἧς ἐλέγετο υἱὸς εἶναι, διὰ τὸ ἐν Αἰθίοψι τύχαι κάλλιστος εἶναι, καὶ μόνος ὑπερλελαμπρύνθαι τὴν χροιὰν, πατρὸς ὢν Τιθωνοῦ ἀδελφοῦ Λαομέδοντος, ὃν πρὸς τῇ Κίρκῃ ἀφορίζει ὁ Λυκόφρων, περὶ ἧς ἀνωτέρω γέγραπται. φασὶ δὲ τὰς Θήβας ταύτας καὶ Διὸς πόλιν ποτὲ κληθῆναι. ἐξαίρει δὲ αὐτὰς τῷ λόγῳ καὶ ὁ ποιητὴς ἐν τῇ Ἰλιάδι. ἐννέα δὲ ἱστοροῦνται Θῆβαι, ὧν μία καὶ αὕτη ἡ περὶ Αἴγυπτον, μεγίστη μὲν ποτὲ οὖσα, ὡς καὶ εἰς ἑκατὸν πύλας ἀνοίγεσθαι, καὶ εἰς σταδίους κ'. καὶ τετρακοσίους ἐκτείνεσθαι· νῦν δὲ ἐν ὀνόματι μόνον κειμένη, διὰ τὸ κατεσκάφθαι καὶ ἀνεστατῶσθαι τέλεον. φασὶ γὰρ ὅτι Καμβύσης αὐτὰς ὁ Περσῶν βασιλεὺς εἰς ἔδαφος κατέστρεψεν. ὅτι δὲ περὶ τοὺς τοιούτους τόπους ὑετὸς οὐ καταῤῥήγνυται, δηλοῖ ὁ θαυμάζων ὅτι ἐπὶ Ψαμμηνίτου τοῦ υἱοῦ Ἀμάσιος ὕσθησαν αἱ Θῆβαι ψεκάδι. Ὅτι πολλοί τε καὶ ὄλβιοι ἄνδρες τὴν τῆς Αἰγύπτου ἔχουσι γῆν, οἷον οἱ ῥηθέντες Θηβαῖοι, καὶ οἱ Ἀλεξανδρεῖς, καὶ οἱ μεσήπειροι ἑπταπολῖται, καὶ οἱ περί που τὴν παραλίαν τὴν πρὸς τῇ Σερβωνίδι. λίμνη δὲ αὕτη καὶ χώρα, περὶ ἣν φασι τὸν Τυφῶνα κεκρύφθαι, πλησίον οὖσαν τοῦ πρὸς τῷ Πηλουσίῳ Κασίου ὄρους. οἱ μέντοι Πηλουσιῶται ἐκτὸς τούτων εἰσὶ τῶν κατ' Αἴγυπτον. τὸ γὰρ Πηλούσιον ἤδη τῆς Ἀσίας ἐστίν.

2. Ὅτι ἡ κατ' Αἴγυπτον Ἑπτάπολις καὶ Ἀρκαδία, ὡς ἀπὸ τοῦ βασιλέως Ἀρκαδίου, ὕστερον ἐκλήθη· πρὸ δὲ τούτου ὁ Ἑπτάνομος ἢ καὶ Ἑπτανομία ἀνεκλήθη. καὶ τοῦτο μὲν ἐκαλεῖτο διὰ τὸ ἑπτὰ ἔχειν νομοὺς, ὁποίους τοὺς Λιβυκοὺς ἡ συνήθης φράσις εἶναι βούλεται, ὡς ἄν τις εἴπῃ ἐνορίας. Ἑπτάπολις δὲ ἐλέγετο, ἀπὸ πόλεων παρακειμένων τῷ Νείλῳ, ἓξ μὲν ἐξ ἀριστερῶν· ἤγουν Μέμφεως, Διὸς πόλεως, Μεμνονίας, μικροῦ Καταῤῥάκτου καὶ μεγάλου, καὶ Συήνης· μιᾶς δὲ ἐκ δεξιῶν, τῆς Βαβυλῶνος. οἱ δὲ ἄλλως καταριθμοῦσι τὰς τοιαύτας ἑπτὰ πόλεις· τέσσαρας μὲν, τῆς Θηβαΐδος, αἵ εἰσιν, ἡ τοῦ Πανὸς, ἡ τοῦ Ἀνταίου, ἡ τῶν Λύκων καὶ ἡ Ἑρμοῦ πόλις· τρεῖς δὲ τῆς Ἀρκαδίας, τὴν Ἡρακλέους, τὴν Ὀξύρυγχον καὶ τὴν Μέμφιν.

3. Ὅτι Αἰγύπτου πρὸς ζέφυρον, οὐ πάνυ πόῤῥω τοῦ Κανωβικοῦ Νειλῴου στόματος, τὸ Μακηδόνιον πτολίεθρον, ὅ ἐστιν, ἡ τοῦ Μακεδόνος Ἀλεξάνδρου ὁμώνυμος πόλις, ἐν ᾗ καὶ ἐτάφη, Πτολεμαίου κομίσαντος, τεθεὶς ἐν πυέλῳ χρυσῇ. ἣν συλήσας ὕστερον Κόκκης ὁ ἐπικληθεὶς Παρείσακτος Πτολεμαῖος ἐν ὑαλίνῃ πυέλῳ τὸν νεκρὸν ἔθετο. ἀριθμοῦνται δὲ ἐν ταῖς ἱστορίαις Ἀλεξάνδρειαι ὑπὲρ τὰς ιη'. τούτων μία καὶ αὕτη, πόλις Λιβύσσα,

ἤτοι

Et qui Thebas percelebres inhabitant,
Thebas priſcas, centum portas habentes; ubi reſonans
Memnon exorientem ſuam ſalutat Auroram:
Et qui ſeptem urbes habentem mediam continentem tenent,
Et qui uda ad littora maris
Maritimam incolunt, uſque ad Serbonium ſalum [*lacum.*]
Porro hujus à zephyro Macedonicum oppidum eſt,

ἤτοι Αἰγυπτία. ταύτην καὶ ἄλλοις μὲν ὀνόμασι διαφόροις κληθῆναί ποτέ φασιν· ὀνομασθῆναι δὲ καὶ Λεοντόπολιν, διὰ τὸ τῆς Ὀλυμπιάδος καὶ τοῦτον Ἀλέξανδρον, ἧς ἡ γαστὴρ ἐσφραγίσθαι λέοντος εἰκόνι λέγεται. λέγεται δὲ καὶ ὅτι τὴν ἀρχὴν ἡ πόλις ἐμελλήσατο κτισθῆναι, καὶ διεγράφετο· γῆν μὲν μὴ εἶναι πρόχειρον λευκὴν, ἧς χρεία ἦν τῇ διαγραφῇ, κατὰ τὸ σύνηθες· ἀλφίτοις δὲ διαγραφῆναι αὐτὴν, καὶ ὄρνιθας καταπτάντας ἀφαρπάζειν τὰ ἄλφιτα. ὃ σύμβολον δόξαι τηνικαῦτα αἴσιον τοῖς περὶ τὸν Ἀλέξανδρον, ὅτι δηλαδὴ πολλῶν ἡ πόλις τροφὸς γενήσεται. λέγεται δὲ καὶ πόλις ποτὲ κληθῆναι κατ' ἐξοχὴν, ὡς νῦν ἡ Κωνσταντίνου πόλις· καὶ ὡς αἱ Ἀθῆναί ποτε, ἄστυ. Ἰστέον δὲ ὅτι τοῦ Μακέδων ἐκτείνας οὗτος τὴν παραλήγουσαν, Μακηδὼν εἶπεν, ἐν τῷ, Μακηδόνιον πτολίεθρον. οὐκ ἔξω ἀναλογίας λέγων· οὕτω γὰρ καὶ ἄλλα πολλὰ τῶν κυρίων εἰς ων ὀξυτόνων ὀνομάτων, τῷ η παραλήγεται, ὡς καὶ ὁ Σαρπηδών. ἦν δὲ καὶ ὁ Μακεδὼν, ἡγεμών ποτε τῆς ὁμωνύμου χώρας, ἥτις καὶ Ἠμαθία πρότερον ἐκαλεῖτο. Ὅρα δὲ ὅτι περιφράσει τὴν Ἀλεξάνδρειαν, οὐκ αὐτὸ τοῦτο εἰπὼν ὅπερ καλεῖται, ἀλλὰ Μακηδόνιον ὀνομάσας πτολίεθρον, ὡς ἂν εἰς μνήμην ἱστορίας ἀγάγῃ τὸν ἀκροατήν. οὕτω καὶ τὸ Πηλούσιον κατωτέρω, Πηλέως ὁμώνυμον πόλιν ἐρεῖ. ἐκεῖνο δὲ καὶ τρόπον ἔχει ποιητικὸν ἄλλον, τὴν ἐτυμολογίαν, συνήθη καὶ αὐτὴν οὖσαν τῷ Διονυσίῳ, οἷα ποιητῇ. λέγει δὲ καὶ ὅτι περὶ Ἀλεξάνδρειαν Σινωπίτου Διὸς μέλαθρον, χρυσῷ τιμήεντι κεκασμένον. ὃ καὶ ἐξαίρων τῷ λόγῳ, φησὶν, οὐκ ἂν ἐκείνου ναὸν ἐν ἀνθρώποις θειότερον ἄλλον ἴδοις, ὅ ἐστι θειότερον· οὐδὲ ἀφνειὰν πόλιν ἑτέραν. τῷ ὄντι γὰρ πλουσιωτάτη πόλις ἡ Ἀλεξάνδρεια ἱστόρηται. περὶ ἧς καὶ τοιάδε τινὰ λέγεται· Ἀλεξάνδρου πόλις πολυάνθρωπος, ἧς ὁ λιμὴν ναυσὶ δυσπρόσιτος. στενός τε γὰρ ἐπ' αὐτὸν εἴσπλους, καὶ πέτραις ὑφάλοις τὸν ἐπ' εὐθὺ διακόπτεται δρόμον· καὶ τὸ μὲν ἀριστερὸν αὐτοῦ πέφρακται χειροκμήτοις σκέλεσιν· ἐν δεξιᾷ δὲ νῆσος ἡ Φάρος πρόκειται, πυρσεύουσα τοῖς πλέουσι, πρὸς τὴν δυσχέρειαν τοῦ κατάπλου. περὶ δὲ τὴν νῆσον μέγιστα καταβέβληνται χειροποίητα τείχη, οἷς καὶ προσαρασσόμενα τὰ κύματα, καὶ ἀμφαγνύμενα, ἐκτραχύνουσι τὸν πόρον, καὶ σφαλερὰν διὰ στενοῦ τὴν εἴσοδον ἀπεργάζονται. ὁ μέντοι λιμὴν ἐντὸς ἀσφαλὴς, καὶ τριάκοντα σταδίους ἔνδον ἔχει τὸ μέγεθος. ὁ δὲ Γεωγράφος περὶ Φάρου φησὶν οὕτως, "ἡ Φάρος, νησίον περίμηκες πρὸς ἔσχατα τῇ ἠπείρῳ. ἀπὸ δὲ τοῦ Κανωβικοῦ εἰς αὐτὴν στάδια ρν". Σινωπίτης δὲ Ζεὺς, οὐχ ὁ Μεμφίτης, Σινώπιον γὰρ ὄρος Μέμφιδος· ἢ ἀπὸ Σινώπης τῆς Ποντικῆς. φέρεται καὶ τοιοῦτος λόγος, ὅτι βασιλεῖ τῆς Ἀλεξανδρείας Πτολεμαίῳ τῷ Λάγου δαίμων τις ἐπιφανεὶς ἐκέλευσε, πέμψαντα ναῦν, κομίσαι αὐτόν· μὴ προσδηλώσας καὶ τόπον ὅθεν αὐτὸν ἀνακομίσεται. ὁ δὲ πέμπει φέρεσθαι πανάλλως τὴν ναῦν ὅπῃ τύχῃ· καὶ ὡς προσέ-

Ἔνθα Σινωπῖται Διὸς μεγάλοιο μέλαθρον,
Χρυσῷ τιμήεντι κεκασμένον. οὐκ ἂν ἐκείνου
Νηὸν ἐν ἀνθρώποισι θεώτερον ἄλλον ἴδοιο,
Οὐδὲ μὲν ἀφνειὴν ἑτέρην πόλιν· ἧχί περ ἄκραι
Φαίνονται [1] σκοπιαὶ Παλληνίδος Εἰδοθεέης.
Τὴν δὲ μέτ' [2] ἀντολίηνδε παραὶ Κασιώπιδα πέτρην
Πηλήσιον πτολίεθρον ἐπώνυμον ἄνδρες ἔχουσι
Ἔξοχα ναυτιλίης δεδαημένοι. [3] οὐ μὲν ἐκεῖνοι
Ἀνέρες ἐν Λιβύεσσιν ἀρίθμιοι· ἦ γὰρ ἐς αὐγὰς
Ἑπταπόρου Νείλοιο νενασμένον ἔλλαχον ἄστυ.
Ἄλλοι δὲ [4] πλεῖστοι τήνδε χθόνα ναιετάουσιν·
Οἱ μὲν ἐπ' ὠκεανῷ, οἱ δ' ἠπείρους ἀνὰ μέσσας·
Οἱ δ' ἀμφ' [5] εὐρείης Τριτωνίδος ὕδατι λίμνης,
Ἥ τε μέσην Λιβύης ἀμφέλκεται εὐρέα πόντον.
Τοίη μὲν Λιβύης μορφὴ καὶ σχῆμα τέτυκται.

προσώκειλεν ἡ ναῦς τῇ Φωκίδι, λαβόντες χρησμὸν οἱ ἐμπλέοντες ἀπελθεῖν εἰς Σινώπην, καὶ ἐνέγκαι τὸ προσταχθὲν, ἤνεγκαν ἐκεῖθεν τὸ τοῦ Σαράπιδος Διὸς ἄγαλμα. κἀντεῦθεν Σινωπίτης Ζεὺς, ἤτοι Σάραπις, οὗ φασι τὸ ἄγαλμα τοῖς ὁρῶσιν ἄδηλον εἶναι οἵας φύσεώς ἐστιν. οἱ δὲ ἀπὸ Σίνωπος ποταμοῦ τὸν Σινωπίτην τοῦτον Δία παράγουσι.

1. Ὅτι σκοπιὰς τῆς Εἰδοθέας λέγει τὴν κατ' Ἀλεξάνδρειαν Φάρον, περὶ ἧς εἴρηται, ἢ τὸν Ἀντίφαρον ὑψηλὸν ὄντα καὶ αὐτὸν, ὃς λέγεται τάφος Ὀσίριδος, καὶ Εἰδοθέας τῆς τοῦ Πρωτέως, ὅστις Πρωτεὺς τῶν ξενοκτόνων παίδων ἐν τῇ Θρακικῇ Παλλήνῃ ἀπαλλαγεὶς, ὡς ἱστορεῖ Λυκόφρων, ἀποκατέστη εἰς Φάρον μετὰ τῆς θυγατρὸς Εἰδοθέας, καὶ δαίμων ἐνομίσθη θαλάσσιος. περὶ οὗ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν γέγραπται.

2. Ὅτι πρὸς ἀνατολὰς Αἰγύπτου περὶ τὴν Κασιώπιδα πέτραν, ἤτοι περὶ τὸ Κάσιον ὄρος, ἡ πόλις τὸ Πηλούσιον κεῖται, πρὸς τῷ ἐξ αὐτοῦ παρωνύμῳ Πηλουσιακῷ τοῦ Νείλου στόματι ἀνατολικῷ ὄντι. καὶ οὗτος μὲν τὸ Πηλούσιον πτολίεθρον ἐπώνυμον τοῦ Πηλέως φησὶν, ὡς στρατιωτῶν Φθιωτῶν ὑπὸ τοῦ Πηλέως τεταγμένων, οἰκησάντων αὐτοῦ. ἄλλοι δὲ ἀπὸ τοῦ πηλοῦ, καὶ τῶν ἐκεῖ ἑλῶν καὶ τελμάτων, καλοῦσιν αὐτό. ναυτικωτάτους δὲ τοὺς Πηλουσιώτας καλεῖ, ἐν τῷ λέγειν αὐτοὺς ἔξοχα ναυτιλίας δεδαημένους. τοιούτους δὲ καὶ Ὅμηρος οἶδε τοὺς Φοίνικας. Ἱστέον δὲ ὅτι τὸ Κάσιον Ἡρόδοτος ὁρίζειν φησὶ τὴν Αἴγυπτον καὶ τὴν Συρίαν· καὶ ὅτι τὰ νῦν ἰδιωτικῶς Κασιανὰ ὑφάσματα λεγόμενα, ἐκ τῶν περὶ τὸ ῥηθὲν Κάσιον ὄρος τὴν ἀρχὴν τῆς κλήσεως ἐοίκασι λαβεῖν, ὡς ὑπεμφαίνει ὁ γράψας τὰ ἐθνικὰ, ἐν λόγῳ τιθεὶς τὰ Κασιωτικὰ ἱμάτια.

3. Ὅτι οἱ Πηλουσιῶται οὐκ εἰσὶν ἀνδράσι Λιβύεσσιν ἐναρίθμιοι. καὶ τὸ ἄστυ ἔλαχον, φησὶν, ἐς αὐγὰς Νείλου νενασμένον, ἤτοι κατῳκισμένον. οἱ δὲ ἀσφαλέστερον λελασμένον γράφουσιν, ὅ ἐστιν ἐπιλελησμένον τοῦ Νείλου, ὡς ἔξω τοῦ Δέλτα καὶ

Ubi Sinopitæ Jovis magni templum,
Auro pretioſo ornatum. haud facile illo
Templum inter homines divinius aliud videre queas,
Neque ſane æque opulentam aliam urbem : ubi ſummæ
Cernuntur ſpeculæ Pallenidis Idotheiæ.
Hanc vero poſt, orientem verſus, ad Caſium montem
Pelei oppidum cognomine omnes tenent
Egregie navigationis periti. non tamen illi
Homines inter Afros numerandi : ſiquidem ad orientem
Septem oſtia habentis Nili ſitam ſortiti ſunt urbem.
Alii item plurimi hanc terram incolunt :
Alii quidem ad Oceanum ; alii vero continentes per medias ?
At alii circum latæ Tritonidis aquas paludis,
Quæ quidem mediam Libyæ circumvolvit latum ſinum.
Talis certe Libyæ forma & figura eſt.

πόῤῥω αὐτοῦ κείμενον. καὶ ἡ Σερβωνὶς τοίνυν λίμνη τούτῳ τῷ λόγῳ κεχώρισται τῆς Λιβύης, ὡς ἀνατολικωτέρα τοῦ Πηλουσιακοῦ στόματος, ὅπερ, ὡς λέλεκται, τῆς Ἀσίας ἐστί. Σημείωσαι δὲ ὅτι ἐστὶν ἐνταῦθα ζητῆσαι τοιοῦτόν τι· ἐὰν τὸ μὲν Κανωβικὸν στόμα τοῦ Νείλου, πέρας τῆς Λιβύης εἴη, ὡς προείρηται· τὸ δὲ ἐπώνυμον τῷ Πηλουσίῳ Πηλουσιακὸν στόμα τῆς Ἀσίας ἐστί, καὶ οὐ Λιβυκόν· τὴν ἐν μέσῳ τῶν ἄκρων δύο τούτων Αἰγυπτίαν γῆν, ὁποτέρᾳ προσνέμειν χρή· ἆρά γε τῇ Λιβύῃ, ἢ τῇ Ἀσίᾳ; πρὸς δὲ τὴν τοιαύτην ζήτησίν ἐστιν ἐπαγωνίσασθαι, ὅτι ὡς μηδετέρᾳ οὐδετέρα τῶν δύο ἠπείρων ἀκριβῶς, ἡ διὰ μέσου γῆ, προσνενέμηται. Ἡρόδοτος δὲ φανερῶς διαστέλλει τοὺς Λίβυας τοὺς Αἰγυπτίους, ἔν τε ἄλλοις τόποις, καὶ ἔνθα λέγει ὅτι Αἰγύπτιοι μετὰ Λίβυας ὑγιέστεροι πάντων ἀνθρώπων, διὰ τὸ τὰς ὥρας οὐ μεταλλάσσειν. ἡ δὲ λέγουσα ἱστορία ὅτι αἱ ἴβεις ἐν Πηλουσίῳ οὐ γίνονται, ἐν δὲ τῇ ἄλλῃ Αἰγύπτῳ εἰσίν, Αἰγυπτίαν εἶναι πόλιν ἐμφαίνει τὸ Πηλούσιον.

4. Ὅτι παχυμερῶς ὁ Διονύσιος περιηγεῖται ὁμολογεῖ, ἐν οἷς περὶ Λιβύης φησίν· ἄλλοι δὲ πλεῖστοι τήνδε χθόνα ναιετάουσιν, οἱ μὲν ἐπ' ὠκεανοῦ, οἱ δὲ ἀνὰ μέσσας ἠπείρους· καὶ τὰ ἑξῆς. τοῦτο δὲ ποιήσει καὶ ἐν τοῖς ἔπειτα πολλαχοῦ. τὰ δὲ τοιαῦτα νοήματα καὶ σαφήνειαν ἐργάζονται, διὰ τὴν συμπλήρωσιν τῶν ἐννοιῶν. εἴρηται γὰρ ἐξ ἀρχῆς ὅτι πάνυ στοχαζόμενος σαφηνείας ὁ Διονύσιος πολλαῖς χρῆται καὶ συμπληρώσεσι, καὶ τοῖς ἄλλοις δι' ὧν σαφὴς ὁ λόγος γίνεται.

5. Ὅτι ἡ Τριτωνὶς εὐρεῖα λίμνη, μέση Λιβύης ἔκκειται· περὶ ἣν καὶ τὸ νησίδιον ἱστοροῦσιν εἶναι. ἀπὸ ταύτης ὁ μῦθος τὴν Τριτογένειαν Ἀθηνᾶν παρωνομάσθαι βούλεται, ὡς γεννηθεῖσαν περὶ αὐτήν. διὸ καὶ οἱ περὶ τὴν Τριτωνίδα λίμνην τῇ Ἀθηνᾷ μάλιστα θύουσιν, ὥς φησιν Ἡρόδοτος, ὃς καὶ ποταμὸν μέγαν Τρίτωνα καλούμενόν φησιν ἐκδιδόναι εἰς τὴν λίμνην ταύτην μεγάλην οὖσαν. λέγει δὲ καὶ ὅτι ταύτης τῆς Τριτωνίδος λίμνης

Εἰ δὲ καὶ [1] Εὐρώπης ἐθέλεις τύπον, οὔ τι σε κεύσω.
Ὡυτὸς μὲν [2] Λιβύης ῥυσμὸς πέλει, ἀλλὰ μετ' ἄρκτους
Ἔστραπται, καὶ τοῖος ἐπ' ἀντολίην πάλιν ἕρπει,
Οἷος καὶ νοτίης Λιβύης ἐπὶ τέρμα βέβηκεν.
Ἀμφω δ' ἶσον [3] ἔχουσιν ἐπ' Ἀσίδα νείατον ἴχνος·
Ἡ μὲν πρὸς βορέην, ἡ δ' ἐς νότον· εἰ δέ κε θείης
Ταύτας ἀμφοτέρας γαῖαν μίαν, ἢ κεν ἐπιπρὸ
Σχῆμα πέλοι κώνου πλευρῆς ἶσον ἀμφοτέρῃσιν·
Ὀξὺ μὲν ἑσπέριον, πλατὺ δ' ἀντολίην ὑπὸ μέσσην.
Τοὔνεκά μοι τοιοῦτον ἰδὼν πόρον ἀμφοτέρων
Ἠπείρων, ῥέα τέρμα κιχήσεαι Εὐρωπείης.
Τῆς ἤτοι [†] πυμάτην μὲν ὑπὸ γλωχῖνα νέμονται,

λίμνης καὶ τοῦ Ποσειδῶνος θυγατέρα φασὶν οἱ ἐκεῖ τὴν Ἀθηνᾶν· καὶ ὅτι μεμφθεῖσα ἡ Ἀθηνᾶ τῷ πατρὶ Ποσειδῶνι, ἐποιήθη εἰς θυγατέρα, τουτέστι θετὴ θυγάτηρ ἐγένετο τοῦ Διί.

1. Ὅτι Εὐρώπη ἡ χώρα ἐξ Εὐρώπης λέγεται, καθὰ καὶ ὁ Λυκόφρων φησίν· ἀφ' ἧς ὁ Σαρπηδὼν, ὡς ἱστορεῖ Εὐριπίδης ἐν Ῥήσῳ. Ἀγήνορος δὲ αὕτη θυγάτηρ, ἣν ὁ τῆς Κρήτης βασιλεὺς Ταῦρος ἐληίσατο, ναυμαχίᾳ τὴν Τύρον ἑλών. Σημείωσαι δὲ οὐκ ἄλλος ἐστὶν οὗτος παρὰ τὸν Λύκιον Σαρπηδόνα. Σαρπηδὼν μὲν γὰρ οὗτος ὁ τῆς ῥηθείσης Εὐρώπης, ἀδελφὸς ἐστὶ Μίνωος καὶ Αἰακοῦ, κατὰ τὸν Ἀρριανόν. ὁ δὲ ἐκ Λυκίας Σαρπηδὼν ὁ Ὁμηρικὸς οὐκ ἂν εἴη τούτῳ σύγχρονος. Ἱππίας δὲ καὶ ἀπὸ Ἀσίας καὶ Εὐρώπης τῶν ὠκεανίδων τὰς ἠπείρους καλεῖ. Τισὶ δὲ οὐκ ἀρέσκει ἐκ γυναικῶν ταῖς ἠπείροις τὰ ὀνόματα κεῖσθαι. Ἡρόδοτος δέ φησι τὰ τρία τῆς γῆς τμήματα ἐπωνυμίας ἔχειν γυναικῶν, λέγων ὅτι Λιβύη μὲν ἀπὸ Λιβύης λέγεται γυναικὸς αὐτόχθονος, ἡ δὲ Ἀσία ἀπὸ τῆς Προμηθέως μητρὸς ἐπονομάζεται. Λυκόφρων δὲ οὐχ οὕτως, ἀλλὰ ἀπὸ Ἀσίας τοῦ Ἄτυος καλεῖσθαί φησιν αὐτήν· ἀφ' οὗ καὶ ἐν Σάρδεσι φυλὴ Ἀσιὰς καλεῖται Ἀσία. ἡ δὲ Εὐρώπη δοκεῖ ἀπὸ τῆς Τυρίας Εὐρώπης λαχεῖν τὸ ὄνομα. ὅτι δὲ βούλονταί τινες τὴν Εὐρώπην καὶ ἀπό τινος Εὐρώπου ἀνδρὸς ὀνομάζεσθαι, προείρηται. διὸ καὶ βαρύνεται. βαρεῖαν γὰρ ἔχει τάσιν καὶ ὁ Εὔρωπος, τὸ κύριον, πρὸς διαστολὴν τοῦ εὐρωποῦ, ὅπερ δηλοῖ τὸν πλατὺν, ἢ σκοτεινόν. ἐξ οὗ καὶ σπήλαιον παρὰ τῷ Ὀππιανῷ εὐρωπόν. δεῖ δὲ εἰδέναι καὶ ὅτι τὴν Εὐρώπην οἱ παλαιοὶ διαφέρειν φασὶ τῆς Ἀσίας, οὐ μόνον ἀνδρῶν ἀρετῇ, καὶ πλούτῳ, καὶ καρποῖς, ἀλλὰ καὶ σπάνει θηρίων. πολυχημονεστάτη δὲ ἠπείρων ἡ Εὐρώπη, ἀπλουστάτη δὲ τοὐναντίον ἡ Λιβύη. ἡ δὲ Ἀσία μέση ἀμφοῖν ἔχει διάθεσιν. κἀκεῖνο δὲ γνωστέον, ὅτι Εὐρώπη μὲν παίζει τὰ κατὰ δύσιν, ἀρξαμένοις ἀπὸ Ἑλλησπόντου· οἱ δὲ παλαιοί φασιν ὅτι Οὐεσπασιανὸς ἐχώρισε τὴν Θρᾴκην ἀπ' αὐτῆς.

2. Οὐ τὸν αὐτὸν εἶναι ῥυσμόν φησι τῇ Εὐρώπῃ, οἷός ἐστι καὶ ὁ τῆς Λιβύης. ῥυσμὸν δὲ τὴν ἔκτασιν λέγει, τὴν θέσιν, τὴν διάστασιν· ἢ, ὡς αὐτὸς εἶπε, τὸν τύπον. ταυτὸν γὰρ εἰπεῖν, Εὐρώπης τύπος, καὶ Λιβύης ῥυσμόν. καὶ σεσημείωται δὲ τὴν τοιαύτην λέξιν εὑρεῖν ἔν τισι ἄλλοις, καὶ ἐν τῷ, σχῆμα δὲ Ἀσίας, ῥυσμὸς πέλει ἀμφοτέρων. ἔστι δὲ καὶ ἁπλοῦ

ῥυσμὸς



EUROPÆ Tabula antiqua DIONYSIO et EUSTATHIO accommodata
Spectatissimo Juveni Gulielmo Handasyd è Coll. Univ. Oxon.
Urbes incognitæ positionis
Odyssea Rhegena
Insula incognitæ positionis
Cronia I.
Thule I.
INSULÆ BRITANNICÆ
HIBERNIA
ALBION I. seu BRITANNIA
Hippopodes
Hyperborei
Grypes
Arimaspi
Sarmatæ
Geloni
Budini
Nomades
Agathyrsi
Mare Cronium seu Mortuum seu Glaciale
Nomades
Neuri
Agavi
Cimbri
Germani
Hercynia Silva
Alani
Scythia
BELGÆ
Alamanni
Borysthenitæ seu Pontici
Britanni
Rhæti
Taurisci
Noricum
CEL TAE
Melanchlæni
Scythæ
Tauri
Celtogalatæ
Ligures
Daci
Getæ
Bulgari
Mysi
Illyricum
Dalmatia
Macedonia
Thracia
Pontus Euxinus
Mare Gallicum
Roma
Mare Sardinia I.
Mare Sardonium
IBERIA Seu HISPANIA
GRÆCIA
Dardani
Mysia
ASIÆ Pars
Phrygia
Galatia
Ionium Mare
Sicilia I.
Mare Siculum
Mare Ibericum
MARE HESPERIUM
MEDITERRANEUM
Carthago
Creta I.
Mare Creticum
Mare Cyprium
Cyprus I.
Phœnicia
Mare Ægyptium
LIBYÆ Pars
Harris Sculp.

Quod ſi etiam Europæ deſideres formam, non te celabo.
Idem ſane Libyæ ſitus eſt, verum ad ſeptentriones
Verſa eſt: & talis ad orientem rurſus ſerpit,
Qualis etiam auſtralis Libyæ ad limitem tendit.
Ambæ autem æquale habent ad Aſiam ultimum veſtigium:
Hæc quidem ad boream, illa vero ad auſtrum: quod ſi feceris
Ex his ambabus terram unam, certe in univerſum
Figura fuerit coni, lateribus æqualis ambobus;
Acuta quidem occidua, lata vero ortum ſub medium.
Idcirco mihi talem conſpicatus tractum ambarum
Continentium, facile fines invenies Europæ.
Cujus videlicet extremo ſub angulo habitant,

ῥυσμὸς τὸ σχῆμα, ὁ τύπος, ἡ θέσις. γίνεται δὲ ὁ ῥυσμὸς ἐκ τοῦ ῥύω, τὸ ἑλκύω· ἐξ οὗ καὶ τόξου ῥυτὴρ, ὁ τοξότης. καὶ ῥυτὴρ δὲ, ὁ χαλινός. διὸ καὶ ὁ Διονύσιος ἐν τοῖς ἑξῆς εἰπὼν ῥυσμὸν, εἶτα, οἷον ἐτυμολογῶν τὴν λέξιν, ἐρεῖ, ἑλκόμενον κατὰ βαιόν· ὡς ταυτὸν ὂν εἰπεῖν, ῥυσμὸν καὶ ἑλκυσμόν.

3. Ὅτι Εὐρώπη καὶ Λιβύη τὸ νέατον ἴχνος, ἤγουν τὴν βάσιν καὶ τὸ ἶσον πλατὺ τέρμα ἑαυτῶν, ἴσως ἐπὶ τὴν Ἀσίαν ἔχουσιν. ὑπόκειται γὰρ ἡ Ἀσία, ὥσπερ βάσις, αὐταῖς. κἂν θείης, φησὶν, ἀμφοτέρας ταύτας, γαῖαν μίαν, μὴ μεσολαβουμένην ὑπὸ τῆς ἑσπερίας θαλάσσης, κώνου ἂν γένοιτο σχῆμα, πλευραῖς ἴσον ἀμφοτέραις· οὗ ὀξὺ μὲν τὸ ἑσπέριον, πλατὺ δὲ τὸ ἀνατέλλον, τὸ πρὸς τῇ Ἀσίᾳ. καὶ ὅρα ὅτι καὶ ἐπὶ κώνου πλευραὶ λέγονται. Ἱστέον δὲ ὅτι ὥσπερ ἡ Λιβύη καὶ ἡ Εὐρώπη ὁμοῦ συντεθεῖσαι κώνῳ εἰκάζονται τῷ γεωμετρικῷ, οὕτω καὶ ἄλλα μέρη τῆς γῆς γεωμετρικοῖς εἰκάζονται σχήμασι παρὰ τῷ Διονυσίῳ· ὥσπερ ἡ Λιβύη μὲν τραπεζίῳ, τριγώνῳ δὲ ἡ Αἴγυπτος καὶ ἡ Σικελία, καὶ ῥόμβῳ δὲ μέρος τι τῆς Ἀσίας, ὡς μετὰ ταῦτα ῥηθήσεται.

4. Ὅτι ὑπὸ τὴν ἐσχάτην γλωχῖνα, ὅ ἐστι γωνίαν, τῆς Εὐρώπης, ἀγχοῦ τῶν στηλῶν τῶν περὶ τὰ Γάδειρα, οἱ Ἴβηρές εἰσι παρατεταμένοι, ἄχρι καὶ τοῦ βορείου ψυχροῦ ὠκεανοῦ. τούτους μεγαθύμους φησὶ δι' ἣν εἶχον ἀνδρείαν. ἄποικοι δὲ τούτων οἱ ἑῷοι Ἴβηρες, ὡς καὶ τῶν Εὐρωπαίων Γαλατῶν οἱ Ἀσιανοὶ, οἱ περὶ τὴν Ἄγκυραν. καλοῦνται δὲ Ἴβηρες ἀπὸ τοῦ Ἴβηρος ποταμοῦ, οὗ ἴδιον λέγεται τὸ πλημμυρεῖν καὶ δίχα χιόνων, ὅτε τὰ βόρεια πνεύματα πλεονάζει. αἰτία δὲ τοῦ τοιούτου πάθους, φασὶν, ἡ λίμνη, δι' ἧς ὁ τοιοῦτος ποταμὸς ῥεῖ. συνεκβάλλουσι γὰρ τὸ λιμναῖον οἱ ἄνεμοι, καὶ οὕτω ποιοῦσι πλεονασμὸν τοῦ ὕδατος. κατὰ δέ τινας, ἀπό τινος βασιλέως ὁμωνύμου οἱ Ἴβηρες ἔλαχον τὸ οὕτω καλεῖσθαι. Κελτὸς γὰρ καὶ ὁ Ἴβηρ, παῖδες Ἡρακλέους ἀπὸ βαρβάρου γυναικός· ἐξ ὧν τὰ ἔθνη οἱ Κελτοὶ καὶ οἱ Ἴβηρες. Ἱστέον δὲ ὅτι ἡ Ἰβηρία, οὐ πᾶσα μέντοι, ἀλλὰ μόνη ἡ ἐντὸς τοῦ ῥηθέντος Ἴβηρος ποταμοῦ, καὶ Ἱσπανία συνωνύμως ἢ πολυωνύμως ἐλέγετο. Ῥωμαῖοι δὲ καὶ τὴν πᾶσαν οὕτως ἐκάλεσαν ὕστερον· ὡς εἶναι διώνυμον, Ἰβηρίαν τε καὶ Ἱσπανίαν. λέγονται δὲ πλείους ἢ χίλιαι πόλεις Ἰβήρων εἶναι. οἱ δὲ τοῦτο λέγοντες, καὶ τὰς μεγάλας κώμας πόλεις ὀνόμαζον. φασὶ δὲ ἐν Ἰβη-

Αγχοῦ στηλάων, μεγαθύμων ἔθνος Ιβήρων,
Μῆκος ἐπ' ἠπείροιο τεταμμένον, ἧχι Βορείου
Ωκεανοῦ κέχυται ψυχρὸς ῥόος· ἔνθα [1] Βρεττανοί,
Λευκά τε φῦλα νέμονται ἀρειμανέων [2] Γερμανῶν,
Ερκυνίου δρυμοῖο παραθρώσκοντες ὀρόγκους.
Ηπειρον κείνην ἰκέλην ἐνέπουσι βοείῃ.
Τοῖς δ' ἐπὶ [3] Πυρρηναῖον ὄρος καὶ δώματα Κελτῶν
Αγχόθι πηγάων καλλιρρόου Ηριδανοῖο·
Οὗ ποτ' ἐπὶ προχοῇσιν ἐρημαίην ἀνὰ νύκτα
Ηλιάδες κώκυσαν, ὀδυρόμεναι Φαέθοντα.
Κεῖθι δὲ Κελτῶν παῖδες ὑφήμενοι αἰγείροισι
Δάκρυ ἀμέργονται χρυσαυγέος ἠλέκτροιο.
Τόνδε μεθ' ἑξείης [4] Τυρσηνίδος ἤθεα γαίης.

ρία καὶ πόλιν εἶναι Οδύσσειαν, καὶ ἄλλα πολλὰ ἴχνη τῆς Οδυσσέως πλάνης. ὑδροποτεῖν δὲ λέγονται οἱ Ιβηρες, καὶ μονοσιτεῖν, καὶ πολυτελεῖ ἐσθῆτι χρῆσθαι.

1. Οτι Βρεττανοὶ διὰ δύο τ ὡς ἐπιπολύ· ἐνταῦθα δὲ, ἐν τῷ, ἔνθα Βρεττανοὶ, τοῦ μέτρου ἐπιτάξαντος, ἀπεχώρισε τὸ ἓν τ. οὕτω καὶ Σαρματῶν τινῶν λεγομένων μετὰ τοῦ ρ, ὅμως ἐν τοῖς ἑξῆς, ἐν τῷ, Γερμανοί, Σαμάται τε, ἡ τοῦ μέτρου βία ἐξώθησε τὸ ρ. Σαρμάται γὰρ εἰπεῖν ἔδει, καὶ οὐ Σαμάται. τῶν δὲ Βρεττανῶν τούτων παρώνυμοι αἱ ἀντιπέραν Βρεττανίδες νῆσοι, περὶ ὧν ῥηθήσεται.

2. Οτι τοὺς Γερμανοὺς, οἷς οἱ Αλαμανοὶ πρόσχωροι, λευκὰ λέγει φῦλα. τοιοῦτοι γὰρ τὴν χρόαν εἰσὶν, ἀπεναντίας τοῖς νοτιωτάτοις Αἰθίοψιν. ἐκεῖνοι γὰρ μελάντατοι. καλεῖ δὲ αὐτοὺς καὶ ἀρειμανίους, ἢ ἐρισθενέας. λέγει δὲ καὶ ὅτι παραθρώσκουσι τοὺς τοῦ Ερκυνίου δρυμοῦ ὀρόγκους, ἤγουν παράκεινται τοῖς Ερκυνίοις δρυμοῖς, πρὸς τῷ αὐτῷ Κρονίῳ ὠκεανῷ. ἱστορεῖ δὲ καὶ τὴν ἐκεῖ που Ιβηρικὴν ἤπειρον ὁμοίαν εἶναι βύρσῃ, οὐ τῷ χρώματι, οὐδὲ τῇ λειότητι, ἀλλὰ τῷ σχήματι. βύρσῃ γὰρ τεταμένῃ ἔοικεν ἡ Ιβηρία· ἧς, φασὶ, τὰ οἷον τραχηλιμαῖα μέρη εἰς τὴν συνεχῆ Κελτικὴν πρὸς τὴν ἕω ὑπερεκπίπτουσι. γνήσιοι δὲ κατὰ τὴν Ρωμαίων γλῶσσαν οἱ Γερμανοὶ ἑρμηνεύονται· ὡς ἂν γνήσιοι Γαλάταις, οἷς ἐοίκασιν ἐν μορφαῖς, καὶ βίοις, καὶ ἤθεσι, πλεονάζοντες μόνον ἀγριότητι, μεγέθει τε καὶ ξανθότητι· πέραν τοῦ Ρήνου κείμενοι πρὸς ἕω, μετὰ τοὺς Κελτούς. τινὲς δὲ τὸ Γερμανοὶ, εἰς τὸ ἀδελφοὶ μεταλαμβάνουσιν, ὅπερ τρόπον τινὰ ταυτόν ἐστι τῷ γνήσιοι. Πλούταρχος δὲ λέγει ὅτι οἱ Γερμανοὶ εὐμεγέθεις τοῖς σώμασι, καὶ χαροποὶ τοῖς ὄμμασιν. ὁ δὲ ῥηθεὶς Ερκύνιος δρυμὸς μέγας τέ ἐστι καὶ πολύδενδρος. τὸ δὲ ὄρογκος, ἰδιάζουσα λέξις ἐστὶν, ὁποῖαι πολλαὶ τοῖς ποιηταῖς ἐπιτηδεύονται, διὰ τὸ καινότροπον. δηλοῖ δὲ τὴν τοῦ ὄρους ἐξόγκωσιν καὶ ἀνάτασιν.

3. Οτι περὶ τὴν Πυρήνην, ἤτοι τὸ Πυρηναῖον ὄρος, οἱ Κελτοὶ κατοικοῦσιν, ἀγχοῦ πηγῆς καλλιρρόου Ηριδανοῦ. ὃν τινές εἶναί φασι τὸν νῦν λεγόμενον Πάδον. ὁ δὲ Γεωγράφος περὶ αὐτοῦ οὕτω φησὶν,

« Ηριδα-

Prope columnas, magnanimorum gens Iberorum,
In longitudinem continentis verſa; ubi borealis
Oceani diffuſum eſt frigidum fluentum: ubi Britanni,
Albæque gentes habitant martiorum Germanorum,
Hercyniæ ſylvæ præterſalientes montes [*montium juga.*]
Continentem illam ſimilem eſſe ferunt corio bubulo.
Poſt hos autem Pyrenæus mons & domicilia Celtarum,
Prope fontes pulchriflui Eridani:
Cujus olim juxta fluenta tacitam per noctem
Heliades fleverunt, lugentes Phaëthontem.
Illic item Celtarum filii ſedentes ſub alnis
Laçrimam colligunt aureo colore fulgentis electri.
At poſt hunc deinceps Etruſcæ ſedes terræ.

" Ἠριδανὸν τῆς μηδαμοῦ γῆς ὄντα, πλησίον δὲ τοῦ Πάδου λεγόμενον". ὃν Πάδον καὶ μέγιστον ἐκεῖνός φησι τῶν Εὐρωπαίων ποταμῶν μετὰ τὸν Ἴστρον· καὶ εἰς τὴν Ἀδριατικὴν αὐτόν, λέγει, ἐκπίπτειν θάλασσαν. τοῦ Πάδου πέραν καὶ τὸ Μεδιολάνιον εἶναι λέγει, " πόλιν ἀξιόλογον, συνάπτουσάν πως ταῖς Ἄλπεσιν". Ἰστέον δὲ ὅτι καὶ Ἄρατος, ἐν οἷς λέγει λείψανον Ἠριδανοῦ, τὸ κατ' οὐρανὸν φερόμενον αὐτοῦ ἀστροθέτημα ἐμφαίνει ἐκλελεῖφθαι τὸν κάτω ποταμὸν Ἠριδανόν. ὁ μέντοι Διονύσιος, ὡς ἔτι ὄντος τοῦ Ἠριδανοῦ, ἐκτίθεται καὶ τὰ περὶ αὐτοῦ μυθευόμενα, δηλαδὴ τὰ κατὰ τὸν Φαέθοντα, ὃν ἐκπεσόντα τοῦ πατρῴου ἡλιακοῦ ἅρματος, καὶ τῷ Ἠριδανῷ ἐμπεσόντα, ἐκεῖ αἱ ἀδελφαὶ Ἡλιάδες νυκτὸς ἐκλαυσαν, καὶ τῶν ὀφθαλμῶν ἀπέσταξαν δάκρυον ἠλέκτρου. εἶτα αἴγειροι γενόμεναι ἀποστάζουσι, φησί, καὶ [illegible] τοιοῦτο δάκρυον. Κελτῶν δὲ παῖδες, ὑφήμενοι ταῖς αἰγείροις, ἀμέλγονται δάκρυα χρυσαυγέος ἠλέκτρου, ὅ ἐστι, δρέπονται τὸ τοιοῦτον ἤλεκτρον. οἱ δὲ ἀμέργονται γράφουσι διὰ τοῦ ρ. ἤλεκτρος δὲ νῦν, οὐχὶ τὸ ἐκ χρυσοῦ καὶ ἀργύρου κρᾶμα· λίθος δέ τις χρυσοειδής, ἐξ οὗ καὶ λαβαὶ μαχαίραις γίνονται, ἀχύρων ἐφελκυστικαί, ὡς ἡ μαγνῆτις σιδήρου. ὅτι δὲ οὐκ ἄδακρυς λίθος ἐστὶν ὁ τοιοῦτος ἤλεκτρος, ἀλλὰ δένδρου δάκρυον, παγὲν εἰς σῶμα λιθοειδές, δεικνύουσί τινες τῶν παλαιῶν. δῆλον δὲ ὅτι καὶ ὡς χρυσαυγὴς ὁ ῥηθεὶς ἤλεκτρος λέγεται τῶν Ἡλιάδων εἶναι δάκρυον· τὸ γὰρ μέταλλον τοῦ χρυσοῦ τῷ ἡλίῳ ἀνάκειται. Σημείωσαι δὲ ὅτι [illegible] ὁ Διονύσιος λίθον παραποτάμιον λέγει τὸν ἤλεκτρον. Πυρήνη δὲ ὄρος μέγιστον, διαχωρίζον τὴν Ἰβηρίαν καὶ τὴν Κελτικήν. τὸ δὲ Κελτοὶ ὁ Γεωγράφος Κέλτας φησίν, ὡς οἱ Χρῦσαι. διήκειν δὲ λέγονται ἄχρι καὶ τοῦ Ῥήνου οἱ Κελτοί. ἀπὸ δὲ αὐτῶν οἱ σύμπαντες Εὐρωπαῖοι Γαλάται, Κελτοὶ ὑπὸ Ἑλλήνων ἐκλήθησαν.

4. Ὅτι μετὰ τὸν Ἠριδανὸν οἱ Τυρρηνοί, περὶ ὧν κατωτέρω ῥηθήσεται· ὧν πρὸς ἀνατολὴν ἡ τῆς Ἄλπιος ἀρχή, δι' ἧς μέσης καταισύρεται ὁ Κελτικὸς Ῥῆνος, δίστομος εἰς τὸν βόρειον ἐκβάλλων ὠκεανόν, ὀξύς, καὶ δυσγεφύρωτος, καὶ σκολιός. οὗτός ἐστιν ὁ λεγόμενος διὰ νόθα τῶν γνη-

Τῆς δὲ πρὸς ἀντολίην ἀναφαίνεται Ἄλπιος ἀρχή,
Τῆς διὰ μεσσατίης καταείρεται ὕδατα Ῥήνου,
Ὑστάτιον ποτὶ χεῦμα Βορειάδος Ἀμφιτρίτης.
Ῥήνῳ [1] δ' ἑξείης ἐπιτέλλεται ἱερὸς Ἴστρος,
Ἴστρος ἐς ἀντολίην τετραμμένος, ἄγχι θαλάσσης
Εὐξείνου, τόθι πᾶσιν ἐρεύγεται ὕδατος ἄχνην,
Πενταπόροις προχοῇσιν ἑλισσόμενος περὶ Πεύκην.
Τοῦ μὲν [2] πρὸς βορέην τετανυσμένα φῦλα νέμονται
Πολλὰ μάλ' ἑξείης, Μαιώτιδος ἐς στόμα λίμνης,
Γερμανοί [3], Σαρμάται τε, [4] Γέται θ' ἅμα, Βαστέρναι τε·

σιν διορίζειν γεννήματα, οἷα τὰ μὲν ἀπανέχειν τὰ γνήσια, τὰ δὲ μὴ τοιαῦτα διδοὺς βυθῷ λήθης καὶ ὕδατος. ἡ δὲ Ἄλπις μέγιστον ὄρος, διὸ καὶ πληθυντικῶς λέγονται αἱ Ἄλπεις. φασὶ δὲ τὴν λέξιν ταύτην, κατὰ τὴν εἰς τὸ Ἑλληνικὸν μετάληψιν, ταυτὸν δύνασθαι τῇ κλεισούρᾳ. οὕτω δὲ ὑψηλὸν ἱστορεῖται τὸ ὄρος, "ὥστε οὐδ' ἂν πεμπταῖός τις ἀναβαίη αὐτό". ἄρχεται δὲ ἀπὸ τῶν αὐτῶν χωρίων, ἀφ' ὧν καὶ τὰ ῥηθησόμενα ἐν τοῖς ἑξῆς Ἀπέννια ὄρη, τὰ κατὰ τὴν Γένυαν, ἥτις ἐστὶ Λιγύων ἐμπόριον· ἐκαλεῖτο δὲ κατὰ γένος οὐδέτερον, τὰ Ἄλπια· καὶ Ἄλβια δὲ, μετὰ τοῦ β.

1. Ὅτι τῷ Ῥήνῳ ἑξῆς ὁ Ἴστρος ἐπιτέλλεται, ἤγουν ἀνατέλλει κάτωθέν ποθεν. ὃν καὶ ἱερόν φησιν, καὶ σεμνύνει διὰ συνήθους ἐπαναλήψεως· λέγων καὶ ὅτι εἰς τὸν Εὔξεινον πᾶσιν ἐρεύγεται ὕδατος ἄχνην, πενταπόροις προχοαῖς, ὅ ἐστι πέντε στόμασιν, ἑλισσόμενος περὶ Πεύκην. νῆσος δὲ ἡ Πεύκη τρίγωνος, μεταξὺ κειμένη τῶν τοῦ Ἴστρου στομάτων. ὁ μέντοι Πτολεμαῖος ἑπτάστομον καὶ τὸν Ἴστρον λέγει, καθὰ καὶ τὸν Νεῖλον. ὡσαύτως καὶ ὁ Γεωγράφος, ὃς λέγει καὶ ὅτι μέγιστός ἐστι τῶν Εὐρωπαίων ποταμῶν, διέχων τοῦ Ἀδριατικοῦ μυχοῦ χιλίους σταδίους· καὶ ὅτι ἀρχόμενος ἀπὸ Γερμανῶν ῥέει πρὸς νότον, εἶτα ἐπιστρέφει πρὸς ἀνατολὰς, ἕως εἰς τὸν Πόντον. ἔχει δὲ μέγιστον στόμα τὸ λεγόμενον ἱερὸν, ὅπερ ἔζευξέ ποτε Δαρεῖος, ὡς ὁ Ξέρξης τὰ τοῦ Ἑλλησπόντου στενά. περιέχει δὲ καὶ ἄλλα νησίδια ὁ Ἴστρος τοῖς στόμασι, δίχα τῆς Πεύκης. Ἡρόδοτος δὲ Κελτικὸν ποταμὸν οἶδε τὸν Ἴστρον, ἐν οἷς λέγει πληθύνεσθαι μὲν αὐτὸν ἀπὸ πολλῶν ποταμῶν, ἄρχεσθαι δὲ ἐκ Κελτῶν, ῥέειν δὲ διὰ πάσης Εὐρώπης. καὶ αὐτὸς δὲ πυνθανόμενος τοῦτο ἱστορεῖ, καὶ ἴσον ἀεὶ σχεδὸν αὐτὸν ἑαυτῷ ῥέειν φησί· προστιθεὶς καὶ αἰτίαν τὴν δοκοῦσαν αὐτῷ. ὁ δὲ Γεωγράφος φησὶ, καὶ ἄλλον Ἴστρον, ἐκ τούτου τὰς ἀρχὰς ἔχοντα, ἐμβάλλειν εἰς τὸν Ἀδριανὸν κόλπον, κατά τινας· δι' οὗ καὶ δοκεῖ τοῖς πολλοῖς ἡ Ἀργὼ ἐκ τοῦ Εὐξείνου πόντου διεκπλεῦσαι εἰς τὸ Ἀδριατικὸν πέλαγος, ὅτε τὸ χρυσοῦν κῶας οἱ Ἀργοναῦται κλέψαντες ἐκ Κολχίδος ἔφυγον. τοῦτο δὲ καὶ Ἀριστοτέλης οἶδεν, ἐν οἷς λέγει ὅτι "οἱ τριχίαι μόνοι ἀναπλέουσιν ἐκ τοῦ Πόντου εἰς τὸν Ἴστρον· εἶτα, ὅπου σχίζεται, καταπλέουσιν εἰς τὸν Ἀδρίαν". καὶ αὐτὸς γὰρ ἐν τούτοις ὑπεμφαίνει τὸν παρὰ τῷ Γεωγράφῳ ἕτερον Ἴστρον. φησὶ δὲ ὁ αὐτὸς Γεωγράφος καὶ ὅτι ὁ Ἴστρος ποτὲ Ματίας ἐλέγετο, ὅ ἐστι κατὰ Ἕλληνας Αἴσιος. ὅτι πολλάκις μὲν οἱ Σκύθαι δι' αὐτοῦ περαιούμενοι οὐδὲν ἔπαθον· συμφορᾶς δέ ποτε αὐτοῖς ἐπισκιασούσης, ἡρμηνεύθη Δανούβιος, ὥσπερ τῆς ἁμαρτίας ἐκείνης

αἰτίαν

Atque hujus ad orientem apparet Alpis principium,
Cujus per medium devolvuntur flumina Rheni,
Extremum ad fluentum borealis maris.
Poſt Rhenum autem exoritur immenſus Iſter,
Iſter in orientem converſus, prope mare
Euxinum, ubi omnem eructat undæ ſpumam,
Quinquefluis oſtiis labens circum Peucen.
Hujus quidem ad boream porrectæ gentes habitant
Multæ valde, ordine, Mæotidis uſque ad oſtium paludis,
Germani, Samatæque, Getæque ſimul, Baſtarnæque:

αἰτίαν ἔχων· τουτέστιν, αἰτώμενος διὰ τοῦ τοιούτου ὀνόματος ὑπ' ἐκείνων, κατὰ τὴν αὐτῶν γλῶσσαν, ὡς αἴτιος αὐτοῖς δυστυχίας γενόμενος. λέγει δὲ ἐκεῖνος καὶ ὅτι τοῦ Ἴστρου παράλληλά εἰσιν ὄρη ἀπὸ Ἀδρίου, μέχρι Εὐξείνου πόντου, πρῶτον τὰ Ἰλλυρικά, εἶτα τὰ Παιονικά, μεθ' ἃ τὰ Θρᾴκια. ὧν καὶ ὁ Αἷμός ἐστι, πρὸς τῷ πόντῳ τῷ Εὐξείνῳ δηλαδὴ κείμενος. μέση οὖν τούτων ἡ Παιονία, ὑψηλὴ πᾶσα, ἧς πρὸς Θρᾴκην καὶ ἡ Ῥοδόπη κεῖται, ὅπου ἡ νῦν ὀνομαζομένη Κλοκοτνίτζα. τινὲς δὲ οὕτω συντομώτατα περὶ τοῦ Ἴστρου φασίν· « Ἴστρος, ὁ τοὺς Παίονας παραμείβων, ἐκ τῶν Ἑρκυνίων ὀρῶν ναυσίπορος ἐκ πηγῆς αἴρεται· καὶ σχιζόμενος, τῇ μὲν εἰς τὸν Πόντον ῥέει, τῇ δὲ εἰς τὸν Ἀδρίαν.

2. Ὅτι πρὸς βορέαν τοῦ Ἴστρου ἔθνη κεῖται ταῦτα, Γερμανοί, Σαρμάται, (ἤτοι Σαρμάτιαι κατ' ἔλλειψιν τοῦ ρ ἀμεταβόλου, ὡς προγέγραπται) καὶ Γέται, καὶ Βαστάρναι, Δακῶν τε ἄσπετος αἶα, καὶ Ἀλανοί, καὶ Ταῦροι, οἱ ναίουσι περὶ τὸν Ἀχιλλέως δρόμον· καὶ Μελάγχλαινοι, καὶ Ἱππημολγοί, περὶ [illegible] τοῖς εἰς τὴν Ἰλιάδα γέγραπται· καὶ Νευροί, καὶ Ἱππόποδες, οἱ κατά τινας Ζάγαροι, καὶ Γελωνοί, καὶ Ἀγάθυρσοι. καὶ οὗτοι μὲν βόρειοι· πρὸς νότον δὲ τοῦ Ἴστρου, Γέρραι, καὶ Ὠρείκια ἐρυμνὰ ἄστεα, καὶ Παννόνιοι, οἱ κατά τινας Βούλγαροι, καὶ Μυσοί, Θρᾳκῶν βορειότεροι, καὶ Θρᾷκες αὐτοὶ ἀπείρονα γαῖαν ἔχοντες. τούτων δὲ τῶν ἐθνῶν, περὶ μὲν Γερμανῶν ἐρρέθη τὸ ἀρκοῦν· περὶ δὲ τῶν ἐφεξῆς εἰρήσεται, εἴ τι λόγου ἄξιον τῷ ἐπιτέμνοντι.

3. Ὅτι τὰ διὰ τοῦ ανος ἐθνικὰ ὀνόματα ἐκτείνει παρὰ τῷ Διονυσίῳ τὴν παραλήγουσαν, οἷον Βρεττανός, Γερμανός, Ἀλανός, Καρμανός, Λουκανός. τὸ Ἠριδανὸς οὐκ ἔθνους ὄνομα· ποταμὸς γάρ. διὸ συστέλλει τὴν παραλήγουσαν, ὡς καὶ τὸ ὠκεανός.

4. Ὅτι τοὺς Γέτας Διονύσιος μὲν πρὸς βορρᾶν τοῦ Ἴστρου οἶδεν, ὡς ἀνωτέρω εἴρηται· καθὰ καὶ τοὺς Σαρμάτας, οἳ ἔθνος εἰσὶ Σκυθικόν. Ἡρόδοτος δὲ μέρος οἴεται εἶναι τῶν Θρᾳκῶν τοὺς Γέτας· ὁ δὲ Γεωγράφος ἐφ' ἑκάτερα τοῦ ποταμοῦ αὐτοὺς οἰκεῖν ἱστορεῖ, ὡς καὶ τοὺς Μυσοὺς καὶ τοὺς Θρᾷκας. φιλεγιώδαιοι δέ, φησίν, εἰσὶ καὶ περὶ τὸ θεῖον σπουδάζοντες. παρ' οἷς ἦν καὶ ὁ Ζάμολξις Πυθαγόρᾳ φοιτήσας, καὶ τοῖς Αἰγυπτίοις πολλὰ περιεπών, καὶ θεὸς αὐτοῖς νομισθείς, καὶ κληθεὶς διὰ τοῦτο, καὶ κοινωνῶν τῷ βασιλεῖ τῶν πραγμάτων. ἐγένοντο δέ ποτε οἱ Γέται, φησί, καὶ τοῖς Ῥωμαίοις φοβεροί, καὶ διαβαίνοντες τὸν Ἴστρον, καὶ λεηλατοῦντες τούς τε Ἰλλυριοὺς καὶ τοὺς Θρᾷκας, καὶ τοὺς Μακεδόνας. νόμος δὲ Γετικός, ἐπισφάζεσθαι τὴν γυναῖκα

τῷ

Δακῶν[1] τ' ἄσπετος αἶα, καὶ ἀλκήεντες[2] Ἀλανοί,
Ταῦροί θ' οἳ ναίουσιν[3] Ἀχιλλῆος δρόμον αἰπύν·
Στεινὸν ὁμοῦ δολιχόν τε, καὶ αὐτῆς ἐς στόμα λίμνης.
Τῶν δ' ὕπερ ἐκτέταται πολυΐππων φῦλον Ἀλανῶν.
Ἔνθα[4] Μελάγχλαινοί τε καὶ ἀνέρες ἱππημολγοί,
Νευροί θ'[5], Ἱππόποδές τε, [6] Γελωνοί τ', ἠδ' Ἀγάθυρσοι·

τῷ ἀνδρὶ θανόντι, καὶ κιθαρίζειν ὅταν ἐπικηρυκεύωνται. Ἡρόδοτος δὲ καὶ τοξεύειν φησὶν αὐτοὺς ἄνω πρὸς τὴν βροντὴν καὶ τὴν ἀστραπήν, ἀπειλοῦντας τῷ θεῷ. ἔτι φησὶν ὁ Γεωγράφος διαβῆναί ποτε τὸν Ἀλέξανδρον εἰς τοὺς πέραν Ἴστρου Γέτας, διὰ ταχέων δὲ ἀναστρέψαι λαβόντα δῶρα. λέγεται δὲ καὶ ὡς τοσοῦτον αὐτοί τε καὶ οἱ Δάκαι ηὐξήθησάν ποτε, ὥστε καὶ εἴκοσι μυριάδας ἐκπέμπειν στρατοῦ· ὕστερον δὲ συσταλέντες ἐγγὺς ἦλθον τοῦ ὑπακούειν Ῥωμαίοις. ὁ δὲ Ἰουλιανὸς ἐν ἑνὶ τῶν αὐτοῦ λόγων γράφει, ὅτι τὸ τῶν Γετῶν ἔθνος, τὸ πώποτε μαχιμώτατον, διά τε τὴν ἀνδρείαν, καὶ διὰ τὸν Ζάμολξιν ὃν τιμῶσιν. οὐ γὰρ ἀποθνήσκειν ἀλλὰ μετοικίζεσθαι νομίζοντες, ἑτοιμότερον θνήσκουσιν, ἢ τὰς ἀποδημίας ὑπομένουσι. καὶ Ἡρόδοτος δὲ ἀπαθανατίζοντας αὐτοὺς καλεῖ, διὰ τὸν ῥηθέντα γόητα Ζάμολξιν, ὃν καὶ μαθητεῦσαι αὐτὸς τῷ Πυθαγόρᾳ φησίν. ἱστορεῖ δὲ καὶ ἀνδρειοτάτους Θρᾳκῶν τοὺς Γέτας, καὶ δικαιοτάτους. λέγει δὲ καὶ ὅτι εἷλεν αὐτοὺς ὁ Δαρεῖος, ὅτε, σχεδίᾳ διαβὰς ἐκ τῆς Ἀσίας, ἐπορεύετο διὰ τῆς Θρᾴκης.

1. Ὅτι τοὺς Δάκας, Δάους ἐκάλουν τινές. φησὶ δὲ καὶ ὁ Γεωγράφος, ὅτι οἱ Δάκαι, Δάοι ποτὲ ὠνομάζοντο. ὁ δὲ Ἡρόδοτος νομαδικὸν Περσικὸν γένος τοὺς Δάους λέγει, καθὰ καὶ τοὺς Μάρδους, καὶ ἄλλους τινάς. ὁ δὲ τὰ ἐθνικὰ γράψας, καὶ πλησίον τοῦ ποταμοῦ Βορυσθένους φησὶ τὴν Δακίαν διήκειν. περὶ οὗ Βορυσθένους κατωτέρω ῥηθήσεται. λέγει δὲ καὶ ὅτι παρὰ τοῖς Ἀττικοῖς ὡς ἐπὶ πολὺ τὰ τῶν Ἀττικῶν ὀνόματα δούλων, Δάοι καὶ Γέται. φέρεται δὲ ἱστορία, καὶ νοτιωτέρους τοῦ Ἴστρου τοὺς Δάκας εἶναι. φασὶ γὰρ ὅτι Αὐρηλιανὸς τοὺς περὶ τὴν Δακίαν ἀπῳκισμένους Ῥωμαίους ἐκεῖθεν ἐξαγαγών, διὰ τοὺς ἐν περαίᾳ τοῦ Ἴστρου κινδύνους, ἐν μέσῃ τῇ Μυσίᾳ καθίδρυσε, τὴν χώραν ὀνομάσας Δακίαν.

2. Ὅτι Ἀλανὸς ὄρος Σαρματίας, ἀφ' οὗ τὸ ἔθνος οἱ Ἀλανοὶ ἔοικεν ὀνομάζεσθαι· οὓς καὶ ἀλκήεντας ὁ Διονύσιος καὶ πολυΐππους καλεῖ.

3. Ὅτι ὁ Ἀχιλλέως δρόμος, ὃν οἱ Ταῦροι τὸ ἔθνος ναίουσιν, αὐλών τις ἐστὶ στενὸς ὁμοῦ καὶ δολιχός, καὶ κατὰ τὸν Γεωγράφον Χερρόνησος ἀλιτενής, οἱονεί τις ταινία, ἤτοι φασκία, μῆκος ὅσον χιλίων σταδίων ἐπὶ τὴν ἕω, ἀμμώδης, πλάτος δὲ δύο σταδίων τὸ μέγιστον. τοῦτον τὸν δρόμον ὁ Ἑλληνικὸς Ἀχιλλεὺς περιῆλθε, μεταδιώκων τὴν τοῦ Ἀγαμέμνονος Ἰφιγένειαν, ἐξ Αὐλίδος ἀναρπαγεῖσαν εἰς Σκυθίαν, ὁπηνίκα ἔλαφον ἡ Ἄρτεμις εἰς θυσίαν ἀντέδωκεν· ἔνθα καὶ μείνας πολὺν χρόνον ὁ Ἀχιλλεύς, καθὰ δοκεῖ καὶ τῷ Λυκόφρονι, ἀφῆκε τῷ τόπῳ τὴν ἐξ αὐτοῦ κλῆσιν. ὅτι δὲ προηγγυημένη ἦν τῷ Ἀχιλλεῖ ἡ Ἰφιγένεια, καθωμίληται. ἄλλοι δέ φασιν ἕτερον εἶναι τοῦτον τὸν Ἀχιλλέα παρὰ Σκύθαις, βασιλέα τῶν τόπων, ὃς ἠράσθη τ[ῆς Ἰφι]γενείας πεμφθείσης ἐκεῖ, καὶ ἔμεινεν ἐπιδιώκων· ἐξ οὗ ὁ τόπος, Ἀχίλλειον. οἱ δὲ τοῦτο λέγοντες παραφέρουσι μάρτυρα τὸ[ν] Ἀλκαῖον, λέγοντα, "Ἀχιλλεῦ ὃς τᾶ[ς] Σκυ[...]

Et Dacorum immenſa tellus; & ſtrenui Alani,
Taurique qui habitant Achillis curſum aditu difficilem,
Anguſtum ſimul longumq;,atq;ipſius uſque ad oſtium paludis.
Super hos autem porrecta eſt equis abundantium gens Alanorum,
Ubi Melanchlæniq; & homines qui equos mulgent,
Neurique,Hippopodeſque, Gelonique, atque Agathyrſi:

Σκυθικᾶς μεδέεις". ἀπὸ δὲ Ἀχιλλέως, καὶ ἡ Λευκὴ νῆσος ἡ μετὰ ταῦτα ῥηθησομένη, Ἀχίλλειος ἐλέγετο νῆσος, περὶ τὸν Εὔξεινον. ἔνθα φασὶν οἱ Σκύθαι τὴν Ἀχιλλέως ψυχὴν διαναβαίνουσαν τὰ ἑαυτῆς ἀθύρειν. οἱ δὲ Ταῦροι τὸ ἔθνος ἀπὸ τοῦ ζώου ταύρου, φασί, καλοῦνται, διὰ τὸ ἐκεῖ τὸν Ὄσιριν ζεύξαντα βοῦν ἀρόσαι γῆν. περὶ τούτοις νῆσος ἡ Ταυρική, ἡ καὶ Μαιωτική, μεγάλη καὶ ἐπίσημος· ἣ παράκειται καὶ ἡ Φαναγόρεια, καὶ ἡ Ἑρμώνασσα, ὡς ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. καὶ ἡ Ἄρτεμις δέ, Ταυροπόλος, ἀπὸ τούτων δοκεῖ τῶν Ταύρων λέγεσθαι, οἷς ἔχαιρεν ὡς ξενοκτονοῦσιν ἐπ' αὐτῇ. οἱ μέντοι παρὰ τῷ Γεωγράφῳ Νώρικοι Ταυρίσκοι, ἕτερόν εἰσιν ἔθνος παρὰ τούτους τοὺς Ταύρους.

4. Ὅτι Μελάγχλαινοι λέγονται, διὰ τὸ ἐν ἔθει μέλαν καὶ ζοφερὸν τῶν ἐνδυμάτων, ὡς καὶ Ἡροδότῳ δοκεῖ, ὃς καὶ ἀνθρωποφαγεῖν αὐτοὺς εἰπών, λέγει καὶ ὅτι Μελαγχλαίνων τὸ καθύπερθεν, λίμναι, καὶ γῆ ἔρημος ἀνθρώπων.

5. Ὅτι οἱ Νευροὶ ἐκλιπεῖν λέγονταί ποτε τὴν αὐτῶν χώραν ὑπὸ ὄφεων, καὶ ὅτι γόητες ἐλέγοντο εἶναι. ἔτους δὲ ἑκάστου, φησίν, ἅπαξ ἕκαστος τῶν Νευρῶν λύκος γίνεται ὀλίγας ἡμέρας, καὶ αὖθις εἰς ἄνθρωπον ἀποκαθίσταται. Σημείωσαι δὲ καὶ ὅτι νεβρὸς μὲν τὸ γέννημα τῆς ἐλάφου, διὰ τοῦ β γράφεται. Νευροὶ δὲ τὸ ἐθνικόν, οἱ καὶ Νευρεῖται, διὰ τῆς ευ διφθόγγου.

6. Ὅτι Ἡρακλέους υἱοὶ Γελωνὸς καὶ Ἀγάθυρσος, ἐξ ὧν ἔθνη βορειότερα τοῦ Ἴστρου, οἱ Γελωνοὶ καὶ οἱ Ἀγάθυρσοι. ὑπὸ μὲν οὖν ψυχροῖς Ἀγαθύρσοις, ὡς ὁ Διονύσιός φησιν, ἀδάμας ἐστὶ παμφανόων. οἱ Γελωνοὶ δέ, ὡς ἄλλοι φασί, γῆν τε ἐργάζονται, καὶ σιτοφαγοῦσι, καὶ κήπους ἔχουσιν. ὁ δὲ τὰ ἐθνικὰ γράψας οὕτω φησί· Γελωνοί, πόλις Σαρματίας, ἀπὸ Γελωνοῦ, ὃς Ἀγαθύρσου μὲν ἦν ἀδελφός, Ἡρακλέους δὲ υἱός. ἔστι δὲ περὶ αὐτὴν πόλις ξυλίνη μεγάλη κατὰ Ἡρόδοτον, κειμένη ἐν Βουδίνοις, ἔθνει μεγάλῳ. παρὰ τούτοις ζῷον λέγεται θαυμάσιον γίνεσθαι, τὸ μέγεθος ὅσον βοός, ἐοικὸς δὲ τοῦ προσώπου τύπον ἐλάφῳ, καλούμενον Τάρανδος, δυσθήρατον, διὰ τὴν μεταβολήν· μεταβάλλει γὰρ τὰς χρόας τῶν τριχῶν καθ' ὃν ἂν τόπον εἴη, καὶ ἀλλοιοῦται, καθὰ καὶ ὁ χαμαιλέων καὶ ὁ πολύπους. περὶ δὲ τῶν Ἀγαθύρσων ὁ αὐτὸς λέγει· ὅτι ἢ ἀπὸ Ἀγαθύρσου υἱοῦ Ἡρακλέους οὕτω λέγονται, ἢ ἀπὸ τῶν θύρσων τοῦ Διονύσου. κλάδοι δέ εἰσιν οἱ θύρσοι, οὓς ἐν ταῖς τοῦ Διονύσου τελεταῖς φέρουσιν. Ἡρόδοτος δὲ οὐ μόνον Γελωνὸν καὶ Ἀγάθυρσον υἱοὺς Ἡρακλέους λέγει, ἀλλὰ καὶ Σκύθην νεώτατον καὶ γενναιότατον· οὓς ἐγέννησεν Ἡρακλῆς ἐλθὼν εἰς τὴν τῶν Σκυθῶν γῆν, ὅτε τὰς Γηρυόνου βοῦς ἤλαυνε, μιγείς, φησίν, ἐχίδνῃ μιξοπαρθένῳ, γυναικὸς μὲν τὰ ἄνω ἀπὸ γλουτῶν ἐχούσῃ, τὰ δὲ κάτω ὄφεως. λέγει δὲ τοὺς Ἀγαθύρσους ὁ αὐτὸς ἀνδρῶν ἁβροτάτους, καὶ χρυσοφόρους, καὶ ἐπίκοινον τὴν μίξιν τῶν γυναικῶν ποιουμένους· τοὺς δὲ Γελωνοὺς Ἕλληνας τὸ ἀρχαῖον εἶναί φησι γῆς ἐργάτας.

Ηχι [1] Βορυσθένεος ποταμοῦ πεπτυσμένον ὕδωρ
Μίσγεται Εὐξείνῳ, Κριοῦ προπάροιθε μετώπου,
Ορθὸν ἐπὶ γραμμῆς, κατεναντία Κυανεάων.
Κεῖθι καὶ Αλδήσκοιο καὶ ὕδατα Παντικάπαο
Ριπαίοις ἐν ὄρεσσι διάνδιχα μορμύρουσι.
Τῶν δὲ παρὰ προχοῇσι, πεπηγότες ἐγγύθι πόντου,
Ηδυφαὴς ἤλεκτρος ἀέξεται, οἷά τις αὐγὴ
Μήνης ἀρχομένης· ἀδάμαντά τε παμφανόωντα.
Εγγύθεν ἀθρήσειας ὑπὸ ψυχροῖς Αγαθύρσοις.
Ιστρου μὲν τοσσοίδε βορειότεροι γεγάασι.
Πρὸς δὲ νότον Γέρραι, καὶ [2] Νωρίκι᾽ ἄστε᾽ ἐρυμνά·
Παννόνιοι, [3] Μυσοί τε βορειότεροι [4] Θρηΐκων,

1. Οτι Βορυσθένης, ὁ ἐν τοῖς ποταμοῖς ἀοίδιμος, Εὐξείνῳ τὸ ὕδωρ μίσγεται κατὰ τὸ ἐκεῖ μέτωπον τοῦ κριοῦ· περὶ οὗ εἴρηται, ὀρθὸν εἰσι ἐπὶ γραμμῆς, κατεναντία, ἤγουν καταντικρὺ, τῶν Κυανέων πετρῶν. ἐκεῖ δὲ ἐν τοῖς Ριπαίοις ὄρεσι Σκυθικοῖς καὶ ὁ Αλδήσκος, φησὶ, καὶ ὁ Παντικάπης οἱ ποταμοὶ μορμύρουσιν· ὧν παρὰ προχοαῖς ἡδυφαὴς ἤλεκτρος μήνης ἀρχομένης αὔξεται, οἷά τις αὐγή. καὶ ὅρα ὅπως συμπαθῶς ἔχει πρὸς τὴν σελήνην ὁ τοιοῦτος ἤλεκτρος. καὶ ὅτι τὸ ἤλεκτρον ἐνταῦθα λίθον τινὰ νοητέον, καὶ οὐ κατὰ τὸ λεγόμενον τῶν αἰγείρων δάκρυον, ὡς ἀνωτέρω εἴρηται. ὅτι δὲ ἐν τοῖς Ριπαίοις ὄρεσιν οὐδέποτε χιὼν ἐπιλείπει, προγέγραπται. ὑπὲρ δὲ ταῦτα τὰ ὄρη οἱ λεγόμενοι Υπερβόρειοι καθήκειν εἰς τὴν ἐκεῖ θάλασσαν λέγονται. ἀπὸ δὲ Παντικάπου τοῦ ποταμοῦ καὶ τὸ ἐκεῖ ὀνομάζεται Παντικάπαιον, πόλις μεγάλη, κτίσμα παιδὸς Αἰήτου, λόφος κύκλῳ περιοικούμενος, σταδίων εἴκοσι, μητρόπολις τῶν ἐκεῖ Βοσπορανῶν. Ηρόδοτος δὲ περὶ τούτων τῶν ποταμῶν φησιν, ὅτι ὁ μὲν Βορυσθένης, μέγιστος καὶ πολυαρκέστατος τῶν Σκυθικῶν ποταμῶν, καὶ πίνεσθαι ἥδιστος, ῥέων καθαρὸς παρὰ θολεροῖς. πηγνῦνται δὲ καὶ ἅλες παρὰ τῷ στόματι αὐτοῦ αὐτόματοι· καὶ κήτη ἀνάκανθα μεγάλα ταριχεύειν παρέχει, ἃ καλοῦσιν Αντακαίους. ὁ δὲ Παντικάπης ἀπὸ βορρᾶ μὲν, ἐν τῷ τέλει συμμίσγεται τῷ Βορυσθένει. τὸ δὲ μεταξὺ τούτων τῶν ποταμῶν νέμονται οἱ γεωργοὶ Σκύθαι. δέκα δὲ, φασὶν, ἡμερῶν ὁδὸς ἀπὸ Ιστρου ἐπὶ Βορυσθένην· ὁμοίως δὲ καὶ ἀπὸ Βορυσθένους ἐπὶ τὴν Μαιῶτιν.

2. Οτι τὰ ἀνωτέρω ῥηθέντα Νωρίκια ἄστεα ἐρυμνὰ τινὲς δίχα τοῦ κατ᾽ ἀρχὰς ν γράφουσι. τάχα δὲ ἀπὸ τούτων καὶ Ωρικὸς λιμήν. φησὶ γοῦν Εκαταῖος, „Μετὰ δὲ Βουθρωτὸς πόλις, μετὰ δὲ „Ωρικὸς λιμήν· καὶ Απολλώνιος, Ωρικον εἰσαφικέσθαι· καὶ Πολύβιος ἐν „ἑβδόμῃ, Οἱ δὲ τὸν Ωρικὸν κατοικοῦντες, οἳ καὶ πρῶτοι κεῖνται περὶ τὴν εἰσβολὴν τὴν πρὸς τὸν Αδρίαν, ἐκ δεξιῶν εἰσπλέοντι". τινὲς δὲ καὶ Νωρίκια γράφουσι μετὰ τοῦ ν. τὸ δὲ ἐρυμνὰ τινὲς ἐρεμνὰ γράφουσιν, ὅ ἐστι σύμφυτα, καὶ δασέα, καὶ κατάσκια· ὅθεν καὶ φαίνονται μέλανα, διὰ τὸ πολὺ τῆς σκιᾶς. διὸ παρ᾽ Ομήρῳ ἐν τῷ, μέλαν δρυὸς ἀμφικεάσας, μέλαν δρυὸς τινὲς τὴν τῆς φλοιὸν εἶπον δασύτητα, διὰ τὴν ἐξ αὐτῶν ἀποτελουμένην μελανίαν τῆς σκιᾶς.

Ubi Boryſthenis fluvii extenſa aqua
Miſcetur Euxino, Arietis ante frontem,
Recta ad lineam, è regione Cyanearum [*petrarum.*]
Illic quoque Aldeſci & Panticapæ aquæ
Riphæis in montibus ſeparatim murmurant.
Horum item juxta gurgites, glaciale prope mare,
Jucundo nitore lucens electrum naſcitur, velut quidam ſplendor
Lunæ ineuntis: adamantemque pellucentem
In propinquo videas ſub frigidis Agathyrſis.
Iſtri ſane tot [*populi*] magis boreales ſunt.
Ad auſtrum autem Gerræ, & Noriciæ urbes munitæ:
Pannonii, Myſique, magis boreales Thracibus,

καὶ ταῦτα μὲν περὶ τῶν Ὠρικίων ἀστέων. ὁ δὲ Γεωγράφος, ἔθνος τι συνάπτων τοῖς περὶ Ἀκυληΐαν χωρίοις, Νωρίκους γράφει μετὰ τοῦ ν, ἄλλα τε λέγων, καὶ ὅτι „ἐγγὺς τοῦ Ἀδριατικοῦ μυχοῦ, καὶ τῶν κατὰ Ἀκυληΐαν τόπων, οἰκοῦσι Νωρίκων τινές“· καὶ ὅτι „κατὰ Ἀκυληΐαν ἐν Ταυρίσκοις τοῖς Νωρικίοις χρυσεῖον εὐφυὲς ὥστε ἐπὶ δύο πόδας ἀποσύραντα τὴν ἐπιπολῆς γῆν, εὐθὺς ὀρυκτὸν χρυσίον εὑρίσκειν“. ἔχεις οὖν τάχα Νωρίκων τε καὶ Ὠρίκων διαφοράν· ὡς Ὠρίκων μὲν ὄντων, κατὰ Πολύβιον, τῶν περί που τὴν τοῦ Ἀδρίου εἰσπολὴν, ὅπου καὶ ὁ Ὤρικος λιμὴν καὶ ὁ Βουθρωτός· Νωρικίων δὲ τῶν πρὸς τῷ μυχῷ τοῦ αὐτοῦ κόλπου, κατά τε τὸν Γεωγράφον, καὶ κατὰ πολλὰ τῶν ἀντιγράφων τοῦ Διονυσίου. ἔοικε δὲ ὅτι καὶ ὁ Διονύσιος Ὠρίκους οἶδεν ὡς καὶ ὁ Πολύβιος. ἐν γοῦν τοῖς ἑξῆς ἐρεῖ περὶ τὴν Ὠρικίαν γῆν εἶναι τὴν τῆς Ἑλλάδος ἀρχὴν, ζωννυμένην τῇ τε Σικελικῇ θαλάσσῃ καὶ τῇ Αἰγαίῃ. καὶ οὕτω μὲν ταῦτα. τινὲς δὲ γράφουσι καὶ ὅτι Νώρικον οἱ Φρύγες τὸν ἀσκὸν καλοῦσι τῇ σφετέρᾳ διαλέκτῳ· καὶ ὅτι ὁπηνίκα Μαρσύας ἐκεῖνος ὁ μουσικὸς ἀπεδάρη τὸ σῶμα ὑπ' Ἀπόλλωνος, ὁ ἀσκὸς κρεμασθεὶς καὶ τῷ χρόνῳ κατενεχθεὶς ἔπεσεν εἰς τὴν Μίδου λεγομένην κρήνην· καὶ αὐτὴ μὲν μετεκλήθη Μαρσύας. ὁ δὲ ἀσκὸς, καταφερόμενος ὑπὸ τοῦ ποταμοῦ, ἁλιεῖ περιεσχέθη· καὶ Πεισίστρατος ὁ Λακεδαιμόνιος, κατὰ χρησμὸν ἀπὸ τοῦ συγκυρήματος πόλιν κτίσας, Νώρικον προσηγόρευσεν, ὡς ἂν εἴποι τις ἀσκόν. ἐὰν δὲ Φρυγίας οὖσα ἡ τοῦ Πεισιστράτου πόλις αὕτη οὐδὲν ἔχῃ κοινὸν πρὸς τοὺς ἀνωτέρω ῥηθέντας Νωρίκους, ἀλλ' οὖν ἡ ἱστορία πρὸς πολυπειρίαν οὐκ ἄχαρις.

3. Ὅτι οὐ μόνον Εὐρωπαῖοι Μυσοὶ, ἀλλὰ καὶ Ἀσιανοί. ὁ δὲ Ἀρριανὸς τῶν Εὐρωπαίων Μυσῶν ἀποίκους λέγει τοὺς ἐν τῇ Ἀσίᾳ Ὀλυμπηνοὺς Μυσούς· οἵτινες Μυσοὶ ὀνομάζονται ἢ ἀπὸ Μυσοῦ τοῦ Διὸς, ἢ ἀπὸ ἑτέρου Μυσοῦ υἱοῦ Ἀργανθώνης τῆς γυναικὸς τοῦ Ὀρεσινίου· ἢ ἀπὸ τοῦ φυτοῦ τῆς μυσῆς, ἢ τοῦ μυσοῦ· ἀμφοτέρως γὰρ λέγεται· ὅπερ τὴν ὀξύην δηλοῖ, κατὰ τὴν γλῶσσαν τῶν Λυδῶν, ὡς καὶ ὁ Γεωγράφος φησίν. Ἡρόδοτος δὲ τοὺς ἐν τῇ Ἀσίᾳ Μυσοὺς, Λυδῶν ἀποίκους λέγει, Ὀλυμπηνοὺς καλουμένους, ἀπὸ τοῦ ὄρους Ὀλύμπου τοῦ Ἀσιανοῦ.

4. Ὅτι Θρᾷκες οὐ μόνον Εὐρωπαῖοι, ἀλλὰ καὶ Ἀσιανοί, κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν.

Αὐτοί τε [1] Θρήϊκες, ἀπείρονα γαῖαν ἔχοντες.
Οἱ μὲν ἐπὶ πλευρῇσι Προποντίδος ἀμφιτερίτης,
Οἱ δ' ὑπὲρ Ἑλλήσποντον ἀγάρροον, οἱ δ' ὑπὲρ αὐτῆς
Αἰγαίης βαθὺ κῦμα πολυφλοίσβοιο θαλάσσης·
Ἔνθα μελισσοβότοιο κατὰ σκοπιὰς [2] Παλλήνης
Φύεται ἀστέριος καλὸς λίθος, οἷά τις ἀστὴρ
Μαρμαίρων, λυχνίς τε πυρὸς φλογὶ πάμπαν ὁμοίη.
Ἴστρον μὲν ποταμὸν πόσσοι περιναιετάουσι.
Φράζεο δ' Εὐρώπης λοιπὸν πόρον, [3] ὅστ' ἐπὶ τελσὴν
Ἐκτέταται κρηπῖδα πρὸς ἠῶ· τὴν μὲν Ἰβήρων,
Τὴν δὲ Πανελλήνων, τὴν δ' ἐσθλῶν Αὐσονιήων.

ρίαν, λέγοντος, ὥσπερ Φρύγας καὶ Μυσοὺς, οὕτω δὴ καὶ Θρᾷκας ἐξ Εὐρώπης διαβῆναι εἰς Ἀσίαν, μετὰ Πατάρου τινὸς ἡγεμόνος, ὅτε οἱ Κιμμέριοι τὴν Ἀσίαν κατέτρεχον· οὓς ἐκβαλόντες ἐκ Βιθυνίας οἱ Θρᾷκες ᾤκησαν αὐτοί· καὶ τάχα ἐκ τῶν τοιούτων Θρᾳκῶν πλατυνθέντων καὶ τὸ νῦν λεγόμενον Θρᾳκήσιον τὴν κλῆσιν εὕρηκεν. ὁ δ' αὐτὸς Ἀρριανὸς καὶ Θρᾴκην τινὰ ἱστορεῖ νύμφην σοφὴν ἀμφὶ ἐπῳδάς τε καὶ φάρμακα, οἵαν τὰ μὲν ἐλκάσαι τῶν παθημάτων φαρμάκοις, τὰ δὲ ἐργάσασθαι. ὁποία τις καὶ ἡ Μήδεια ἱστόρηται, καὶ ἡ Ἀγαμήδη, καὶ ἡ θρυλλουμένη Κίρκη. καὶ ἀπὸ ταύτης τῆς Θρᾴκης δοκεῖ ὀνομάσθαι ἡ χώρα, Πέρκη ποτὲ καλουμένη. ὁ αὐτὸς λεγει καὶ ὅτι ἔθος ἦν Θραξὶ πολλὰς ἔχειν γυναῖκας, ὡς ἂν ἐκ πολλῶν πολλοὺς ἔχοιεν παῖδας· καὶ τὸ ἔθος αὐτοῖς γενέσθαι φησὶν ἀπὸ βασιλέως αὐτῶν Δολόγκου, ᾧ παῖδες πολλοὶ ἐκ πολλῶν γυναικῶν ἐγένοντο. Ἡρόδοτος δὲ ἱστορεῖ καὶ ὑπὸ τῷ Κροίσῳ Θρᾷκας εἶναί τινας, λέγων ὅτι ὁ Κροῖσος κατεστρέψατο Χάλυβας, Παφλαγόνας, Θρᾷκας, Θυνοὺς, Βιθυνοὺς, καὶ τὰ ἑξῆς. καὶ Ξενοφῶν δὲ οἶδεν Ἀσιανὴν τινὰ Θρᾴκην, ἀρξαμένην ἀπὸ τοῦ στόματος τοῦ Πόντου, μέχρις Ἡρακλείας, ἐπὶ τὰ δεξιὰ εἰσπλέοντι. ἱστορία δέ τις ἱερὰ καὶ περὶ τὰ τῆς Λιβύης που τόπια ὑπὲρ Ἀλεξάνδρειαν Θρᾴκην τινὰ ὀρεινὴν φησιν, ἐν ᾗ καὶ ἀσκητὴν ἱστορεῖ γενέσθαι περίπυστον. λέγεται δὲ ὅτι οἱ Εὐρωπαῖοι Θρᾷκες στίζονται, κρίνοντες εὐγενὲς μὲν τὸ ἐστίχθαι, ἀγενὲς δὲ τὸ ἄστικτον· καὶ καλὸν μὲν τὸ ἀργεῖν, ἀτιμότατον δὲ τὸ ἐργάζεσθαι τὴν γῆν· κάλλιστον δὲ τὸ ληστεύειν, καὶ ἀπὸ πολέμου ζῆν. ὅτι δὲ τὸ Θρᾷξ περισπᾶται, καὶ ὅτι ὡς συναιρεθὲν ἔχει τὴν τοῦ τόνου περίκλασιν, προδηλότατόν ἐστι. δηλοῖ δὲ τὴν τῆς λέξεως συναίρεσιν τό, τε Θρήϊκες, καὶ τὸ Θρηΐκιον στόμα, καὶ ὅσα τοιαῦτα· ὥστε συναιρεῖσθαι τὸ Θρᾷξ, ἀπὸ τοῦ Θρᾴϊξ βαρυτόνου ὀνόματος.

1. Ὅτι τοὺς Θρᾷκας γαῖαν εἰπὼν ἔχειν ἀπείρονα, ἑρμηνεύει σαφῶς πῶς ἀπείρονα. καί φησιν, οἱ μὲν ἐπὶ πλευραῖς Προποντίδος εἰσὶ θαλάσσης, οἱ δ' ὑπὲρ Ἑλλήσποντον ἀγάρροον, οἱ δὲ περὶ τὸ βαθὺ κῦμα τῆς Αἰγαίας θαλάσσης. διὸ καὶ Ἡρόδοτος λέγει τοὺς Θρᾷκας ἔθνος μέγιστον, μετὰ τοὺς Ἰνδούς. ἦν δ' ἄν, φησί, καὶ ἄμαχον καὶ κράτιστον, ἐὰν ὑπὸ ἑνὶ ἐτέτακτο ἄρχοντι, ἢ ἐφρόνει κατὰ τὸ αὐτό. καὶ τάχα διὰ τὸ οὕτω πολυτελὲς τῆς χώρας καὶ περιφανὲς ἰδίασεν αὐτὴν τῆς Εὐρώπης Οὐεσπασιανὸς, ὡς προείρηται.

Ipſique Thraces, immenſam terram habentes.
Hi quidem ad latera Propontici maris, [ipſius
Illi vero ſuper Helleſpontum citifluum, reliqui autem ſuper
Ægæi profundam undam multiſoni maris:
Ubi apes educantis in montibus [*ſcopulis*] Pallenæ
Naſcitur aſterius pulcher lapis, ceu quædam ſtella
Splendens, & lychnis flammæ ignis omnino ſimilis.
Iſtrum quidem fluvium tot [*populi*] circumaccolunt.
Conſidera autem Europæ reliquum tractum, qui in triplicem
Extentus eſt crepidinem ad orientem: unam quidẽ, Iberorum;
Alteram vero, Græcorum; aliam autem, fortium Auſoniorum.

καλούμενοι δέ ποτε Βρίγες, εἶτα μεταβάντες εἰς Ἀσίαν, μετέπεσον εἰς τὸ τῶν Φρυγῶν ὄνομα. ἀγάῤῥοον δὲ τὸν Ἑλλήσποντον λέγει, διὰ τὸ κατάῤῥουν εἶναι σφόδρα· διὸ καὶ ποταμὸν αὐτὸν ἁλμυρὸν ὁ Ξέρξης ἐξυβρίζων ὠνόμασεν.

2. Ὅτι Παλλήνη καὶ ὄρος ἐστὶ, καὶ πόλις Θρακική. ταύτην μελισσόβοτον ὁ Διονύσιος ἱστορεῖ, ἤτοι πολλὰς μελίσσας τρέφουσαν· περὶ ἣν φύεται, φησὶν, ἀστέριος καλὸς λίθος, μαρμαίρων οἷά τις ἀστὴρ, καὶ λυχνὶς πυρὸς φλογὶ πάμπαν ὁμοία· διὸ καὶ λυχνίτης ὁ λίθος λέγεται. οἱ δὲ καὶ σεληνίτην καλοῦσι τὸν τοιοῦτον λίθον, ἐπειδὴ συμπαθῶς, φασὶν, ἔχει πρὸς τὴν σελήνην· ὡς καὶ ὁ Βορυσθενίτης ἤλεκτρος, καθὰ καὶ προϊστόρηται, καὶ συμφθίνει τε αὐτῇ καὶ συναύξει. τὸ δὲ λυχνὶς, τινὲς καὶ βαρύνουσι, καὶ ἀρσενικὸν εἶναι λέγουσιν ὄνομα, γράφοντες, λύχνις πυρὸς φλογὶ πάμπαν ὁμοῖος. ἄλλοι δὲ περὶ Παλλήνης οὕτω φασί· Παλλήνη πόλις Θρᾴκης, ἀπὸ Παλλήνης θυγατρὸς Τιθωνοῦ. ἔστι δὲ Παλλήνη καὶ χερρόνησος τρίγωνος, οἰκουμένη ποτὲ ὑπὸ γιγάντων, οὓς Ἡρακλῆς μισανθρώπους ἐφορμηκὼς κατεπολέμησεν· ὅτε καὶ βρονταί τινες καὶ πρηστῆρες συνέπεσον. διὸ καὶ θεοὶ ἔδοξαν τῆς μάχης ταύτης τῷ Ἡρακλεῖ συνάρασθαι, καὶ καταφλέξαι τοὺς κακούς· καὶ ἡ χώρα διὰ τοῦτο Φλέγρα ἐκλήθη. ἀπὸ τούτων τῶν τόπων Παλλήνιδα τὴν Πρωτέως θυγατέρα ἐκάλεσεν ὁ Διονύσιος, ἔνθα περὶ Ἀλεξανδρείας ἔλεγεν. οἴονται δέ τινες Παλλήνην λέγεσθαι τὴν τῆς Κασσανδρείας χερρόνησον, τῷ Αἰγαίῳ καὶ αὐτὴν παρακειμένην. ἔνθα που καὶ τόπος τις κατὰ παραφθορὰν Τορώνη λεγόμενος, ὁμωνύμως, ὡς ἔοικε, Τορώνῃ τῇ τοῦ Θρᾳκικοῦ Πρωτέως θυγατρὶ, κατὰ Λυκόφρονα.

3. Ὅτι τὰ κυρτότερα τῆς Εὐρώπης περιηγησάμενος, ἤγουν τοὺς ἕως καὶ εἰς τὸν βόρειον ὠκεανὸν διήκοντας Ἴβηρας, καὶ τοὺς Πυῤῥηναίους, καὶ τοὺς Βρεττανούς, καὶ τοὺς Γερμανοὺς, καὶ τοὺς ἑκατέρωθεν τοῦ Ἴστρου, καὶ αὐτοὺς τοὺς Θρᾷκας, ἀφῆκεν ἡμᾶς νοεῖν τὴν ἐπίλοιπον Εὐρώπην καταγεγραμμένην τριγωνοειδῶς, πλευραῖς τρισί· μιᾷ μὲν δυτικῇ, τῇ τῶν Ἰβήρων· ἑτέρᾳ δὲ ἀπ' ἐναντίας, τῇ τῶν Ἑλλήνων· τρίτῃ δὲ, τῇ τῶν Αὐσόνων· ἀπὸ τριῶν ἐθνῶν ἐνδοξοτάτων χαρακτηρίσας καὶ ὀνομάσας τὰς τοιαύτας πλευράς. καὶ ὅρα ὅπως εὐμεθόδως καὶ εὐπεριορίστως περιηγεῖται καὶ σαφῶς, καὶ οὐκ ἀφίησι συγχεῖσθαι τὸν ἀκροατὴν πλανώμενον περὶ τὴν ἄπειρον.

Ἀλλ' ἤτοι [1] πυμάτη μὲν ἀγαυῶν ἐστιν Ἰβήρων,
Γείτων ὠκεανοῖο πρὸς ἑσπέρου. ἐν δέ οἱ ἄκρη
Στηλάων Ἀλύβη κεῖται μία. τῆς δ' ὑπένερθε
Ταρτησσὸς [2] χαρίεσσα, ῥυηφενέων πέδον ἀνδρῶν,
Κεμψοί θ' οἳ ναίουσιν ὑπαὶ πόδα [3] Πυρρηναῖον.
Μέσση δ' ἀμφοτέρων παραπέπταται Αὐσονὶς αἶα
Πουλυτενής· [4] τὴν μέν τε μέσην ὄρος ἄνδιχα τέμνει
Ὀρθὸν, ἅτ' ἐκ στάθμης ἰθυμμένον, (οὐκ ἂν ἐκεῖνο
Ἴδρις μωμήσαιτο σοφῆς ὑποεργὸς Ἀθήνης)
Ὅ ῥά τε κικλήσκουσιν Ἀπέννιον· ἐκ δὲ Βορείης
Ἄλπιος ἀρχόμενον Σικελὴν ἐπὶ πορθμίδα λήγει.
Πολλὰ δέ οἱ φῦλ' ἀμφί· τά τοι ῥέα πάντ' ἀγορεύσω,
Ἀρξάμενος πλευρῆς ζεφυρίτιδος ἐκ Βορέαο.
Τυρρηνοὶ μὲν [5] πρῶτα, [6] ἐπὶ δέ σφισι φῦλα Πελασγῶν,

1. Ὅτι ἡ Ἑσπερία, κρηπὶς τῆς γῆς τῶν Ἰβήρων, γείτων ἐστὶ τοῦ ὠκεανοῦ, ἔνθα καὶ μία τῶν Ἡρακλείων στηλῶν ἡ Ἀλύβη, ὡς καὶ ἀλλαχοῦ εἴρηται. περὶ δὲ τῶν Ἰβήρων παραγέγραπται ὅσα ἔδει. Σημείωσαι δὲ ὅτι καὶ ἐν τούτῳ τῷ χωρίῳ κρηπῖδας ἔφη τὰς προρρηθείσας τριγωνικὰς πλευρὰς, ὡς εἴ τις εἴποι βάσεις, διὰ τὸ ἐκάστην τῶν τριῶν εἰς βάσιν δύνασθαι λογισθῆναι. κρηπὶς γὰρ κυρίως μὲν, ἐπὶ ὑποδήματος· καταχρηστικῶς δὲ καὶ ἡ βάσις, ἐπί τε θεμελίου καὶ ἑτέρων τινῶν. παρόμοιον δὲ καὶ πέζαν ἐρεῖ τὴν τοῦ τριγώνου πλευρὰν, διὰ τὴν αὐτὴν αἰτίαν.

2. Ὅτι κάτωθεν τῆς ῥηθείσης Ἀλύβης, πόλις ὀλβία Ἰβηρικὴ ἡ Ταρτησσὸς, ἣν καὶ χαρίεσσαν λέγει, καὶ ῥυηφενέων πέδον ἀνδρῶν, ἤγουν πλουσίων. φασὶ δὲ Βαῖτιν εἶναι ποταμὸν Ἰβηρίας, δύο ἐκβολὰς ἔχοντα, ὧν μέσην ἱδρύσθαι ὡς ἐπὶ νήσου τὴν τοιαύτην Ταρτησσὸν, οὕτω κληθεῖσαν διὰ τὸ καὶ τὸν Βαῖτιν Ταρτησσὸν καλεῖσθαι παρὰ τοῖς παλαιοῖς. ταύτης καὶ ὁ Κωμικὸς μέμνηται ἐν Βατράχοις, ὅτε λέγει Ταρτησσίαν μύραιναν, παίζων καὶ ἐκφοβῶν τὸν ἀκροατὴν τῷ ἐκτοπισμῷ. τὸν δὲ Ταρτησσὸν ποταμὸν κασσίτερον τοῖς ἐκεῖ καταφέρειν ἱστόρηται.

3. Ὅτι Πυρήνη μέγιστον ὄρος, οὗ ὑπὸ πόδα οἱ Κεμψοὶ τὸ ἔθνος. ἔχει δὲ ἡ Πυρήνη τὰς ἀρχὰς ἀπὸ τοῦ βορείου ὠκεανοῦ, καὶ διήκει ἕως εἰς τὴν ἑσπερίαν θάλασσαν, καὶ διορίζει Κελτούς τε καὶ Ἴβηρας. ἡ δ' αὐτὴ οὐ μόνον Πυρηναῖον, ὡς προείρηται, ὄρος, ἀλλὰ καὶ πληθυντικῶς ὄρη Πυρρηναῖα λέγεται. οὕτω δὲ καὶ αἱ Ἄλπεις, καὶ τὸ Ἑρκύνιον διαφορεῖται τῷ ἀριθμῷ.

4. Ὅτι τὴν Αὐσονίδα πολυτενῆ γῆν μέσην τέμνει τὸ Ἀπέννινον ἢ Ἀπέννιον ὄρος, ἐξ Ἄλπεως ἐρχόμενον, καὶ πλατῦνον εἰς τὴν Σικελικὴν πορθμίδα, ὅ ἐστιν εἰς τὸν Σικελικὸν πορθμὸν, ὡς καὶ ἀλλαχοῦ εἴρηται, περὶ τὴν Λευκοπέτραν τὴν ἐν τῇ Ῥηγίνῃ χώρᾳ. ὄρθιον δὲ, φησὶν, ἐστὶ τὸ τοιοῦτον ὄρος, οἷα πού ἐκ στάθμης ἰθυμμένον, ἤγουν τεταμένον εἰς εὐθύτητα, ὥσπερ διὰ στάθμης· ἥτις ἐστὶ σχοῖνος τεκτονικὴ ἀπευθύνουσα τὰ ξύλα. εἶτα ἐπιτείνει ποιητικῶς εἰς ὑπερβολὴν τὸ νόημα, καί.

Verum ultima quidem illuſtrium eſt Iberorum,
Vicina Oceano ab occaſu. in ea autem promontorium
Columnarum [*Herculis*] Alyba ſita eſt una. hanc vero ſubter
Tarteſſus amœna, divitiis affluentium ſolum hominum;
Cempſique, qui degunt ſub pede Pyrenæo.
Media autem ambarum panditur Auſonia tellus,
Longe extenſa; quam quidem mediam mons bifariam ſecat
Rectus, velut ab amuſſi directus, (non illum
Peritus reprehendere poſſet doctæ miniſter Palladis)
Quem Apenninum vocant: è ſeptentrionali vero
Alpi incipiens, Siculo in freto deſinit. [recenſebo,
Multæ autem illi gentes utrinque ſunt: quas tibi facile omnes
Orſus à latere occidentali à borea.
Tyrrheni quidem primum, poſt hos autem gentes Pelaſgorum,

καί φησιν οὕτως ἰθυτενὲς εἶναι τὸ ὄρος, ὡς οὐκ ἂν οὐδὲ τέκτων μωμήσηται σοφῆς ὑποεργὸς Ἀθήνης. δῆλον δὲ πάντως ὅτι Ἀθηνᾶς, ἤγουν φρονήσεως, ὑπουργοὺς ἡ ποίησις οἶδε τοὺς τέκτονας. ἡ δὲ ῥηθεῖσα Ῥηγίνη χώρα, ἀπὸ τοῦ ἐκεῖ Ῥηγίου τῆς πόλεως λέγεται, κτίσματος Χαλκιδικοῦ. αὐτὸ δὲ τὸ Ῥήγιον οὕτω καλεῖται, ἢ παρὰ τὴν ῥῆξιν, ὡς ἀποῤῥαγείσης τῆς Σικελίας ἐκ τῆς ἐκεῖσε ἠπείρου ὑπὸ σεισμοῦ, ὡς καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται· καθὰ καὶ ἡ Προχύτη νῆσος, καὶ αἱ Πιθηκοῦσαι, καὶ αἱ λεγόμεναι Σειρῆνες νῆσοι τρεῖς, ἠπείρων ἀποσπάσματα λέγονται. ἢ Ῥήγιον εἴρηται, ὡς ἂν εἴποι τις βασίλειον (Ῥῆγες γὰρ καὶ Ῥέγες, οἱ βασιλεῖς) τῶν Σαυνιτῶν οὕτω καλεσάντων αὐτὸ, δι' ἐπιφάνειαν τῆς πόλεως. τούτου πρὸς ἕω ἄκρα ἡ Λευκοπέτρα, ὡς εἴρηται, λεγομένη ἀπὸ τῆς χροιᾶς, ἐν πεντήκοντα σταδίοις· ὅπου λήγει τὸ Ἀπέννιον ὄρος, ὡς ἐῤῥέθη. Ἰστέον δὲ ὅτι ὥσπερ ἡ Ἄλπις πληθύνεται, οὕτω καὶ τὸ Ἀπέννιον, Ἀπέννια ὄρη πληθυντικῶς λέγεται.

5. Ὅτι Τυῤῥηνοί, οἱ καὶ Τροῦσκοι λεγόμενοι καὶ Τοῦσκοι παρὰ Ῥωμαίοις, ἔθνος λῃστρικὸν, καὶ ὠμὸν καὶ ἀπάνθρωπον, βόρειοι κεῖνται ἐκ τῆς ζεφυρίτιδος τοῦ Ἀπεννίου ὄρους πλευρᾶς. καλοῦνται δὲ Τυῤῥηνοὶ, ἀπὸ Τυῤῥηνοῦ Λυδοῦ, υἱοῦ Ἄτυος, ὃν πολὺν λαὸν ὁ πατὴρ συστήσας ἐν καιρῷ λιμοῦ ἐξέστειλεν· ἀφ' οὗ ἡ χώρα Τυῤῥηνία ἐκλήθη, ιβ΄. πόλεις κτίσαντος, αἷς οἰκιστὴν ἐπέστησε Τάρκωνα, οὗ καὶ Λυκόφρων μέμνηται· ὃν διὰ τὴν ἐκ παίδων σύνεσιν, πολιὸν γεγεννῆσθαί φασιν, ἀφ' οὗ καὶ πόλις Ταρκωνία. καὶ τὸν Τρωϊκὸν δὲ Κύκνον, διὰ τοιοῦτον λόγον τινὰ, ἐκ γενετῆς οἱ παλαιοὶ πολιὸν γενέσθαι φασὶ, καὶ οὐ μόνον διὰ λευκότητα σαρκῶν καὶ τριχῶν.

6. Ὅτι ἐπὶ Τυῤῥηνοῖς εἰσι Πελασγοὶ, οἱ διὰ πενίαν σποράδες μετοικοῦντες ἦλθόν ποτε καὶ ἐκεῖ, μακρὰν ἀπὸ τῆς κατὰ Ἀρκαδίαν Κυλλήνης, καὶ ᾤκησαν, Εὐάνδρου τινὸς ἡγησαμένου τῆς ἀποικίας αὐτοῖς· ὃς ἐπὶ ἄρχοντος Ἀρκαδίας Ἀγαμήδους τοῦ Στυμφαλίου, θεοφορήτῳ μητρὶ, φασὶ, πεισθεὶς, καὶ λαὸν ἀγείρας καὶ ἐλθὼν ἐκεῖ, κατέπαυσε, τῷ Πανὶ ναὸν ἱδρύσας, καὶ λόφον ὀχυρωσάμενος, ὃν Παλλάντιον ὠνόμασεν ἀπὸ τοῦ υἱοῦ Πάλλαντος,


Οἳ ποτε Κυλλήνηθεν ἐφ' ἑσπερίην ἅλα βάντες,
Αὐτόθι νηήσαντο σὺν ἀνδράσι Τυῤῥηνοῖσι.
Τοῖς δ' ἔπι [1] μέρμερον ἔθνος ἀγαυῶν ἐστι Λατίνων,
Γαῖαν ναιετάοντες ἐπήρατον· ἧς διὰ μέσσης
Θύμβρις ἑλισσόμενος καθαρὸν ῥόον εἰς ἅλα βάλλει,
Θύμβρις ἐϋῤῥείτης ποταμῶν βασιλεύτατος ἄλλων,
Θύμβρις ὃς ἱμερτὴν ἀποτέμνεται ἄνδιχα Ῥώμην,
Ῥώμην τιμήεσσαν, ἐμῶν μέγαν οἶκον ἀνάκτων,
Μητέρα πασσάων πολίων, ἀφνειὸν ἔδεθλον.
Τῇ δ' ἔπι [2] Καμπανῶν λιπαρὸν πέδον· ἧχι μέλαθρον
Ἁγνῆς [3] Παρθενόπης, σταχύων βεβριθὸς ἀμάλλαις·

λαντος, τοῦ καὶ ἐπ' ἄκρου καὶ λόφου θάψαντος αὐτὸν θανόντα, καὶ τὸν Ἡρακλέα ξενίσαντος ἀπὸ τῶν τοῦ Γηρυόνου ἐπανιόντα βοῶν. ὅθεν καὶ νῦν οἱ Ῥωμαῖοι τοὺς βασιλεῖ πρέποντας τόπους οὕτω καλοῦσι παλάτια, καθ' ὑφαίρεσιν ἀμεταβόλων τοῦ τε λ καὶ τοῦ ν. ὅτι δέ, ὡς εἴρηται, σποράδες εἰσὶν οἱ Πελασγοὶ θρυλλῆται, ἐπεὶ καὶ οἱ ἐν Τρωάδι Κίλικες, κατὰ τὸν Ποιητὴν, ὁμόρους ἔχουσι Πελασγούς. ἐῤῥέθη δὲ καὶ ἡ Λέσβος ποτὲ Πελασγία. καὶ Δωδωναῖος δέ ἐστι Ζεὺς Πελασγικὸς, παρὰ τῷ Ποιητῇ. γεγόνασι δὲ καὶ Κρήτης ἔποικοι Πελασγοὶ, ὡς ὁ Ὀδυσσεὺς ἐν τοῖς πρὸς Πηνελόπην λόγοις ἐμφαίνει. καὶ ἡ Λῆμνος δέ ποτε ᾠκεῖτο ὑπὸ Πελασγῶν, ἐξ ὧν Λήμνια παροιμιάζονται κακά· διὰ τοὺς φόνους οὓς ἐποίησαν, γυναῖκάς τε κτείναντες αἰχμαλώτους ἀδίκως, καὶ παῖδας οὓς ἐξ αὐτῶν ἐπαιδοποιήσαντο. καὶ περὶ τὴν ἐν Πελοποννήσῳ δὲ Ἀχαΐαν ἦσαν Πελασγοὶ, καὶ Αἰολικοὶ περὶ τὴν Ἀσίαν, ὡς φησιν Ἡρόδοτος. Εὐριπίδης δὲ καὶ τοὺς Ἀργείους Πελασγοὺς οἶδεν, εἰπών,

Πάλαι Πελασγοὶ, Δαναΐδαι δεύτερον.

Ἡρόδοτος δὲ οὐ μόνον περὶ τὴν Λῆμνον, ἀλλὰ καὶ περὶ τὴν Ἴμβρον οἰκῆσαι λέγει Πελασγούς. ἔστι δὲ καὶ ἐν Ἀθήναις τεῖχος Πελασγικὸν, ἤτοι Πελαργικὸν, ὡς ὁ Καμικὸς δηλοῖ ἐν τοῖς Ὁρισιν, οἷα τῶν Πελασγῶν, φησὶ, καλουμένων παρ' Ἀττικοῖς καὶ Πελαργῶν, διὰ τὸ πλανητικόν. πλάνητες γὰρ ἦσαν διὰ πενίαν, καὶ δίκην ὀρνέων ὅποι τύχοι ἐπεφοίτων. καὶ ἡ περὶ Πηνειὸν δὲ καὶ Θερμοπύλας Θετταλία, Πελασγικὸν Ἄργος ἐλέχθη ἀπ' αὐτῶν, ὡς ἐκεῖ ἐπαρξάντων. φασὶ δὲ ἀνέκαθεν Ἀρκάδας γενέσθαι τοὺς Πελασγούς, ὡς καὶ ἀνωτέρω ἐῤῥέθη, στρατιωτικὸν ἑλομένους βίον, κἀντεῦθεν ἐπιφανεῖς γενομένους. λέγονται δέ τινες τῶν Πελασγῶν καὶ θαλασσοκρατῆσαι γενναίως ἔτη πε'.

1. Ὅτι μετὰ Τυῤῥηνοὺς καὶ Πελασγοὺς τὸ τῶν ἀγαυῶν Λατίνων μέρμερον ἔθνος, ὅ ἐστι φροντιστικὸν, συνετὸν, μεριμνητικόν· ἢ τοῦ πολλὰ μερμηρίζειν, ἤτοι φροντίζειν, τοῖς ὑπεναντίοις αἴτιον, δι' ἣν ἔχει ἀνδρείαν. ἰστέον δὲ ὅτι τὸ Λατίνων ἔθνος περιφραστικῶς εἴρηται, ἀντὶ τοῦ οἱ Λατῖνοι· διὸ καὶ ἐπάγει κατὰ σχῆμα κοινοσπερὶς πληθυντικὴν σύνταξιν, λέγων, γαῖαν ναιετάοντες ἐπήρατον, δι' ἧς μέσης Θύμβρις ὁ ποταμὸς (ὁ καὶ Τίβερις) ἑλισσόμενος καθαρὸν ῥόον εἰς ἅλα βάλλει. ἐφ' οἷς ἐπαναλαβὼν συνήθως, καὶ εἰπών, Θύμβρις ποταμῶν βασιλεύτατος ἄλλων, ὡς διὰ τῆς βασιλίδος ῥέων Ῥώμης, Θύμβρις ὃς ἱμερτὴν ἀποτέμνεται ἄνδιχα Ῥώμην· (διὰ μέσης γὰρ τῆς Ῥώμης ῥεῖ ὁ Θύμβρις, ὡς καὶ ὁ Κύδνος διὰ τῆς Ταρ-



Græciæ
tabula Antiqua
Dionysio
et
Eustathio
Accommodata
Ornatiſsimo
Juveni
Thomæ Handaſyd
Dacicæ Pars
Pontus Euxinus
Mysia Superior
Mysia Inferior
Triballi
Troglodytæ
Thracia
Bithynia
Mare Tyrrhenum
Mare Tuſcum seu Tyrrhenum seu Inferum
Tyrrheni
Pelasgi
Ausonia
Sinus Adriaticus
Liburnia
Illyricum
Dalmatia
Peonia
Macedonia
Emathia
Græcia
Thessalia
Hellas
Ægæum Mare
Asiæ Minoris Pars seu Asia Propria
Phrygia major
Galatia
Mysia
Iapygia
Calabria
Corcyra
Ionium Mare
Æoliæ Ins.
Sicilia seu Trinacria I
Mare Siculum
Cephalenia
Peloponesus
Messene
Arcadia
Cythera I
Creta I
Melus I
Cyclades I
Samus I
Chius I
Lesbus I
Caria
Lycia
Rhodus I
Carpathus I
Chelidoniæ I
Doris
Æolia
Harris Sculp

Qui quondam è Cyllene in occiduum mare profecti,
Illic habitarunt cum viris Tyrrhenis.
Poſt hos autem ſagax gens illuſtrium eſt Latinorum,
Terram incolentes amabilem: quam per mediam
Thymbris tractus limpidum fluentum in mare mittit;
Thymbris pulchrifluus fluviorum maxime regalis aliorum,
Thymbris qui amabilem ſecat duas in partes Romam,
Romam honorabilem, meorum magnam domum principum,
Matrem omnium urbium, opulentam ſedem. [lium
Poſt hanc autem Campanorum pingue ſolum: ubi domici-
Caſtæ Parthenopes, ſpicarum onuſtum manipulis:

Ταρσοῦ, καὶ διὰ τῆς Βαβυλῶνος ὁ Εὐφράτης) ἐπισυνάπτει καὶ ἑτέραν ἐπανάληψιν τὴν τῆς Ῥώμης, ἐπιμένων, καὶ ἐναγλαϊζόμενος διὰ τῶν Ῥωμαίους τῷ ἐπαναληπτικῷ σχήματι· καὶ μετὰ τὸ, ἱμερτὴν Ῥώμην, φησὶ, Ῥώμην τιμήεσσαν, ἐμῶν μέγαν οἶκον ἀνάκτων, μητέρα πασῶν πόλεων, ἀγλαὸν, ἢ ἀφνειὸν ἔδεθλον, ἤτοι ἔδαφος. ἀνάκτων δὲ εἰπὼν, ἔδειξε, φασὶν, ἐναργῶς ὅτι οὐκ ἐπὶ τῶν ὑπάτων αὐτὸς ἦν, ἀλλ' ἐπὶ τῶν αὐτοκρατόρων ἤκμαζε, Νέρωνος, ἢ καὶ Αὐγούστου, κατά τινας· οὗ μεμνῆσθαι λέγεται καὶ ἐν τῷ, Αὐσονίου βασιλῆος ἐπιπραΰνειν ἀκωκή. τοὺς γὰρ ὑπάτους οὐκ ἐκάλουν ἄνακτας. καὶ σημείωσαι ὅτι κατὰ τὸν Διονύσιον, ἰδίως Λατῖνοι οἱ μετὰ τοὺς Τυρρηνοὺς καὶ τοὺς Πελασγοὺς ἐλέγοντο, ἐν οἷς καὶ οἱ περὶ τὴν Ῥώμην. ὅτι δὲ ἡ Ῥώμη τῆς Λατίνης χώρας ἐστὶ, καὶ ὅτι Λατίνου ὁμώνυμοί εἰσιν οἱ Λατῖνοι, ὃς Ὀδυσσέως καὶ Κίρκης λέγεται· καὶ ὅτι ὁ Τίβερις, Ἄλβουλας ποτὲ καλούμενος, οὕτω μετεκλήθη, ὡς βασιλέως Τιβερίου ἐν αὐτῷ θανόντος, ἄλλαι τε ἱστορίαι βοῶσι, ἤγουν ἡ τοῦ Δίωνος. Τιβέριον δὲ ἐνταῦθα ἡ ἱστορία φησὶν οὐ τὸν μετὰ τὸν Αὔγουστον, ἀλλ' ἕτερον ἀρχαιότερον· ὃς, φασὶν, ἐν μάχῃ τελευτήσας, καὶ ὑπὸ ῥεύματος περισχεθεὶς, ἐπώνυμον ἑαυτοῦ τὸν ποταμὸν ἀφῆκε. Σημείωσαι δὲ ὅτι παρὰ τῷ Θεοκρίτῳ φαίνεται ἔν τινι ἀμφιβαλλομένῃ γραφῇ, καὶ Σικελικός τις εἶναι Θύμβρις ποταμός.

2. Ὅτι οἱ Καμπανοὶ, ὧν τὸ πέδον λιπαρὸν διὰ τὴν εὐκαρπίαν λέγει, ἀπὸ τῶν ὑποκαθημένων ἐκεῖ καμπῶν ὀνομάσθησαν, ἢ ἀπὸ Κάμπου πόλεως. ζηλωτὴ δὲ ἡ τοιαύτη γῆ δι' ἀρετήν, καὶ διὰ τοῦτο περιμάχητος· ὥστε καὶ Φλεγραῖον ἱστορεῖται πεδίον εἶναι καὶ ἐκεῖ, καθὰ καὶ ἐν Θρᾴκῃ εἴρηται. καὶ τὰ περὶ τὴν γιγαντομαχίαν δὲ οὐ μόνον περὶ τὴν Θρᾴκην, ἀλλὰ καὶ αὐτόθι, διὰ τὸ ἐπίμαχον τῆς χώρας, μυθεύεται συμπεσεῖν. λέγεται δὲ καὶ ἡ Σικελικὴ Φλεγραία, οὐ διὰ ὁμοίαν αἰτίαν, ἀλλὰ διὰ τὸ τὰ ἐκεῖ πλήρη πυρὸς καὶ θερμῶν ὑδάτων εἶναι. διάδοχα δὲ τοῖς Καμπανοῖς οὖσιν πόλεσιν, ἐν μεσογείᾳ ἐστὶν ἡ Καπύη, κεφαλὴ τούτων, ὥς φησιν ὁ Γεωγράφος, κατὰ τὴν ἐτυμότητα τοῦ ὀνόματος, γλώττῃ Λατίνων. καίτοι τινὲς ἀπὸ Κάπυος τοῦ Τρωὸς αὐτὴν καλεῖσθαι ἠθέλησαν. ἱστοροῦνται δὲ τρυφῆσαι πολλὰ καὶ οἱ Καμπανοί.

3. Ὅτι κατὰ μὲν Ὅμηρον αἱ Σειρῆνες δύο, καὶ ἀνώνυμοι· κατὰ δὲ τοὺς ἄλλους ποιητὰς, τρεῖς, καὶ ὀνόματα αὐταῖς, Παρθενόπη, Λιγεία, καὶ Λευκωσία, αἳ, παραπλεύσαντος αὐτὰς τοῦ Ὀδυσσέως, καὶ

μὴ

Παρθενόπης, ἣν πόντος ἑοῖς ὑπεδέξατο κόλποις.
Πρὸς δὲ νότον, μάλα πολλὸν ὑπὲρ Σειρηνίδα πέτρην,
φαίνονται προχοαὶ Πευκεντίνου Σιλάροιο.
Ἄγχι δὲ [1] Λευκανοὶ καὶ Βρέντιοι ἄνδρες ἔασι,
Τοσσάτιον ναίοντες ὅσον Λευκὴν ἐπὶ πέτρην.
Κεῖθεν δ' ἐς βορέην [2] Ζεφύρου παραφαίνεται ἄκρη.
Τῇ δ' ὕπο Λοκροὶ ἔασιν, ὅσοι προτέροις ἐτέεσσιν
Ἦλθον ἐπ' Αὐσονίην, σφετέρης μιχθέντες ἀνάσσαις·
Τῶν καὶ νῦν γένος ἐστὶν ἐπὶ προχοῇσιν Ἄληκος.
Τοὺς δὲ μέθ' ἑξείης [3] Μεταπόντιοι. ἐγγύθι δὲ σφῶν

μὴ θελχθέντος οἷς ἐμελῴδουν, νικηθεῖσαι τῇ ἀθυμίᾳ κατέρριψαν ἑαυτὰς εἰς τὴν θάλασσαν, καὶ ἀποπνιγεῖσαι ἄλλη ἀλλαχῇ ἐξεβράσθησαν. ὧν ἡ Παρθενόπη πρὸς τῇ Νεαπόλει τέθαπται, πόλει Καμπανῶν εὐδαίμονι, καὶ ἐκεῖ τετίμηται. ταύτην γὰρ πέτραν Σειρηνίδα καλεῖ, καὶ Παρθενόπης ἁγνῆς μέλαθρον, σταχύων βεβριθὸς ἀμάλλαις· ἣν καὶ ἐπαναλαβών φησι, Παρθενόπης, ἣν πόντος ὑπεδέξατο κόλποις, ἀποπνιγεῖσαν δηλαδή. λέγει δὲ καὶ ὅτι ἐνταῦθα πρὸς νότον ὁ Σίλαρος ῥέει ποταμός. τοῦτον ὁ Γεωγράφος Σίλαριν γράφων, λέγει ἴδιον τοῦ Σιλάριδος, ὅτι τοῦ ὕδατος ὄντος ποτίμου, τὸ καθιέμενον φυτὸν ἀπολιθοῦται, φυλάττον τὴν μορφήν. μετὰ δὲ τὸ τοῦ ποταμοῦ τούτου στόμα, ὡς ὁ Γεωγράφος φησίν, ἐν ν'. σταδίοις ἡ Ποσειδωνιὰς ἄκρα, ὅθεν ἐκπλέοντι νῆσος Λευκωσία ἐστίν, ἠπείρου καὶ αὐτὴ ἀπόσπασμα, ἐπώνυμος μιᾶς τῶν Σειρήνων. ἄλλοι δὲ περὶ Παρθενόπης οὕτω λέγουσι· Παρθενόπη πολλοῖς ἀνδράσιν ἐπιβουλευθεῖσα, καὶ τὴν παρθενίαν φυλάξασα, εἶτα Μητιόχου Φρυγὸς ἐρασθεῖσα, τάς τε τρίχας ἔτεμεν, ἀκοσμίαν ἑαυτῆς καταψηφιζομένη, καὶ εἰς Καμπανοὺς ἐλθοῦσα ᾤκησε· καὶ τάχα διὰ τὴν τοιαύτην σωφροσύνην ἁγνὴν ὁ Διονύσιος τὴν Παρθενόπην ὠνόμασεν. Ἰστέον δὲ ὅτι εὐτελῶς εἰπεῖν δοκεῖ τὴν Νεάπολιν, μέλαθρον Παρθενόπης. πιθανὸν δὲ καὶ τὸ τὴν Κύθηρον, ἄστυ Ἀφροδίτης ῥηθῆναι. τὸ δὲ, σταχύων βεβριθὸς ἀμάλλαις, ἀντὶ τοῦ, εὔσταχυ καὶ πολύφορον. τίνες δὲ αἱ ἀμάλλαι, ἀλλαχοῦ εἴρηται, ὅπου καὶ περὶ ἀμαλλοδετήρων. τὸν δὲ Σίλαριν ὁ Διονύσιος Πευκεντῖνον ποταμὸν λέγει, τῷ πέσι περὶ τοὺς λεγομένους Πευκεντίνους ῥέοντα. ὅθεν καὶ σημείωσαι ὅτι ἔνιοι Πευκέντιον δεῖν αὐτὸν λεχθῆναι· πλεονάσαι δὲ τὸ ν ἐν τῇ παραληγούσῃ, διὰ μέτρου ἀνάγκην.

1. Οἱ Λευκανοὶ καὶ Βρέντιοι, διὰ τοῦ ν, ἢ Βρέττιοι, διὰ τῶν δύο ττ, ἕως ἐπὶ τὴν Λευκὴν πέτραν διήκουσι, περὶ ἧς ἤδη γέγραπται. Φασὶ δὲ ὅτι ἡ περὶ τοὺς Λευκανοὺς τούτους χώρα, καὶ ἡ Σικελία, μεγάλη ποτὲ Ἑλλὰς ὠνομάσθη, διὰ τὰς τῶν Ἑλλήνων ἐκεῖ συχνὰς μετοικίας. ἡ δὲ τῶν Λευκανῶν πόλις, Λευκάνη βαρυτόνως ἐλέγετο, ἀπὸ Λευκίου τινός. Βρέττιοι δὲ καλοῦνται ἀπὸ Βρέττου υἱοῦ Ἡρακλέους. ὁ δὲ Γεωγράφος φησὶν ὡς Λευκανοὶ Βρεττίους τοὺς ἀποστάτας καλοῦσιν ὀπρίοι, φησὶ, καὶ οὗτοι οἱ τὰ πρῶτα ποιμαίνοντες, ὕστερον ἀπὸ ἀνέσεως ἐλευθεριάσαντες ἀπέστησαν.

2. Ὅτι ὄρος Ζεφύριον τετρασυλλάβως, τμῆμά τι ἐστὶ βορειότερον τῆς Λευκοπέτρας, πρὸς αὐγὰς τοῦ Ἀπηλιώτου. τοῦτο δὲ, Ζεφύρου ἄκραν φησὶ περιφραστικῶς.

Parthenopes, quam pontus ſuis ſuſcepit ſinibus.
Cæterum ad auſtrum, valde multum ultra Sireniam petram,
Apparent fluenta Peucentini Silari.
Prope vero Lucani & Brentii [*Brutii*] viri ſunt,
Tantum incolentes quantum ad Leucopetram.
Illinc vero ad boream Zephyrium apparet promontorium.
Sub hoc vero Locri ſunt, qui prioribus annis
Venerunt in Auſoniam, quum rem habuiſſent cum ſuis domi- [nabus:
Quorum etiam hodie genus eſt ad fluenta Alęcis.
Poſt hos autem deinceps Metapontii. prope autem ipſos

ὁ Διονύσιος, ὡς τοῦ Ζεφυρίου ὄρους καὶ Ζεφύρου τελουμένως καλουμένου· ἀφ' οὗ καὶ οἱ Ἐπιζεφύριοι Λοκροὶ δοκοῦσι κληθῆναι, ὡς περὶ αὐτὸ κείμενοι. ἄλλοι δὲ οὕτω φασὶ καλεῖσθαι ἐκείνους πρὸς διαστολὴν ἄλλων Λοκρῶν· διὰ τὸ ἐκείνους μὲν ἀλλαχοῦ κεῖσθαι, τούτους δὲ πρὸς ζέφυρον ἄνεμον, ὡσεί που προγέγραπται. ὁ δὲ Γεωγράφος οὕτω φησίν, "Ἄκρα Λοκρίδος "τὸ Ζεφύριον, ἔχουσα ἑσπερίοις ἀνέμοις "λιμένα, ἐξ οὗ καὶ τοὔνομα τῇ ἄκρᾳ. "πρῶτοι δὲ οἱ ἐκεῖ νόμοις γραπτοῖς "πιστεύονται χρήσασθαι, καὶ πολὺν "χρόνον εὐνομηθῆναι. Ἰστέον δὲ ὅτι ἡ διαβολὴ τοῦ γένους τῶν τοιούτων ἐνταῦθα κεῖται· Λοκρῶν ἔθνους ὅλου ὡς ἐκ δούλων κατηγμένου. δοῦλοι γάρ, φησίν, ὄντες πρότεροι ἔτεσι, παρὰ τοῖς Ὀζόλαις δηλαδὴ Λοκροῖς, τοῖς πρὸς τῷ Κρισαίῳ κόλπῳ τῷ κατὰ τὴν Εὔβοιαν, εἶτα τῶν δεσποτῶν ἀπιόντων εἰς πόλεμον, ἐμίγησαν ταῖς σφετέραις ἀνάσσαις· ἐπανελθόντας δὲ τοὺς δεσπότας ὑποπτεύσαντες ἐπὶ κολάσει, ταῖς δεσποίναις συνέφυγον, καὶ ᾤκησαν ἐν Τυρρηνίᾳ, ὧν γένος εἰσὶν οἱ Ἐπιζεφύριοι Λοκροί, δοῦλοι ὄντες τὸ ἀνέκαθεν. ἄλλοι δὲ γράφουσι, σφετέρῃ ἀνάσσῃ μιχθέντες, ἢ πεισθέντες· ἀνάσσαν τὴν Ῥώμην νοοῦντες, ὑφ' ἣν οἱ τοιοῦτοι Λοκροί, περὶ οὓς ποταμὸς ὁ Ἄληξ, ὁρίζων τὴν Ῥηγίνην ἀπὸ τῆς Λοκρίδος.

ἴδιον δὲ τοῦ τόπου τούτου, ὅτι οἱ μὲν ἐν τῇ τῶν Λοκρῶν τούτων περαίᾳ τέττιγες φθέγγονται, οἱ δὲ ἄλλοι ἄφωνοί εἰσιν. αἴτιον δὲ τοῦ συμπτώματος τούτου λέγεται, ὅτι ἐκεῖ θάτερα μὲν ὀλόσκιον, φασί, τὸ χωρίον ἐστίν, ὥστε ψυχροὺς καὶ ἐνδρόσους ὄντας τοὺς τέττιγας μὴ ἔχειν διαστέλλειν τοὺς ὑμένας, καὶ ἦχον ποιεῖν· τοῖς δὲ ἐν τῇ περαίᾳ τέττιξι, διὰ τὸ ἡλιάζεσθαι, ξηροὺς καὶ κερατώδεις εἶναι τοὺς ὑμένας, ὥστε εὐφυῶς ἐκπέμπεσθαι τὸν φθόγγον. ἐν τούτοις τοῖς Λοκροῖς ἀνδριὰς ἐστάθη ποτὲ τοῦ ὑμνουμένου κιθαρῳδοῦ Εὐνόμου, τέττιγα ἐπὶ τῇ κιθάρᾳ καθήμενον ἔχων· διότι τέττιξ, ἐν Πυθίοις ἀγωνιζομένου τοῦ Εὐνόμου καὶ μιᾶς τῶν χορδῶν ῥαγείσης, ἐπιστὰς ἀνεπλήρωσε τὸν φθόγγον, ταῖς ᾠδαῖς τὸν μίτον ὑποκρινάμενος· καὶ οὕτω τῆς νίκης τῷ Εὐνόμῳ συνεπελάβετο. Ἰστέον δὲ ὅτι οὐ μόνον οἱ Λοκροὶ οὗτοι δοῦλοι πράγματα τοῖς δεσπόταις παρέσχον, ἀλλὰ καὶ οἱ Σκύθαι ποτέ, ὡς ὁ Ἡρόδοτος ἱστορεῖ, δούλων πονηρῶν ἐπειράθησαν, ὅτι ὅπλοις μὴ πειθομένους αὐτοὺς μάστιξιν ὑπηγάγοντο. καὶ τὸ Ἄργος δέ ποτε χηρωθὲν ἀνδρῶν, τοὺς δούλους ἔσχε δεσπότας τῶν πραγμάτων, καὶ μόλις οἱ παῖδες τῶν τεθνεώτων περιγενέσθαι τούτων ἴσχυσαν.

3. Ὅτι μετὰ τοὺς Λοκροὺς ἔθνος οἱ Μεταπόντιοι, ὧν πόλις τὸ Μεταπόντιον.

Ἱμερτὸν [1] πτολίεθρον ἐϋστεφάνοιο Κρότωνος,
Ναιόμενον χαρίεντος ἐπ' Αἰσάρου προχοῇσιν·
Ἔνθα κεν αἰπὺν ἴδοιο [2] Λακινιάδος δόμον Ἥρης.
Ἔστι δέ τοι κἀκεῖθι Διὸς μέγα χωσαμένοιο
Δειλαίη [3] Σύβαρις ναέτας στενάχουσα πεσόντας,
Μηναμένους [4] ὑπὲρ αἶσαν ἐπ' Ἀλφειοῦ γεράεσσι.

ἡ ποτὲ λεγομένη Σῖρις. κληθῆναι δὲ οὕτω λέγεται ἀπὸ Μεταπόντου τοῦ Σισύφου, ὃν οἱ βάρβαροι Μέταβον ἔλεγον. κτίσμα δὲ Πυλίων τὸ Μεταπόντιον. λέγονται δὲ πάνυ εὐτυχῆσαί ποτε ἀπὸ γεωργίας, διὸ καὶ ἐν Δελφοῖς ἀναθεῖναι τὸ θρυλλούμενον χρυσοῦν θέρος.

1. Ὅτι μετὰ τοὺς Μεταποντίους οἱ Κροτωνιᾶται· καὶ ὅτι τὸν περὶ Κρότωνα ποταμὸν τὸν Αἴσαρον χαρίεντα λέγει, καὶ αὐτὴν τὴν Κρότωνα, ἱμερτὸν πτολίεθρον· ἀλλὰ καὶ εὐστέφανον, διὰ τὸ πολλοὺς Κροτωνιάτας ἐν τοῖς καθ' Ἑλλάδα ἱεροῖς ἀγῶσι νικῶντας στεφανοῦσθαι, καὶ οὕτω τὴν πατρίδα τιμᾶν, καὶ ποιεῖν εὐστέφανον. ἱστορεῖται γοῦν ὅτι ἔν τινι Ὀλυμπιάδι οἱ τῶν ἄλλων προτερήσαντες σταδιεῖς ἑπτὰ ἄνδρες Κροτωνιᾶται ἦσαν. ὅθεν καὶ εἰκότως, φασίν, εἴρηται ὅτι Κροτωνιατῶν ὁ ἔσχατος τῶν ἄλλων Ἑλλήνων πρῶτος ἦν· δηλαδὴ καὶ [illegible]ότητα. ἐκεῖθεν καὶ Μίλων, ὁ ἐπιφανέστατος καὶ ῥωμαλεώτατος ἀθλητής· ὃς καὶ βοῦν ἄρας ἐν μέσῳ θεάτρῳ ποτέ, ὕστερον τὸν αὐτὸν ἐθοινήσατο, κατὰ τὸν βουθοίναν Ἡρακλέα τοῦτό γε ἀνδρισάμενος. οὗ Μίλωνος τὰ μὲν τῆς ζωῆς εὐκλεῆ, τὰ δὲ περὶ θάνατον οἴκτιστα. ἀποσφηνωθεὶς γὰρ δένδρῳ τὰς χεῖρας, ἐν τῷ τῆς οἰκείας ῥώμης πειρᾶσθαι, σφιγκτῷ θανάτῳ τὸν βίον μετήλλαξε. Μύσκελλον δέ φασί τινα οἰκιστὴν γενέσθαι τῆς Κρότωνος, ὃς ἐν Δελφοῖς συγχρηστηριαζόμενος τῷ Ἀρχίᾳ τῷ τὰς Συρακούσας κτίσαντι, καὶ συνερωτηθεὶς πότερον αἱρεῖται, πλοῦτον, ἢ ὑγίειαν, εἵλετο ὑγίειαν, Ἀρχίου ἑλομένου πλοῦτον. ὅθεν, φασί, Κροτωνιᾶται μὲν ὑγιεινόζωσι, Συρακούσιοι δὲ παμπλούσιοι. ἀφ' ὧν καὶ ἡ τῶν Συρακουσίων δεκάτη παροιμιάζεται, ὡς πάνυ πολλὴ περιγινομένη τῷ ταμείῳ τῆς πόλεως. καὶ τὸ Κρότωνος δὲ ὑγιέστερος, ὡς ὁ αὐτὸς λέγει Γεωγράφος, ἐντεῦθεν εἴλεκται, ὡς τῶν Κροτωνιατῶν εὐρώστων ὄντων. ὥστε οἱ ἀπὸ τοῦ κρότωνος τοῦ ζωΰφιου, ὃν κυνοραιστὴν λέγει ὁ Ὅμηρος, εἰπόντες ἑαυτὴν εἰλῆφθαι τὴν παροιμίαν, οὐκ εὖ λέγουσιν, ἀλλὰ παίζουσιν, ὡς καὶ εἴ τις εἴποι τινὰ κάνωπος ἀδικώτερον. ὁ δὲ περὶ Κρότωνα ποταμὸς Αἴσαρος ἀπὸ κυνηγοῦ Αἰσάρου καλεῖται, ὃς ἐλάφῳ διωκομένῃ αὐτόθι συνεισπεσὼν ἀφῆκεν οὕτω καλεῖσθαι τὸν ποταμόν. ἱστορεῖται δὲ καὶ ὅτι Κροτωνιᾶται ἐν τῷ Περσικῷ πολέμῳ ἐβοήθησαν τῇ Ἑλλάδι κινδυνευούσῃ, στείλαντες νῆα μίαν, ἧς ἦρχεν ἀνὴρ τρὶς νικήσας τὰ Πύθια, καλούμενος Φάϋλλος. λέγονται δὲ Ἀχαιοὶ εἶναι ἀνέκαθεν. ἔδοξαν δέ ποτε καὶ περὶ ἰατρικὴν εὐδοκιμῆσαι, διά τινα Δημοκήδην Κροτωνιάτην ἔνδοξον ἰατρόν.

2. Ὅτι Λακίνιον, ἱερὸν ἦν Ἥρας, πλούσιον ὑπάρξαν ποτέ. ὄρος δὲ Κρότωνος ἦν Λακίνιον· ἐξ οὗ καὶ ἱερὸν Λακίνιον, καὶ Ἥρα Λακινία.

3. Ὅτι Σύβαρις ἀρχαῖον κτίσμα, μεταξὺ δύο ποταμῶν, τοῦ τε Κράθιδος καὶ τοῦ Συβάριδος, πέντε καὶ εἴκοσι πόλεις ποτὲ ὑπηκόους ἔχουσα, κατὰ τὸν Γεωγράφον, καὶ τριάκοντα μυριάσιν ἀνδρῶν ἐπὶ Κροτωνιάτας στρατεύσασα. ἀφῃρέθη δέ, φασί, τὴν εὐδαιμονίαν τὰ

τῶν

Optabile oppidum bene coronatæ Crotonis,
Quod incolitur amœni apud Æſari fluenta:
Ubi excelſam videas Laciniæ ædem Junonis.
Eſt autem etiam ibi Jove valde irato
Infelix Sybaris incolas gemens interemptos,
Qui inſanierunt ſupra modum ob Alphei præmia.

τρυφῆς, ἐν ἡμέραις ἑβδομήκοντα. ἑλόντες γὰρ τὴν πόλιν οἱ Κροτωνιᾶται ἐπήγαγον τὸν ποταμὸν, καὶ κατέκλυσαν αὐτήν. ὕστερον δὲ τῆς πόλεως μετατεθείσης καὶ συνοικισθείσης ὑπὸ Ἀθηναίων καὶ ἄλλων Ἑλλήνων, Θούριοι προσηγορεύθησαν ἀπὸ κρήνης τινὸς ὁμωνύμου. ἱστορεῖται δὲ καὶ ὅτι τῶν μνημονευθέντων ποταμῶν ὁ Σύβαρις μὲν τῶν ἵππων τοὺς πίνοντας ἀπ' αὐτοῦ πταρζειν ποιεῖ, [illegible]ρᾶθις δὲ τοὺς ἐν αὐτῷ [illegible]βομένους ξανθοτριχεῖν ποιεῖ καὶ λευκοτριχεῖν. ὃ καὶ περὶ τοῦ Ὁμηρικοῦ Ξάνθου ὁ Ἀριστοτέλης ἱστόρησεν.

4. Ὅτι Συβαρῖται τὰ τοῦ Ἀλφειοῦ ἀναθήματα συλήσαντες, αἰσχρῶς ἀπεχρήσαντο, διὸ θεομηνίαν ἐπεσπάσαντο· ἐπεὶ πρὸς ἔσχατον τρυφῆς ἐλάσαντες, ἤσκησαν καὶ τοὺς ἵππους εἰς εὐρυθμίαν, καὶ ἐδίδαξαν καταυλουμένους ὀρχεῖσθαί τε καὶ ὀρθοῦσθαι, γέγονεν αὐτοῖς τοῦτο πανωλεθρίας αἴτιον. ἐχρῆν δὲ τοὺς Συβαρίτας μὴ οὕτω ποιεῖν, ἀλλὰ πολεμιστὰς τοὺς ἵππους γυμνάζειν, καθάπερ Ἀρτίβιος Πέρσης ἀνὴρ στρατηγὸς ἵππον ἐδίδαξεν ὀρθὸν ἱστασθαι πρὸς ὁπλίτην, ὡς Ἡρόδοτος ἱστορεῖ, καὶ τὸν προστυχόντα κατεργάζεσθαι, ποσί τε πλήττοντα καὶ στόματι δάκνοντα. ἐκεῖνοι δὲ, πανηγυρικῶς τοὺς ἵππους ἀσκήσαντες, ἀπεσφαιρίσθησαν εἰς πτῶμα θανάσιμον. πολέμου γὰρ κινηθέντος αὐτοῖς τε καὶ τοῖς Κροτωνιάταις, ῥίπτουσι μὲν τὰ ὅπλα οἱ τοῦ Κρότωνος, τύμπανα δὲ ἀράσσουσι, καὶ κύμβαλα καὶ αὐλοὺς μελῳδοῦσι καὶ κρόταλα, καὶ ὅσα ἐσήμαινον τοὺς πρὸς ὄρχησιν. καὶ οἱ ἵπποι τοῦ φίλου βόμβου ἀκούσαντες, βακχεύονται πρὸς ὄρχησιν, καὶ ἀκρατεῖς ἑαυτῶν γενόμενοι ἀποσείονται τοὺς ἐπιβάτας, καὶ προχείρους ἐκτίθενται τοῖς πολεμίοις εἰς ὄλεθρον· καὶ οὕτως ἠρήμωται Σύβαρις, τρυφῆς γενομένη πείρατα, διὰ ποινὴν, φασὶν, ἱεροσυλίας, ἣν ἐν τῇ κατὰ Πελοπόννησον βωμῷ τοῦ Ἀλφειοῦ ποταμοῦ ἐπλημμέλησαν. ὅθεν καὶ ὁ Διονύσιος, οἰκτιζόμενος αὐτὴν, φησὶ, δειλαία Σύβαρις τοὺς ναίοντας στενάχουσα πεσόντας, ἐπεὶ οὐ κατὰ αἶσαν τοῖς Ἀλφειοῦ γεράεσσιν ἐπεμήναντο, τουτέστιν ἐπεμάνησαν μανίαν ὀνομάσας τὴν τῆς φιλοχρηματίας ἔρωτα. οὕτως μανία καλῶς ἐπιλέγεται παντὶ πράγματι παρὰ τὸ δέον πλεονάζοντι. οὕτω γὰρ καὶ ἐρωτομανία καλεῖται, καὶ ὀψομανία, καὶ οἰνομανὴς ἄνθρωπος, καὶ τοιαῦτα πολλά. Σημείωσαι δὲ ὅτι τὸ ἀνάθημα, καὶ θεῖον γέρας λέγεται. ἰδοὺ γὰρ ὁ Διονύσιος Ἀλφειοῦ γέρα λέγει τὰ ἐν ναῷ κειμήλια. ἄλλοι δέ φασι τοὺς Συβαρίτας ἀπολωλέναι κατὰ χρησμὸν παλαιὸν, διότι πρὸ θεοῦ ἐτίμησαν ἄνθρωπον, ὅτε τῶν τις Συβαριτῶν οἰκέτην μαστίζων, φυγόντα μὲν εἰς θεοῦ ἐτίμα ἱερὸν ἔτυπτεν, ἐς μνῆμα δὲ πατρικὸν καταφυγόντα ᾐδέσθη· ὅτε καὶ ἀποστραφῆναί φασι τὸ τῆς Ἥρας ἄγαλμα, βαρυνθὲν ἐπὶ τῷ γενομένῳ. διὸ καὶ ἐξ ἱερῶν, φασὶ, κατὰ τὸν χρησμὸν, ἡ πόλις γενομένη ἀνάστατος. ἔλεγε δὲ ὁ ῥηθεὶς χρησμὸς, τότε τοὺς Συβαρίτας ἐξολεῖσθαι, ὅτε πρὸ θεοῦ ἄνδρα στήσονται· ὕστερον μέντοι χρόνῳ οἱ Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι ἀποικίαν στείλαντες τὴν πόλιν συνῴκισαν, καὶ Θούριον, ὡς εἴρηται,

Σαυνῖται [1] δ᾽ ἐπὶ τοῖσι μέσην χθόνα ναιετάουσι,
Καὶ [2] Μαρσῶν θοὰ φῦλα. [3] Τάρας δ᾽ ἁλὸς ἐγγύθι κεῖται,
Ἣν ποτ᾽ Ἀμυκλαίων ἐπολίσσατο καρτερὸς Ἄρης.
Ἐξείης δ᾽ ἐπὶ τοῖσι [4] Καλαβρὸς ἤθεα γαίης,

ται, μετωνόμασται. καὶ ἔστιν ἡ εἰς τὸ Θούριον ἀποικία πολλὴ ἐν ταῖς ἱστορίαις· καί τινας Θουριομάντεις ὁ Κωμικὸς λέγει, ὡς εἰς αὐτὴν ὁδηγήσαντας. ἱστορεῖται δὲ καὶ χλιδανὸς ἀνὴρ καὶ πάνυ τρυφῶν Σμινδυρίδης ὁ Συβαρίτης.

1. Ὅτι μετὰ τοὺς Συβαρίτας μέσην χθόνα οἰκοῦσιν οἱ Σαυνῖται, οὓς διὰ τοῦ μ Σαμνίτας οἱ Ῥωμαῖοι λέγουσιν, ὡς καὶ ἡ γραφὴ τοῦ Διοδώρου δηλοῖ.

2. Ὅτι Μαρσῶν θοὰ φῦλα εἰπών, ὠκύποδας εἶναι παρεμφαίνει τοὺς Μαρσούς. ἀπὸ τούτων ὁ ἀοίδιμος Μαρσικὸς Ῥωμαϊκὸς ὀνομάζεται πόλεμος, ἀρξάντων τῆς ἀποστάσεως. ἐκ τούτων οἱ Ῥωμαῖοι πιστεύουσιν ἐχιδνολογεῖν τινας, εἰς κατασκευὴν θηριακῆς, ὡς δηλοῖ ὁ εἰπὼν ὅτι ἐν Ῥώμῃ τὰς ἐχίδνας θηρεύουσιν, οὓς ὀνομάζουσι Μαρσούς.

3. Ὅτι ἡ Τάρας, ἡ καὶ Ταρεντὸς, ἐγγὺς κεῖται ἁλός· ὅθεν Ἴκκος ἦν ὁ Ταραντῖνος ἰατρός, ὃς ἐπὶ βίου εὐτελείᾳ εἰς παροιμίαν κεῖται [illegible] λέγεται Ἴκκου δεῖπνον, ἐπὶ τῶν ἀσε[illegible] [illegible]ούντων. ἐκεῖθεν δὲ καὶ Ῥίνθων [illegible] ὁ ἐπικαλούμενος Φλύαξ, ἤγουν Φλύαρος, ὑποκοριστικῶς. ὡς τὰ τραγικὰ εἰς γελοῖα μεταρρυθμίζων, καὶ παίζων ἐν οὐ παικτοῖς, ἀλλὰ φλυαρῶν ἄντικρυς. ἐλέγετο δὲ καὶ ἀρσενικῶς ὁ Τάρας, ἐξ ἀναλογίας. οὐδὲν γάρ ἐστιν εἰς ρας βαρύτονον θηλυκόν. ἐπεχωρίαζε δέ ποτε αὐτόθι ἡ ἐνόπλιος ἱππηλασία· ὅθεν ταραντινίζειν ἐλέγετο, τὸ τὴν ἐνόπλιον καὶ εἰς μάχας χρήσιμον ἱππασίαν ποιεῖσθαι. ὠνόμασται δὲ ἡ πόλις ἀπό τινος ἥρωος Τάραντος. ἔχει δὲ καὶ Λακεδαιμονίων ἀποικίαν· διὸ καὶ λέγει ὁ Διονύσιος, ὅτι Ἀμυκλαίων αὐτὴν ἐπολίσατο κράτιστος Ἄρης, τουτέστι Λακώνων, ὧν μέρος αἱ Ἀμύκλαι. Λακεδαιμόνιοι γὰρ συνεχῶς ἀφισταμένοις τοῖς ὑπ᾽ αὐτοὺς Μεσσηνίοις ἐπιστρατεύσαντες, ὡρκωμότησαν μὴ μὴν ὑποστρέψειν, πρὶν ἂν ἐκείνους κατὰ κράτος δουλώσωνται. ὅτε καὶ οἱ μὴ μετασχόντες τῆς στρατείας δοῦλοι ἐκρίθησαν, καὶ ἐκλήθησαν καὶ αὐτοὶ Εἵλωτες. ἐπεκτεινομένου δὲ καιροῦ πολλοῦ τοῦ πολέμου, πέμπουσιν αἱ πρεσβύτιδες διδάσκουσαι ὡς ἄτεκνοι τελευτᾶσιν αἱ γυναῖκες, καὶ κίνδυνός ἐστι λειπανδρῆσαι τὴν πατρίδα, εἰ μὴ ποιήσονται παρθένοις τῶν γυναικῶν [illegible]πιλεξάμενοι πεντήκοντα εὐρώστους καὶ νε[illegible]τας, καὶ οἵους παιδοποιεῖν (ὅσοι δηλαδὴ παῖδες συνεξελθόντες τοῖς ἐν ἡλικίᾳ ἤγουν τοῖς τελείοις ἀνδράσιν, οὐ μετέσχον ἐκείνων τῶν ὅρκων) ἐπέτυξαν συγγίνεσθαι ταῖς παρθένοις ἀπάσαις ἅπαντας, ὡς ἂν οὕτω πολυτεκνήσωσι. καὶ ἀπ᾽ αὐτῶν ἐκεῖναι συλλαβοῦσαι ἀπέτεκον. οἱ δὲ τεχθέντες, οἷα μὴ τραφέντες γνησίως καὶ εὐγενῶς, κατὰ τοὺς νόμους τοῦ Λυκούργου, ἄλλως καὶ οὐχ ὡς ἔδει ἐπολιτεύοντο. ἕως οὗ μετὰ ἐννεακαίδεκα ἔτη Μεσσήνης ἁλούσης, ἐπανελθόντες οἱ ἐν τῷ πολέμῳ, καὶ μοχθηρὰν εὑρόντες τὴν πολιτείαν, ἐξήλασαν αὐτούς. οὓς καὶ Φίλανθός τις ἀνὴρ ἐξ[illegible]ερος λαβών, καὶ εἰς ἀποικίαν στελε[illegible]κισε τῷ Τάραντι. ἐκαλοῦντο δὲ Πα[illegible] οἱ ἐκ τῶν παρθένων ἐκείνων γενό[illegible] τεροι δέ φασι τοὺς τοιούτους [illegible] νόθους ὑπὸ τῶν Λακώνων [illegible] μελλητὰς ἐπαναστῆναι αὐ[illegible] μὴ φέροντας· διὸ καὶ ἐκπ[illegible] ποικίαν. ἄλλοι δὲ ἱστοροῦσι[illegible] θέντες οἱ Παρθενίαι, ὡς [illegible] φῶντες, καὶ μὴ ἀνασχόμενοι τῆς ἀτι[illegible] ἐπιβουλεύσαν ὁμόφρονες ὄντες πάντες,

Saunitæ vero poſt hos mediterraneam terram occupant,
Et Marſorum veloces gentes. Tarentum vero prope mare jacet,
Quod olim Amyclæorum condidit fortis Mars.
At deinceps poſt hos Calabricæ ſedes terræ,

ὡς ἀλλήλων ἀδελφοὶ νομιζόμενοι· ὕστερον δὲ συμπεισθέντες ἐξῆλθον εἰς τὴν ῥηθεῖσαν ἀποικίαν. ἴσχυσαν δέ ποτε καθ' ὑπερβολὴν οἱ Ταραντῖνοι. ἐπέτριψε δὲ καὶ αὐτοὺς ἡ τρυφὴ, παρ' οἷς πανδήμους ἑορτὰς κατ' ἔτος πλείους ἢ τὰς ἄλλας ἡμέρας συνέβαινεν ἄγεσθαι, ὡς ἡ ἱστορία φησὶ, σοφισαμένοις διὰ τρυφὴν καὶ ἀργίαν τὰς συνεχεῖς ἑορτάς· ὡς καὶ ἡ παροιμία φησὶν, ἀργοῖς αἰὲν ἑορτή. τάχα δὲ τὸ λεπτὸν γυναικεῖον περίβλημα τὸ ταραντινίδιον παρ' αὐτοῖς διὰ τρυφὴν [illegible] κεῖται δὲ, φασὶν, ὁ Τά[illegible]ς, ἢ κατὰ Διονύσιον θηλυκῶς ἡ Τάρας, [illegible]πὶ χερρονήσου, ὡς καὶ τὰ πλοῖα ὑπερνεολκεῖσθαι ῥᾳδίως ἑκατέρωθεν, στενοῦ ὄντος τοῦ αὐχένος τῆς χερρονήσου.

4. Ὅτι Καλαβροὶ καὶ Ἰάπυγες ἄρχονται μὲν ἀπὸ Τάραντος, καὶ τοῦ τῶν Μαρσῶν ἔθνους, τείνονται δὲ μέχρι τῆς παραλίου Ὑρίου, ὅπου σύρεται, φησὶν, ἡ Ἀδριὰς ἅλμη εἰς τὸν Ἀκυλήϊον κόλπον, ἤγουν τὸν περὶ Ἐνετίαν τὸν τοῦ Ἀδριάδος μυχόν· ὃς λέγεται καὶ Ἀκυλήσιος, κατὰ σχηματισμὸν τύπου Ἰταλικοῦ, ἀπὸ Ἀκυληΐας. πόλις δὲ ἡ Ἀκυληΐα μεγίστη, ἡ λεγομένη καὶ Ἀκυλία τετρασυλλάβως· παρονομαζομένη ἀπὸ ἀετοῦ, ὃς ἀκύλας παρὰ τῶν ἐκεῖ ἐλέγετο· πλησιάζουσα μὲν μάλιστα τῷ [illegible]δοτάτῳ μυχῷ τοῦ Ἀδρίου κόλπου, ἔξωθεν δὲ οὖσα τῶν Ἐνετικῶν ὅρων· καὶ, ὥς τινές φα[illegible], ἀπὸ θαλάσσης ρ΄. μίλια κειμένη, Ῥωμα[illegible] κτίσμα. ἀναπλεῖται δὲ ὁλκάσι, κατά [illegible]ινα ποταμὸν, καὶ ἀνεῖται εἰς ἐμπόριον [illegible]οῖς περὶ τὸν Ἴστρον Ἰλλυριοῖς. Ἰστέον δὲ [illegible]τι οὗτος μὲν τὴν Ὑρίον εἶπε θηλυκῶς, ἣν καὶ ἐπανέλαβε συνήθως, οἷα [illegible]λόγου ἀξίαν. οἱ δὲ ἄλλοι οὐδετέρως τὸ Ὑρίον λέγουσι. Κρητῶν δὲ κτίσμα ἡ πόλις Ὑρία, κατὰ Ἡρόδοτον, κτισθεῖσα ὅτε οἱ Κρῆτες εἰς Σικελίαν ἀφικόμενοι ἐπὶ πολιορκίᾳ, καὶ μηδὲν ἰσχύσαντες, ἐξεβλήθησαν εἰς τὴν γῆν χειμῶνι μεγάλῳ. Ἰστέον δὲ καὶ ὅτι κατὰ τὸν Γεωγράφον οἱ Ἰάπυγες καὶ Μεσσάπυγοι λέγονται· καὶ ὅτι ἀπό τινος Ἰάπυγος οὕτως ὀνομάζονται, ὃς ἐκ γυναικὸς Κρήσσης τοῦ Δαιδάλου ἐγένετο. τὴν δὲ ῥηθεῖσαν Ἐνετίαν (εἰ χρὴ καὶ παρεκβατικώτερον εἰπεῖν) νῦν μὲν Βενετίαν φασίν· καθὸ καὶ Ἀρριανὸς φησιν, ὅτι "Ἐνετοὶ ποιήσαντες ἐν μάχῃ τῇ κατὰ Ἀσσυρίους, καὶ ἀποπεράσαντες εἰς Εὐρώπην, ᾠκίσθησαν περὶ Πάδῳ τῷ ποταμῷ· καὶ τῇ ἐπιχωρίῳ γλώττῃ Βενετοὶ ἐς τοῦτο ἔτι ἀντὶ Ἐνετῶν κληΐζονται. καὶ Βενετία ἡ γῆ ἣν τινὰ νέμονται". οἱ δὲ παλαιοὶ Οὐενετίαν τὴν χώραν πεντασυλλάβως ἐκάλουν, κατὰ γλῶσσαν οἰκείαν· ὡς καὶ τὸν Ὀκτάβιον, Ὀκταούϊον, καὶ τὸν Φλαβιανὸν, Φλαουϊανὸν, καὶ ὅσα τοιαῦτα. φασὶ δὲ αὐτοὺς ἐξ Ἐνετῶν τινων [illegible]δρῶν Ἀ[illegible]ιῶν κατάγεσθαι, οἳ ποιή[illegible]η, ἔν τινι πολέμῳ, εἰς τὴ[illegible] Εὐρώ[illegible]ην ἔφυγον. ἄλλοι δὲ ἐκ τῶν κατὰ Παφλα[illegible]ίαν Ἐ[illegible]ῶν αὐτοὺς τὴν τοῦ γένους ῥίζαν ἕλκειν φασὶ, φύλου ἀξιολόγου πλανηθέντος μετὰ τὴν τῆς Τροίας ἅλωσιν, ὅτε τὸν ἡγεμόνα Πυλαιμένην ἀποβαλόντες ἦλθον εἰς Θρᾴκην, καὶ πλανώμενοι ἀφίκοντο εἰς τὴν νῦν Ἐνετικὴν περὶ τὸν τοῦ Ἀδρίου μυχόν. τῆς τοιαύτης δὲ τῶν Ἐνετῶν ῥίζης τῆς Παφλαγονικῆς μέμνηται καὶ ὁ Ποιητὴς, λέγων,

Ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων.

καὶ γέγραπται εἰς τοῦτο ἐκεῖ τὰ καίρια. πολλοὶ δέ τινες τοὺς Ἐνετοὺς τούτους τοὺς περὶ Ἀκυληΐαν, ἀποίκους φασὶν

Φῦλά τ' Ἰηπύγων τετανυσμένα μέσφ' Ὑλλήοιο
Παῤῥαλίας· Ὕλλου, τόθι σύρεται Ἀδριὰς ἅλμη
Πόντον ἐς ἀγχίπορον Ἀκυλήϊον· ἔνθα νένασται
Ἄστυ [1] Τεργεσταίων, μυχάτοις ἐπὶ πείρασι πόντου.
Τόσσα μὲν Αὐσονίην περιβόσκεται ἔθνεα γαῖαν.
Κεῖθεν [2] δ' εἰς αὐγὰς στρεπτὴ παρασύρεται ἅλμη,
Θῖνας ὑποξύουσα Λιβυρνίδας, ἀμφί τ' ἐρυμνὴν
Ὑλλείων χθόνα πᾶσαν ὅση παρακέκλιται ἰσθμῷ,
Βουλιμέων τ' ἀκτάς. ἐπὶ δ' ἄσπετον ὁλκὸν ἄγουσα
Ἰλλυρικὴν περὶ χέρσον ἑλίσσεται, ἄχρι κολώνης,
Οὐρέων τ' ἠλιβάτων, [3] τὰ Κεραύνια κικλήσκουσι.
Κεῖνον δ' ἂν περὶ κόλπον ἴδοις ἐρικυδέα τύμβον,
Τύμβον ὃν [4] Ἁρμονίης Κάδμοιό τε φῆμις ἐνίσπει.

φασὶν ὁμωνύμων καὶ παρωκεανιτῶν, οὐ μόνον Ἐνετῶν καλουμένων, ἀλλὰ καὶ Βιλγῶν. ἔθνος δὲ Κελτικὸν οἱ Βέλγαι. καί φησιν ὁ Γεωγράφος τοὺς τοιούτους Οὐενετοὺς, δηλαδὴ τοὺς παρωκεανίτας, οἰκιστὰς εἶναι τῶν κατὰ τὸν Ἀδρίαν Οὐενετῶν, καὶ ἐκείνους ναυμαχῆσαι πρὸς Καίσαρα, κωλύοντας αὐτὸν τοῦ εἰς τὴν Βρεττανίαν πλοῦ. ἄλλοι δὲ, εἰπόντες καὶ αὐτοὶ Ἐνετοὺς Παφλαγονικοὺς ἐκ τοῦ Τρωϊκοῦ πολέμου διασωθῆναι αὐ[illegible] μετὰ τοῦ Ἀντήνορος τοῦ Τρωϊκοῦ, φασὶν ὅτι μ[illegible] τούτου ἡ περὶ τὴν ἱπποτροφίαν σπ[illegible]ή, ἣν εἶχον καὶ οἱ Παφ[illegible] Ἐνετοὶ, καθ' Ὅμηρον· ὀνομαστὴ γὰρ ἡ Ἐνετικὴ πωλεία εἶχεν ἐν Ἕλλησιν. ἐθύετο δὲ παρ' αὐτῶν λευκὸς ἵππος τῷ Διομήδει. ὁμοιοπαθεῖ δὲ, φασὶ, τῷ ὠκεανῷ ἡ κατ' αὐτοὺς θάλασσα, ἀμπώτεις ὁμοίας ἐκείνῳ ποιοῦσα καὶ πλημμυρίδας, ὑφ' ὧν τὸ πεδίον λιμνοθαλάσσης μεστὸν γινόμενον, κατὰ τὴν παλαιὰν ἱστορίαν, διώρυξι καὶ παραχώμασιν, ὡς τὰ τῆς Αἰγύπτου, διοχετεύεται. κἀκεῖνο δὲ ἱστέον, ὅτι τινὲς πᾶσαν τὴν μετὰ τοὺς Καλαβροὺς, Ἀπουλίαν ἐκάλουν, καὶ τὸ ἔθνος Ἀπούλους· καὶ ὅτι Καλαβρία οὐ διὰ τῆς αυ διφθόγγου, ἀλλὰ διὰ τοῦ β γράφουσιν οἱ ἀκριβεῖς. [illegible] δὲ καὶ ὅτι ὥσπερ Θρηΐκιος ἄνεμος λέγεται [illegible] διὰ τῆς Θρᾴκης πνέων, καὶ Λοκρὸς [illegible] διὰ τῆς Λοκρίδος, οὕτω καὶ Ἰάπυξ [illegible] διὰ τῆς γῆς τῶν Ἰαπύγων.

1. Ὅτι τὸ Τεργεσταίων Ἰλλυρικὸν ἄστυ, τουτέστι τὸ Τέργεστρον, παρὰ τοῖς μυχάτοις πέρασι τῆς Ἀδριάδος ἅλμης ἐστί. τοῦτο καὶ Τέργεστρον λέγεται ἀπὸ Τεργέστρου τινὸς, ὡς ἐν τῇ καταγραφῇ δηλοῦται τῶν ἐθνικῶν.

2. Ὅτι περὶ τὰ ἔσχατα τῆς Ἀδριάδος νῆσοι Λιβυρνίαι, ἢ Λιβυρνίδες· αἵτινες, ὡς προϊὼν ἐρεῖ, μετὰ τὰς Ἀψύρτου νήσους ἐῤῥίζωνται· ἔνθα εἰς αὐγὰς στρεπτὴ παρασύρεται ἅλμη, τουτέστιν, ὅπου πρὸς ἠῶ κυρτοῦται ὁ κόλπος. τοῦτο δὲ ἰδί[illegible] καὶ ὅτι εἶπεν ὡς ἡ Ἀδριὰς εἰς νότον [illegible]μον τεκμαίρεται τὸν ὁλκόν. ἐκεῖ δέ, φησὶ, καὶ ἡ τῶν Ὑλλήων, ἤτοι Ὑλλέ[illegible] ἐρυμνὴ γῆ ὅση παράκειται τῷ ἰσθμῷ. χεῤῥόνησον γάρ φασιν οἰκεῖν τοὺς Ὑλλεῖς. περὶ ὧν καὶ ταῦτα ἱστορεῖται. Ὑλλεῖς ἔθνος Ἰλλυρικὸν, ἀπὸ Ὕλλου τοῦ Ἡρακλέους, ὥς φησιν Ἀπολλώνιος. ἔστι δὲ [illegible]πόλις Ὕλλη. Ἀπολλόδωρος δὲ Ὕλλους τούτους [illegible]φει, λέγων, « Μετὰ τοὺς Ὕλλους Λιβυρνοί, [illegible]

« τινὲς

Genteſque Japygum extentæ uſque ad Hyrium
Maritimam: Hyrium, ubi trahitur Adrium ſalum
Mare in finitimum Aquileenſe: ubi condita eſt
Urbs Tegeſtræorum, intimis in finibus maris.
Tot quidem Auſoniam circum-depaſcuntur gentes terram.
Inde autem ad auroram converſum circumvolvitur ſalum,
Littora ſubradens Liburnica, circumque firmam
Hylleorum terram omnem quæcunque adjacet iſthmo,
Bulimeorumq; littora. Poſt vero immenſum tractum ducens
Illyricam circum terram volvitur, uſque ad jugum,
Monteſque excelſos, quos Ceraunios vocant.
Illum autem circa ſinum videas inſignem tumulum,
Tumulum quem Harmoniæ Cadmique fama dicit.

" τινὲς [illegible] οἱ Θρᾷκες". τούτων [illegible] προσκεῖται χερρόνησος Ὕλλις, ἡλίκη μάλιστα Πελοπόννησος, ιε΄. πόλεις οἰκουμένας ἔχουσι παμμεγέθεις. καὶ ταύτας μὲν οὕτως. τὸ δὲ Ὑλλήων, τὸ παρὰ τῷ Διονυσίῳ, πολλὰ τῶν ἀντιγράφων διὰ διφθόγγου γράφουσι, πλεονασμῷ τοῦ ἰῶτα. Ἰστέον γὰρ ὅτι τὰ εἰς ευς πενταχῶς τὴν κλίσιν εἶχον παρὰ τοῖς παλαιοῖς· διὰ τοῦ ιος, κοινῶς· διὰ τοῦ ιως, Ἀττικῶς· διὰ τοῦ ηος, κατὰ τὴν νέαν Ἰάδα· κατὰ δὲ τὴν παλαιάν, καὶ διὰ τοῦ ειος, κατὰ παρέλκυσιν τῆς ει διφθόγγου· καὶ διὰ τοῦ ιος, ἐκτεταμένου τοῦ ἰῶτα, ὡς καὶ Σώφρονος λέγει. ἐκεῖ δέ, φησί, καὶ οἱ Βουλιμεῖς, οὕς τινες διὰ τοῦ ν γράφουσι Βουλινεῖς, ἢ Βουλινοῦς. τὰς δὲ Λιβουρνίδας νήσους ἱστόρηται περὶ μ΄. εἶναι τὸν ἀριθμόν. παρονομάζονται δὲ ἀπὸ Λιβουρνῶν. ἔθνος δὲ οἱ Λιβουρνοὶ ἐν τοῖς ἐνδοτέρω τοῦ Ἀδρίου, ἀπό τινος Λιβουρνοῦ ἀνδρὸς εὑρόντος τὰ Λιβουρνικὰ λεγόμενα σκάφη. Ἰστέον δὲ ὅτι ἐν Λατινικῷ λεξικῷ εὕρηται ὅτι Λιβουρνίδες νῆες αἱ μακραί.

3. Ὅτι τῆς Ἰλλυρικῆς χώρας πέρας αἱ ἠλίβατοι κολῶναι, τὰ Κεραύνια ὄρη, οὕτω καλούμενα διὰ τὸ συχνῶς ἐκεῖ πίπτειν κεραυνούς. περὶ ἃ κεῖται καὶ ἡ τῆς νέας Ἠπείρου μητρόπολις, ἡ ποτὲ καλουμένη Ἐπίδαμνος, ἤτοι τὸ Δυρράχιον, δηλοῦν ἐκ τῆς τοιαύτης κλήσεως τὴν τοῦ τόπου τραχύτητα. δυσράχιον γάρ ἐστιν, ὃ ἐστι δυσέξοχον. τρέψαν δὲ τὸ σ εἰς ρ, εὐφωνότερον καλεῖται Δυρράχιον· καθὰ καὶ τὸ Τυρσηνός, Τυρρηνός· θαρσός, θαρρός, ὁ καλαθίσκος πυρσός, πυρρός· καὶ ἄλλα. ἀρχὴ δὲ τὰ Κεραύνια ὄρη τοῦ Ἀδρίου καὶ τοῦ Ἰονίου πελάγους· ὧν εἰ καὶ τὸ στόμα κοινόν, [illegible] διαφέρει τῇ θέσει. Ἰόνιος μὲν γὰρ κόλπος ὁ μετὰ τὸ στόμα εὐθύς, ἀπὸ Ἰονίου [illegible] τοῦ [illegible] ἔχων τὴν κλῆσιν, ἢ καὶ ἀπὸ τῆς Ἰοῦς· Ἀδρίας δέ, ὁ ἐντὸς μέχρι τοῦ μυχοῦ, ἀπὸ Ἀδρίας, ὡς προείρηται, πόλεως ἐπιφανοῦς, ἢ ἐξ ὁμωνύμου ποταμοῦ. ἐκεῖ δὲ ὥσπερ τρίτον τι τμῆμα, ὁ Ἀκυληΐος κόλπος, ὡς ἀνωτέρω ἔφη ὁ Διονύσιος. εἰσὶ δὲ καὶ πρὸς ἄρκτον τοῦ βορείου Καυκάσου ὄρη Κεραύνια. Ἰλλυριοὺς δέ φασι τὸ ἔθνος κληθῆναι ἀπὸ Ἰλλυριοῦ, παιδὸς Κάδμου καὶ Ἁρμονίας.

4. Ὅτι περὶ τὸν κόλπον τὸν κατὰ τὰ Κεραύνια ὄρη ἴδοις ἂν τὸν τοῦ Κάδμου καὶ τῆς γυναικὸς Ἁρμονίας τύμβον· ὃν καὶ ἀναδιπλοῖ

Κεῖθι γὰρ εἰς ὀφίων σκολιὸν γένος ἠλλάξαντο,
Ὁππότ' ἀπ' Ἰσμηνοῦ λιπαρὸν μετὰ γῆρας ἵκοντο.
Ἔνθα σφιν τέρας ἄλλο θεοὶ θέσαν· ἀμφὶ γὰρ αἶαν
Κείνην ἀμφοτέρωθεν ἐρηρέδαται δύο πέτραι,
Αἵ τ' ἄμφω συνίασι δονεύμεναι, εὖτέ τις ἀρχὴ
Γίγνεται ἐνναέτησι κυλινδομένοιο κακοῖο.
Πρὸς δὲ [1] νότον, μάλα πολλὸν ὑπὲρ Θρήκην ἐρίβωλον,
Ὠρικίην θ' ὑπὲρ αἶαν, ἐρείδεται Ἑλλάδος ἀρχὴ,
Πολλὸν ἀνερχομένη, [2] δοιοῖς ζωσθεῖσα θαλάσσῃ,
Αἰγαίῃ, Σικελῇ τ'· ἀνέμων δέ τοι [3] ἔλλαχ' ἑκάστη·
Ἑσπέριον Σικελὴ, τόν τε ζέφυρον καλέουσιν,
Αἰγαίη δ' εὖρον. [4] Πέλοπος δ' ἐπὶ νῆσος ὄπηδεῖ,
Εἰδομένη πλατάνοιο μυουρίζοντι πετήλῳ.

διπλοῖ δι' ἐπαναλήψεως, καὶ ἐρικυδέα καλεῖ. περὶ ὧν μῦθός ἐστι, φησὶν, ὡς ἄρα μετὰ λιπαρὸν γῆρας Θήβηθεν ἐκεῖ ἐλθόντες εἰς ὄφεων σκολιὸν γένος ἠλλάξαντο· ἐπεὶ καὶ Κάδμος τὸν Ἄρεος ἀνεῖλέ ποτε ἐν Θήβαις δράκοντα, τὸν τῆς Δίρκης φύλακα. δηλοῖ δὲ ὁ λόγος ὡς ἐξ Ἑλλάδος αὐτόθι ἐλθόντες ἐκεῖνοι μετέθεντο τὴν Ἑλληνικὴν χρηστήθειαν, καὶ μετέπεσον ἐξ ἐπιεικείας πρεπούσης Ἕλλησιν εἰς σκολιὰ ἤθη, καὶ οἷ[illegible] ἀπειθῆ [illegible] βάρβαρα, παρὰ τὸ γῆρας δυσ[illegible]ραγησ[illegible] εἰς ἤθους μεταβολήν. καὶ ἔστιν [illegible]λλα[illegible]ιαι αὐτοὺς [illegible]ψεις, ὡ[illegible] εἰπεῖν, τὸ εἰς θηριωδίαν μεταμειφθῆναι. τὸ μέντοι Κέκροπά φασιν οἱ μῦθοι τοὐναντίον ἀπὸ ὄφεως εἰς ἄνθρωπον ἐλθεῖν, ἐπειδὴ ἐκεῖνος ἐλθὼν εἰς Ἑλλάδα, καὶ τὸν βάρβαρον Αἰγυπτιασμὸν ἀφεὶς, χρηστοὺς ἀνελάβετο τρόπους πολιτικούς. λέγει δὲ ὁ Διονύσιος καὶ ὅτι περὶ τὴν τοιαύτην γῆν δύο πέτραι ἀντικείμεναι ἀμφοτέρωθεν ἐρηρέδαται, καὶ αὗται, ὁπηνίκα τις ἀρχὴ γένηται τοῖς ἐκεῖ κυλινδουμένου κακοῦ, συνίασι, καὶ πρὸς ἑαυτὰς δονούμεναι προσαράσσονται, κατὰ τὰς μυθευομένας Πλαγκτάς. καὶ τοῦτό ἐστι τοῖς ἐγχωρίοις σημεῖον ἐσομένου πολέμου. τὸ δὲ ἐρηρε[illegible]οῖ μὲν τὸ ἐρηρεισμέναι εἰσὶ, καὶ ἑδραίως ἐρ[illegible]ίζονται· ἔστι δὲ Ἰωνικὸν, καὶ γίνεται ἀπὸ τρίτου ἑνικοῦ τοῦ ἐρήρεισται, ἀποβολῇ τοῦ σ, καὶ προσθέσει τῆς δα συλλαβῆς· ὁποῖον καὶ τὸ ἀνώμισται, ἀνωμίσδαται, πέφρασται, πεφράδαται, καὶ ὅσα τοιαῦτα. Ἱστέον δὲ ὅτι ὁ μὲν μῦθος τὴν τῷ Κάδμῳ συνοικήσασαν Ἁρμονίαν, Ἄρεος καὶ Ἀφροδίτης γενεαλογεῖ· Ἀρριανὸς δὲ Ἀσιανήν τε αὐτὴν οἶδε, καὶ Δαρδάνου ἀδελφήν. φησὶ γὰρ ὅτι "Κάδμος ὑπὸ τοῦ πατρὸς κατὰ "ζήτησιν τῆς ἀδελφῆς Εὐρώπης σταλεὶς, "καὶ πλανώμενος, περιπίπτει γῆμαι "Ἁρμονίᾳ τῇ τοῦ Δαρδάνου ἀδελφῇ· καὶ "ἁρπάσας, καὶ εἰς τὰς νῆας ἐνθέμενος, "προσέσχε τῇ Βοιωτῶν γῇ, ἔνθα Θη-"βαίων ἐγένετο κρατηρὸς, πλούτῳ τε εὐ-"δοκιμῶν καὶ τῇ ἄλλῃ σοφίᾳ".

1. Ὅτι πρὸς νότον, μάλα πολὺ ὑπέρ τε Θρᾴκην καὶ περὶ Ὠρ[illegible]αν, ἐρείδεται ἡ τῆς Ἑλλάδος ἀρχή. κ[illegible] σημείωσαι ὅτι Ὠρικίαν λέγει τὴν κατὰ Μολοττοὺς καὶ Θεσπρωτοὺς ἤπειρον· περὶ ἣν καὶ πόλις Ὤρικος, ὡς προγέγραπται, καὶ λιμήν, Ὤρικος κατὰ Ἡρόδοτον, Θεσπρωτικὸς ὢν καὶ Ἠπειρωτικός. ὡς πέρατα δὲ τῆς Ἑλλά-

Illic enim in ſerpentum flexuoſum genus mutati ſunt,
Quando ab Iſmeno opulentam poſt ſenectam migrarunt.
Ubi ipſis prodigium aliud dii fecerunt: circa namque terram
Illam utrinque ſita ſunt duo ſaxa;
Quæ ambo concurrunt agitata, quum aliquod principium
Eſt incolis mali quod advolvitur [*appropinquat ipſis.*]
Cæterum ad auſtrum, longe ſupra Thraciam feracem,
Oriciamque ſuper terram, ſitum eſt Græciæ initium,
Multum aſcendens, duplici cinctum mari,
Ægæo, Siculoque. ventum autem ſortitum eſt utrumque:
Siculum, occiduum, quem zephyrum appellant;
Ægæum vero, eurum. Pelopis autem inſula conſequitur,
Similis platani muris caudam imitanti folio.

δὸς ἔλαβε τὴν Θρᾴκην, καὶ τὴν Ὠρικίαν· τὸ μὲν ἀρκτῷον, τὴν Θρᾴκην· τὸ δὲ ἑσπέριον, τὴν Ὠρικίαν δηλαδή.

2. Ὅτι ἡ Ἑλλὰς διοσσῇ θαλάσσῃ ἔζωσται, τῇ Αἰγαίῃ τε καὶ τῇ Σικελικῇ· ὧν ἑκάστη ἄνεμον ἔλαχεν, εἰς ὃν ἀφορᾷ· τὸν ἑσπέριον μὲν ἡ Σικελική, Αἰγαίη δὲ τὸν εὖρον. τὸν δὲ ἑσπέριον ἄνεμον καὶ ζέφυρον καλεῖσθαί φησιν, ἐρεθίζων οἷον ἡμᾶς εἰς ἐτυμολογίας ἀνεύρεσιν. ζέφυρος γὰρ τρόπον τινὰ ταυτόν ἐστι τῷ ἑσπέριος ἄνεμος, ὡς ἀπὸ ζόφου, ὅ ἐστι τῆς ἑσπέρας οὖρος, ἤγουν ἄνεμος.

3. Ὅρα δὲ ὅτι ὀφείλων ἑκατέραν εἰπεῖν, διὰ τὴν Αἰγαίαν καὶ τὴν Σικελήν, (ἐπὶ δύο γὰρ συλληπτικῶς λέγεται τὸ ἑκάτερος) ὁ δὲ εἶπεν ἑκάστη· ὅπερ ἐπὶ πλήθους εἴωθε λέγεσθαι. ποιήσει δὲ τοῦτο καὶ ἐν τοῖς μετὰ ταῦτα· καὶ ἔστι τοιοῦτόν τι καὶ παρὰ τῷ Ἑρμογένει.

4. Ὅτι ἡ τοῦ Πέλοπος νῆσός ἐστι μὲν κυρίως χερρόνησος, ὅμως δὲ νῆσος μὲν λέγεται, ὡς παρὰ βραχὺ τοιαύτη οὖσα διὰ τὸν ἰσθμὸν δηλαδή, τουτέστι τὸν ὀλιγοστάδιον αὐχένα, καὶ ὡς θαλασσίοις, κατὰ τὸν Διονύσιον, ἐστεμμένη κόλποις ἔνθα καὶ ἔνθα· ὅπερ ταυτόν ἐστι τῷ ἀμφίαλος. καὶ ὅρα τὸ ἐστεμμένη, ἀντὶ τοῦ κυκλουμένη. καὶ ἴσως ἐνταῦθα κάλλιον οὕτως εἰπεῖν, παρόσον ἀνωτέρω ἐπὶ τῆς Ἑλλάδος ἔφη, ἐζῶσθαι αὐτὴν δισσαῖς θαλάσσαις εἰπών· καὶ διὰ τοῦτο μὲν ὀνομάζεται νῆσος. Πέλοπος δὲ λέγεται, διὰ τὸ τὸν Φρύγα ἢ Λυδὸν Πέλοπα κυριεῦσαί ποτε αὐτόθι, ἐπιγαμβρεύσαντα Οἰνομάῳ. λέγεται δὲ οὐ μόνον συνθέτως Πελοπόννησος, διὰ τοῦ δύο ν, ὡς Ἑκατόννησοι, ἐκ τοῦ Ἑκάτου, ἤγουν Ἀπόλλωνος, νῆσοι· ἀλλὰ καὶ ἁπλῶς, ἤτοι ἀσυνθέτως, ποτὲ μὲν Πελοπία γῆ, ὡς παρὰ Εὐριπίδῃ εὕρηται· ποτὲ δὲ νῆσος, ὡς αὐτὸς ὁ Διονύσιος ποιεῖ ἐν τῷ περὶ Ἀρκάδων λόγῳ. ὥσπερ καὶ τὸ ἀπὸ τοῦ Εὐξείνου ὕδατος στόμα τε ἁπλῶς λέγει, καὶ στόμα Πόντου, συνθέτως· οὕτω δὲ καὶ τὰς Θερμοπύλας, πύλας ἁπλῶς λεγομένας εὑρίσκομεν. ἔστι δὲ κατὰ τὸν ἰσθμὸν ἡ Πελοπόννησος συνεχὴς τῇ τῆς Ἑλλάδος πέζῃ. συνέοικε γὰρ ὁ τύπος ἐκείνης τῇ Ἑλλάδι, καὶ ἔοικε πλατάνου πετάλῳ μυουρίζοντι· τουτέστι, κατὰ μυὸς οὐρὰν στενουμένῳ καὶ λεπτυνομένῳ, κατὰ τὸν ἄκρον μόσχον, ἤτοι κατὰ τὸν καυλόν, οὗ τὸ φύλλον ἐξήρτηται. καὶ ὁ μὲν ἰσθμός, φησί, τῆς Πελοποννήσου ὁ τεσσαρακοντάσταδιος, εἰργόμενος στενὸς ἔοικε τῷ ἄ-

κρῳ

Ἄκρῳ μὲν γὰρ ἔοικεν ἐεργόμενος στενὸς ἰσθμὸς
Πρὸς βορέην, καὶ κοινὸν ἐφ' Ἑλλάδος [1] ἴχνος ἐρείδων·
Φύλλῳ δ' ἤπειρος περιδινήτῳ περίμετρος,
Κόλποις εἰναλίοις ἐστεμμένη ἔνθα καὶ ἔνθα.
Τῆς πρὸς μὲν [2] ζεφύροιο Τριφυλλίδος ἤθεα γαίης,
Ἔνθ' ἐρατεινότατος ποταμῶν Ἀλφειὸς ὁδεύει,
Σχιζόμενος προχοῇσι Μεσηνίου Εὐρώταο·
Οἵτ' ἄμφω Ἀσίηθεν ἀναβλύζουσι ῥέεθρα,
Καὶ ὁ μὲν Ἠλείων, ὁ δ' Ἀμυκλαίων χθόνα τέμνει.
Καδδὲ [3] μέσην νῆσον, κοίλην χθόνα ναιετάουσιν

κρῳ μόσχῳ τοῦ φύλλου, βόρειος ὤν, καὶ κοινὸν ἐφ' Ἑλλάδος ἴχνος ἐρείδων (ὡς τῆς Ἑλλάδος κατὰ συνέχειαν εὐθὺς κειμένης, ὡς εἴρηται, μετὰ τὸν ἰσθμόν) ἡ δὲ τῆς ἔσω ἠπείρου περίμετρος τῷ πολυδινήτῳ φύλλῳ περιέοικεν, ὡς πολλὰς ἐπικλάσεις ἔχουσα καὶ καμπὰς, καὶ ἐγκολπώματα, καθ' ὁμοιότητα τοῦ τῆς πλατάνου φύλλου. διὸ καὶ ὁ Πίνδαρος πολύγναμπτον μυχὸν λέγει τὴν Πελοπόννησον. ἀκρόπολιν δὲ τῆς Ἑλλάδος οἱ παλαιοί φασι τὴν Πελοπόννησον.

1. Ὅρα δὲ τὸ, ἴχνος ἐρείδων, ῥηθὲν ὡς ἐπὶ βάσεως ποδός. εἴρηται δὲ ὡς πρὸς τὸ, Πέλοπος νῆσος ὀπηδεῖ. ἀκόλουθα γὰρ ἀλλήλοις τὸ ὀπ[illegible]ιν, καὶ τὸ [illegible]νος ἐρείσαι. λέγεται δὲ καὶ ὅτι [illegible] χιδ[illegible]ισι κατά τι μῆκ[illegible] κατὰ π[illegible]τος, [illegible] χιλίων τετρακοσίων σταδίων. καὶ ὅτι κύκλῳ περίμετρος αὐτῆς μὴ κα[illegible]κολπίζοντι μὲν, πεντακισχιλίων σταδίων, ἢ καὶ πλειόνων· κατακολπίζοντι δὲ, ὑπὲρ τὰ πεντακισχίλια ἑξακόσια.

2. Ὅτι πρὸς ζέφυρον τῆς Πελοποννήσου ἡ Τριφυλὶς γῆ, μερὶς τῆς Ἤλιδος, ἔνθα ἐρατεινότατος ποταμῶν Ἀλφειὸς ὁδεύει, σχιζόμενος ἐκ τοῦ Μεσσηνίου Εὐρώτα· ἄμφω δὲ ἐκ μιᾶς πηγῆς ἀναβλύζοντες σχίζονται, τῆς καλουμένης Ἀσέας. διὸ καὶ γράφουσι τὰ τῶν ἀντιγράφων ὀρθότερα, Οἵτ' ἄμφω Ἀσίηθεν ἀναβλύζουσι ῥέεθρα, καὶ ὁ μὲν Ἠλείων, ὁ Ἀλφειός· ὁ δὲ Ἀμυκλαίων χθόνα τέμνει, ὁ Εὐρώτας. καὶ ὁ Γεωγράφος δέ φησιν ὅτι Ἀσέα κώμη τῆς Μεγάλης πόλεως, ἔχουσα δύο πηγὰς, ἐξ ὧν ῥέουσιν Εὐρώτας καὶ Ἀλφειός· οἳ, δύντες ὑπὸ γῆν, ἀνατέλλουσι μετὰ συχνὰ στάδια, καὶ τὸ ῥεῖθρον ἀναδείξαντες, ὁ μὲν γίνεται Λακωνικὸς, ὁ δὲ εἰς τὴν Πισάτιν κατάγεται γῆν, ἤτοι εἰς τὴν ὑμνουμένην Πίσαν, ἥτις δι' ἑνὸς γράφεται σίγμα, καὶ ἀπὸ κρήνης ἔχει Πίσης τὸ ὄνομα. αὐτὴ δὲ ἡ κρήνη οὕτω λέγεται, οἱονεὶ πίστρα τις οὖσα, ὅ ἐστι ποτίστρα· παρὰ τὸ πίσω μέλλοντα, οὗ ἡ χρῆσις παρὰ Πινδάρῳ. μεταξὺ δὲ ἡ τοιαύτη Πίσα Ὄσσης καὶ Ὀλύμπου, ὀρέων Πελοποννησιακῶν ὁμωνύμων τοῖς παρ' Ὁμήρῳ Μακεδονικοῖς ἢ Θετταλικοῖς· ὕδωρ δέ φασι περί που τὸν Ἀλφειὸν εἶναι, ὅπερ ἀλφοὺς ἰᾶται· ὅθεν τάχα καὶ ὁ ποταμὸς ἐκλήθη, πλεονασμῷ τῆς ει διφθόγγου, ὡς ἐπὶ τοῦ ἀδελφειὸς, καὶ τῶν ὁμοίων. ἀγαθὸν δὲ ἐστι τὸ τοιοῦτον ὕδωρ καὶ εἰς λ[illegible]ας καὶ λειχῆνας, Μελάμποδος χρησαμένου, φασὶ, τούτοις τοῖς ὕδασιν εἰς καθαρμὸν τῶν τοῦ Προίτου θυγατέρων, ὅτε ἐμάνησαν. ἐρατεινὸν δὲ ὁ Διονύσιος τὸν Ἀλφειὸν καλεῖ, διὰ τὸν μυθευόμενον τῆς Σικελικῆς Ἀρεθούσης ἔρωτα, ἧς, φασὶν, ἐρῶν, ἕως εἰς ἐκείνην ἐκ Πελοποννήσου ἀναδίδωσι γλυκὺς ἐραστὴς ἀμιγὴς ἅλμης θαλάσσης

φυλάσ-

Summitati enim ſimilis eſt conſtrictus anguſtus iſthmus
Ad boream, atque commune in Græciam veſtigium figens:
Folio vero continens circumflexuoſo in ambitu,
Sinibus marinis circumdata hinc inde.
Cujus quidem ad zephyrum Triphyllidis ſedes terræ,
Ubi amœniſſimus fluviorum Alpheus iter facit,
Diviſus fluentis à Meſenio Eurota:
Qui ambo ab Aſea emittunt fluenta; [ſecat.
Atque hic quidem Eleorum, ille vero Amyclæorum terram
In media autem inſula, cavam terram inhabitant

φυλάσσων τὸ ῥεῖθρον. ὁ δὲ Γεωγράφος καὶ τὸν Ἄδην ἱκανῶς αὐτόθι ἐκπιτιμῆσθαί φησιν. ἱστορεῖται δὲ κατὰ ζῆλον εἶναι καὶ παρὰ Νικαεῦσι ποταμόν τινα Ἀλφειὸν ὀνομασθέντα καὶ ὄρη τινὰ Ὀλύμπια· καὶ ἀγῶνα δὲ Ὀλυμπιακὸν ἄγεσθαι, κατὰ μίμησιν τῶν ἐν Ἤλιδι. Τριφυλία δὲ καὶ Τριφυλὶς γῆ λέγεται ἡ κατὰ Ἦλιν, διὰ τὸ ὑπὸ τριῶν εἶναι οἰκισθῆναι φύλων· (ἐν οἷς καὶ Πύλιοι ἰθαγενεῖς, καὶ ἐπήλυδες Μινυοί) ἢ ἀπὸ Τριφύλου τινὸς ἀνδρός. Μεσσήνη δὲ αὕτη χώρα ἐστὶ Λακωνική, ἧς ἄποικος ἡ Σικελικὴ Μεσσήνη, Ζάγκλη μέν ποτε λεγομένη ἐκείνη, μεταβαλοῦσα δὲ τοὔνομα εἰς Μεσσήνην, ὡς Ἡρόδοτος ἱστορεῖ. γράφεται δὲ παρὰ τοῖς παλαιοῖς διὰ δύο σσ, καὶ διὰ ταύτην λέγεται ὁ Εὐρώτας Μεσσήνιος. ἡ δὲ Ἦλις, ἀφ' ἧς οἱ Ἠλεῖοι, διαφορεῖται κατὰ τὸ πνεῦμα· καὶ δασύνεται γάρ, ἀπὸ τοῦ ἁλίζω, τὸ ἀθροίζω, διὰ τὸ πολλοὺς ἐκεῖ ἐν τῷ ἀγῶνι τῶν Ὀλυμπίων ἀθροίζεσθαι· καὶ ψιλοῦται μάλιστα διὰ τὴν κοινὴν τῶν λεγόντων τὸ η πρὸ τοῦ ρ ψιλοῦσθαι. φασὶ δὲ περὶ τὴν τοιαύτην Ἦλιν ἡμιόνους μὴ γίνεσθαι, δι' οὐδὲν φανερὸν αἴτιον, ἀλλ' ἔκ τινος κατάρας, ὡς φησιν Ἡρόδοτος.

3. Ὅτι Ἀρκάδες περὶ μέσην τὴν Πελοπόννησον κοίλην χθόνα ναίουσιν ὑπὸ τὸ ὄρος τὸ Ἐρύμανθον, ἐν ᾧ κάπροι πολλοί. ὅθεν καὶ ὁ Ἐρυμάνθιος κάπρος, ὃν ἔκτεινεν ὁ Ἡρακλῆς· ἔνθα Μέλας, καὶ Κρᾶθις, καὶ Λάδων ῥέουσιν. ἔστι δὲ καὶ Σικελικὸς ποταμὸς Κρᾶθις· καὶ περὶ Σύβαριν δέ, ὡς προγέγραπται, ἤτοι περὶ τὸ Θούριον, ὃς ξανθίζει τοὺς λουομένους. Ἰστέον δὲ ὅτι καὶ Μέλας ποταμὸς οὐ μόνος οὗτός ἐστιν, ἀλλὰ καὶ Θρᾳκικός, ἐξ οὗ Μέλας κόλπος ὀνομάζεται ὁ περὶ τὴν Αἶνον· καὶ Ἀσιανὸς δὲ ποταμὸς Μέλας ἐστί· καὶ περὶ τὴν Τραχῖνα δέ, ὡς Ἡρόδοτος ἱστορεῖ. τοὺς δὲ Ἀρκάδας ὁ Διονύσιος μὲν Ἀπιδανῆας καλεῖ· οἱ νεώτεροι δὲ Ἀπιδόνας, κατὰ τὸν Γεωγράφον, ἀπό τινος Ἄπιδος, οὗ ἡ γενικὴ καὶ Ἄπιος, ὡς ὄφις ὄφιος, Ἄμασρις Ἀμάσριος, Ζάμολξις Ζαμόλξιος. οἱ δὲ φασὶν ὅτι Ἆπις ὁ Φορωνέως ἐκ τῆς Ἠπείρου ἐλθὼν ἀπήλλαξε τὴν Πελοπόννησον [illegible] ἀνλύντων, καὶ ᾤκησε περὶ τὴν Ἀρκαδίαν. ἀφ' οὗ καὶ ἡ Πελοπόννησος ὅλη Ἀπία ἐκλήθη ποτέ· καὶ δι' αὐτὸν Ἀπιδανῆες ἐξαιρέτως οἱ Ἀρκάδες, παρ' οἷς ὁ Ἆπις ᾤκησεν· οὗ καὶ Αἰσχύλος μέμνηται, εἰπών,

Ἆπις γὰρ ἐλθὼν ἐκ πέρας Ναυπακτίας.

καὶ Ἀῤῥιανὸς δέ φησι,

——κλυτὸς Ἆπις,
Ὅς ῥ' Ἀπίην ἐφάτιζε, καὶ ἀνέρας Ἀπιδανῆας.

οἱ δέ φασιν Ἀπίαν καὶ Ἀπιδανεῖς κληθῆναι κατὰ στέρησιν τοῦ πιεῖν καὶ τῶν πιδάκων, ἐπεὶ μὴ εἶχεν ἡ χώρα πίδακας τὴν ἀρ-

Αρκάδες Απιδανῆες ὑπὸ σκοπιὴν Ερυμάνθου·
Ενθα [1] Μέλας, ὅθι Κρᾶθις, ἵνα ῥέει ὑγρὸς Ιάων,
Ηχι τε ὠγύγιος μηκύνεται ὕδασι Λάδων.
Αγχοῦ δ' Αργείων ἄροσις, καὶ γαῖα Λακώνων·
Η μὲν [2] ἐς ἀντολίην, ἡ δ' ἐς νότον εἰσορόωσα.
Δοιαὶ [3] δ' ἴσθμια νῶτα περιβρομέουσι θάλασσαι·
Η τ' Εφύρης ἀντικρὺ ποτὶ ζόφον, ἥ τε πρὸς αὐγὰς
Ελκομένη, τὴν μέν τε Σαρωνίδα κικλήσκουσι.
Νέρθε γεμὴν ἰσθμοῖο [4] πρὸς αὐγὰς Ατθικὸν οὖδας,

χὴν, ἀλλ' ὡς λέγει Καλλίμαχος, ἔμελλεν εὔυδρος καλεῖσθαι· ὡς δύνασθαι διὰ τοῦτο καὶ αὐτὴν πολυδίψιον λέγεσθαι. ὅθεν καὶ Αζηνὶς ἐκαλεῖτο, διὰ τὴν ἄζην, ὅ ἐστι διὰ τὴν ξηρασίαν. καὶ ἔθνος οἱ Αζᾶνες αὐτόθι μέχρι καὶ νῦν οὕτω λεγόμενοι. Ιστέον δὲ ὅτι ἀπὸ Αρκάδος ὠνόμασται ἡ Αρκαδία, υἱοῦ Διὸς καὶ Θεμιστοῦς. καὶ ὅτι καὶ Πελασγία ποτὲ ἐκλήθη, καὶ Παρρασία, καὶ Λυκαονία, καὶ Γιγαντὶς, καὶ Αζανία. ὅτι δὲ καὶ προσέληνοι λέγονται οἱ Αρκάδες, διὰ τὴν πάνυ τοῦ ἔθνους ἀρχαιότητα, ὁ Λυκόφρων ἱστορεῖ.

1. Ὅτι ἐν δυσὶ στίχοις μετέλαβε γοργῶς καὶ ποικίλως τέσσαρα τοπικὰ ἐπιρρήματα, εἰπὼν Ενθα Μέλας, ὅθι Κρᾶθις, ἵνα ῥέει ὑγρὸς Ιάων, ἧχι τε ὠγύγιος μηκύνεται Λάδων. Ὠγύγιον δὲ τὸν Λάδωνα λέγει, διὰ τὴν περὶ αὐτοῦ ἀρχαιολογίαν, [illegible] λεται πρὸς τὴν ἄνθρωπον [illegible] αὐτοῦ καὶ γεννηθῆναι τὴν Δάφνην. Ὠγύγιος γὰρ, ἤτοι παλαιὸς, ὁ τὴν πρώτην γονήσας ἄνθρωπον.

2. Ὅτι τὸ Αργος μὲν εἰς ἀνατολὴν ὁρᾷ τῆς Πελοποννήσου, πρὸς δύσιν δὲ ἡ Λακεδαίμων. Εκατόμπολις δὲ ἡ Λακωνικὴ τὸ παλαιὸν, καθὰ καὶ ἡ Κρήτη, λέγεται· διὸ καὶ τὰ Εκατόμβαια ἐκεῖ ἐθύετο ἐπὶ σωτηρίᾳ τῶν τοσούτων πόλεων. μία δὲ τῶν ἑκατὸν αἱ Αμύκλαι, ἃς ἔκτισεν υἱὸς Λακεδαίμονος ὁ Αμύκλας. Ιστέον δὲ ὅτι τὸ Αργος τοῦτο περιεῖχέ ποτε τῶν ἐν τῇ Ελλάδι χώρᾳ πόλεων, καὶ μάλιστα διὰ τὴν ἀνδρείαν τῶν ἐν αὐτῇ. κατὰ δὲ τὸν Ηρόδοτον, ἤκουσεν ποτὲ καὶ μουσικοὶ εἶναι πρῶτοι τῶν Ελλήνων. κἀκεῖνο δὲ χρὴ εἰδέναι, ὅτι οὐχ ἓν Αργος ἐστὶν, ἀλλὰ διάφορα. τό, τε κατὰ τὴν Πελοπόννησον, ὅπερ ὁ Σοφοκλῆς καὶ Αργος Πελασγικὸν λέγει, καὶ Απίαν γῆν. ἐκλήθη δὲ τὸ αὐτὸ καὶ Φορωνικὸν ἄστυ ποτὲ, ἀπὸ Φορωνέως. ὠνομάσθη δὲ καὶ Αἰγιάλεια, ἐκ τινος Αἰγιαλέως καὶ Ιππόβοτον· καὶ μὴν καὶ Ιασον, ἀπὸ Ιάσου τινός· καὶ Δίψιον, διὰ τὸ μὴ πολύυδρον εἶναι. ἐλέγετο δὲ, φασὶ, καὶ Θετταλικὸν Αργος ἡ νῦν Λάρισσα· καὶ Αμφιλοχικὸν δὲ ἄλλο. καὶ, ἁπλῶς εἰπεῖν, εἰς ἕνδεκα τόπους οἱ παλαιοὶ τὸ Αργος μετροῦσι· λέγοντες καὶ ὅτι πᾶν σχεδὸν πεδίον παραθαλάσσιον Αργος ἐλέγετο. ὁ δὲ Γεωγράφος φησὶν ὅτι οἱ νεώτεροι, καὶ μάλιστα Μακεδόνες καὶ Θετταλοὶ, Αργος τὸ πεδίον φασί. καὶ ἡ ὅλη δὲ Πελοπόννησος Αργος, ἀπὸ τοῦ πολυοφθάλμου Αργου, ἐκλήθη ποτέ. ὁ δὲ Γεωγράφος οὕτω καὶ περὶ τούτου φησὶν, Αχαϊκὸν Αργος ἐκλήθη ἥ τε ὅλη Πελοπόννησος, καὶ ἰδίως ἡ Λακωνική. τὸ γοῦν παρὰ τῷ Ποιητῇ περὶ τοῦ Μενελάου λεχθὲν, ἢ οὐκ Αργεος ἦεν Αχαϊκοῦ, ἀντὶ τοῦ, οὐκ ἦν ἐν τῇ Λακωνικῇ. ἐντεῦθεν δὲ καὶ ἡ Ελένη Αργεία λέγεται. [illegible] δὲ λέγει κληθῆναί ποτε τὴν Πελοπόννησον, Αργος, Ιασον, καὶ Αχαϊ-

κὸν,

Arcades Apidanenſes ſub celſo jugo Erymanthi :
Ubi Melas, ubi Crathis, ubi fluit liquidus Iaon,
Ubi etiam priſcus porrigitur aquis Ladon.
Prope vero Argivorum aratio [*arva*] & terra Laconum :
Hæc quidem in orientem, illa vero in auſtrum ſpectans.
Duo autem iſthmium dorſum circumfremunt maria :
Quodque contra Ephyrem verſus occaſum, quodq; ad ortum
Extenditur ; quod quidem & Saronicum vocant.
Infra autem iſthmum ad orientem Attica tellus eſt,

κὸν, καὶ Ἵππιον, καὶ Ἱππόβοτον. τὸ δὲ τοῦ Ἄργους ἐθνικὸν, οὐ μόνον Ἀργεῖος, ὥς φασιν οἱ παλαιοί, ἀλλὰ καὶ Ἀργόλας, καὶ ἡ χώρα Ἀργολίς. ἐλέγετο δὲ καὶ τὸ Ἄργος ἰδίως οὕτως Ἀργολικόν.

3. Ὅτι τὰς πλευρὰς τοῦ ῥηθέντος ἰσθμοῦ τοῦ Πελοποννησιακοῦ περιβρομέουσαι κλύζουσι, πρὸς ζόφον μὲν, ἡ τῆς Ἐφύρης θάλασσα, ὅ ἐστιν, ὁ Κορινθιακὸς κόλπος, πρὸς αὐγὰς δὲ, ἡ Σαρωνὶς θάλασσα. ὅτι δὲ Ἐφύρα ἡ Κόρινθος λέγεται, καὶ ὅτι καὶ ἄλλαι εἰσὶ πόλεις ταύτης ὁμώνυμοι, ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν γέγραπται. Σαρωνικὸς δὲ κόλπος, ἢ ἀπὸ Σάρωνος ποταμοῦ Τροιζηνίου ἐκβάλλοντος εἰς αὐτὸν, ἢ ἐπειδὴ Σάρων τις κυνηγὸς, ἐπιδιώκων σῦν, ἐκεῖθεν κατενεχθεὶς εἰς τὴν ὑποκειμένην κατέπεσε θάλασσαν, καὶ ἀπεπνίγη· οὕτω καὶ Ἴκαρος τῷ Ἰκαρίῳ ἐκποντισθεὶς πελάγει, ἐξ ἑαυτοῦ ὀνομάζεσθαι δέδωκε. καὶ Αἴσαρος δὲ, ὡς προείρηται, ἔλαφον ἐπιδιώκων, καὶ συνεισελθὼν αὐτῇ εἰς ποταμὸν περὶ Κρότωνα, καὶ ἀποπνιγεὶς, τῷ ποταμῷ ἐναφῆκε τὸ ὄνομα, Αἰσάρῳ κληθέντι ἀπ' ἐκείνου. οἱ δὲ, ἄλλως τὴν τοῦ Σαρωνικοῦ πελάγους κλῆσιν αἰτιολογοῦντες, φασὶν ὅτι Μίνως λαβὼν τὰ Μέγαρα διὰ Σκύλλης τῆς Νίσου θυγατρὸς ἐρασθείσης αὐτοῦ, καὶ ἀποτεμούσης τὴν τοῦ πατρὸς κεφαλὴν, ἐννοήσατο ὅτι ἡ τὸν πατέρα προδοῦσα οὐδενὸς ἂν ῥᾳδίως φείσαιτο, καὶ διὰ τοῦτο προσδήσας τῷ πηδαλίῳ νηὸς τὴν πατροδότιν καὶ πατροφόντιν, ἀφῆκε σύρεσθαι διὰ θαλάσσης· καὶ αὐτὴ μὲν εἰς ὄρνεον μετεβλήθη, ὥς φησι Παρθένιος ὁ τὰς μεταμορφώσεις γράψας λεγόμενος. ὁ δὲ κόλπος παραγραμματισθεὶς ἔχει τὴν κλῆσιν ἀπὸ τοῦ σύρεσθαι. ἀπὸ δὲ τῆς τοιαύτης Σκύλλης καὶ Σκύλλαιον ἔτι νῦν καλεῖται τόπος ἐν Ἑρμιόνῃ τῇ κατὰ Πελοπόννησον, ἔνθα ἡ γυνὴ ἐξεκυμάνθη μετὰ τὸ καταποντισθῆναι.

4. Ὅτι πρὸς αὐγὰς τοῦ Πελοποννησιακοῦ ἰσθμοῦ τὸ Ἀττικόν ἐστιν οὖδας, ἔνθα ποταμὸς φέρεται Ἰλισσὸς, οὐ πολλοῦ ἄξιος λόγου, διὰ δὲ τὰς κλεινὰς Ἀ[illegible]ας περιλαλούμενος, καὶ θεατ[illegible]ος [illegible]λαλούμενος. ὅθεν, φησὶ[illegible] ἥρπασέ ποτε Βορέας Ὠρείθυιαν τὴν [illegible] Ἐρεχθέως. Βορέας δὲ οὗτος βασιλεὺς [illegible] Θρᾳ[illegible] [illegible]ικοῦ τούτου γ[illegible] βασιλικοῦ· εἰ καὶ ὁ [illegible]θος διὰ τὴν ὁμωνυμίαν, ἀπανεστήσας τῆς γῆς τὸν ἄνθρωπον ἐξηνέμωσε. καθὰ καὶ Ἀϊδωνεὺς βασιλεὺς μὲν ἦν, ὡς οἱ ἀκριβέστεροί φασιν, Ἠπείρου τῆς ἐν Μολοττοῖς· (πρὸς ὃν καὶ Πειρίθους ἦλθε, καὶ Θησεὺς, διὰ τὴν Περσεφόνην· ἀλλὰ δὴ καὶ ὁ Ἡρακλῆς, διὰ τὸν Κέρβερον κύνα πολλοῦ ἄξιον) ὅμως δὲ καὶ ἐκεῖνος ὁ Ἀϊδωνεὺς δι' ὁμοιότητα κλήσεως εἰς τὸν Ἅδην μεταλαμβάνεται, καὶ εἰς τὸν ὑπὸ γῆν τοῖς μυθογράφοις μεθίσταται Πλούτωνα. Ἑρμείας δὲ ὁ Πλατωνικὸς βασιλικὴν παῖδα τὴν Ὠρείθυιαν

Τοῦ διὰ θεσπεσίου φέρεται ῥόος Ἰλισοῖο,
Ἔνθεν καὶ Βορέης ποτ' ἀνήρπασεν Ὠρείθυιαν.
Τῷ [1] δ' ἐπὶ [2] Βοιωτῶν τε πέδον, καὶ [3] Λοκρὶς ἄρουρα·
Θεσσαλίη [4] δ' ἐπὶ τοῖσι, [5] Μακηδονίης τε πόληες.
Ταῖς δ' ἐπιφαίνονται [6] κορυφαὶ χιονώδεος Αἵμου
Θρηϊκίου· τοῦ δ' ἄντα, ποτὶ ῥιπὴν Ζεφύροιο,
Δωδώνης ἤπειρος ἀπείριτος ἐκτετάνυσται.

Ὠρείθυιαν κατὰ τὸν κρημνὸν ὑπονοεῖ ἀρθῆναι ἀνέμου βορέου, καὶ τούτῳ τῷ τρόπῳ λεχθῆναι ἁρπασθῆναι αὐτὴν ὑπὸ τοῦ βορρᾶ. Ἀττικὴ δὲ ἡ κατὰ Ἀθήνας χώρα λέγεται, καὶ Ἀτθίς· τοῦτο μὲν ἀπὸ Ἀτθίδος τῆς θυγατρὸς Κραναοῦ, ἀφ' οὗ καὶ Κραναὴ λέγεται· ἐκεῖνο δὲ, ἀπὸ Ἀκταίωνος, ἢ ἀπὸ Ἀκταίου αὐτόχθονος· ἀφ' οὗ καὶ παρὰ Λυκόφρονι Ἀκταῖοι οἱ Ἀττικοί. ἢ παρὰ τὴν ἀκτήν. τριγώνου γὰρ, φασὶν, οὔσης αὐτῆς, πολὺ μέρος καθικνεῖται εἰς τὴν θάλασσαν. διὸ καὶ μία τῶν ἐπὶ Κέκροπος τεσσάρων φυλῶν Παραλία ἐκλήθη, καὶ ἄλλη Ἀκταία. ἐκλήθη δὲ πάλαι ποτὲ καὶ Ἀκτὴ, καὶ Ἀκτική· καὶ μὴν καὶ Ποσειδωνία, καὶ Ἀθῆναι, ἀπὸ ὁμωνύμων προσώπων· καὶ Ἰωνία δὲ ἀπὸ Ἴωνος τοῦ Ξούθου, καὶ Μοψοπία ἀπὸ Μόψου, ἄλλως παρὰ τὸ μαίνειν τὸν τοῦ Τειρεσίου. Κραναὴ μέντοι ἡ Ἀττικὴ οὐ μόνον ἀπὸ τοῦ Κραναοῦ, ὡς ἐῤῥέθη, ἀλλὰ καὶ διότι τραχεῖα καὶ τὸ πλεῖον αὐτῆς ὄρεσιν ὑποπέπτωκε. [illegible] γραφεῖσαν Ἀτθίδα [illegible] τούτῳ τῷ Κραναῷ γενέσθαι φασίν· ἣν, παρθένον οὖσαν καὶ ὡραίαν γάμου, θανοῦσαν θάψας λαμπρῶς ὁ πατὴρ, ἀπ' αὐτῆς τὴν χώραν ὠνόμασε. τὴν δὲ τῶν Ἀθηναίων ἀκρόπολιν, Κεκροπίαν ποτὲ κληθῆναί φασι, πόλιν οὖσαν μίαν τῶν ἐπὶ Κέκροπος ἐκτισμένων. Ὅτι δὲ καὶ Ἴωνες ἦν ὅτε οἱ Ἀττικοὶ ἐκαλοῦντο, ἱστορεῖ καὶ ὁ Γεωγράφος· λέγων ὅτι καὶ ὁ Ποιητὴς ἐν τῷ, Βοιωτοὶ καὶ Ἴωνες, Ἴωνας τοὺς Ἀθηναίους φησί. καὶ ὅτι οἱ ἐν Ἀσίᾳ Ἴωνες, τούτων εἰσὶ καὶ ἄποικοι καὶ ὁμώνυμοι. καὶ ὅτι περ ἡ Ἰὰς (ἤτοι Ἰωνικὴ) διάλεκτος ἡ αὐτή ἐστι τῇ παλαιᾷ Ἀτθίδι. ὅτι δὲ ἄποικοι Ἀθηναίων οἱ ἐν τῇ Ἀσίᾳ Ἴωνες, δηλοῖ καὶ ὁ παρὰ τῷ Ἡροδότῳ Θεμιστοκλῆς, πατέρας τῶν Ἰώνων λέγων τοὺς Ἀθηναίους. ἱστορεῖ δὲ ὁ αὐτὸς καὶ ὅτι οἱ Ἀθηναῖοι, Κραναοὶ καλούμενοι, ὅμως ἐπὶ Πελασγῶν ἐχόντων τὴν Ἑλλάδα Πελασγοὶ ὀνομάζοντο· ἐπὶ δὲ Κέκροπος, ἐκλήθησαν Κεκροπίδαι. τὴν δὲ ἀρχὴν Ἐρεχθέως ἐκδεξαμένου, Ἀθηναῖοι μετωνομάσθησαν· Ἴωνος δὲ τοῦ Ξούθου στρατάρχου γενομένου, ἐκλήθησαν ἀπ' αὐτοῦ Ἴωνες.

1. Ὅτι οὕτω πάνυ ἐπιδραμὼν ἐν τούτοις ἐπιλογιστικώτατα (ἤγουν συντομώτατα) ὁ περιηγητὴς, ὥστε τεσσάρων μεγάλων μνησθεὶς ἐθνῶν, Βοιωτῶν, Λοκρῶν, Θεσσαλῶν, Μακεδόνων, ἠρκέσθη μόνον ἀριθμῆσαι αὐτὰ πρὸς ὄνομα, μηδὲν δὲ πλέον εἰπὼν περὶ αὐτῶν. φησὶ γὰρ, Βοιωτῶν πέδον, καὶ Λοκρὶς ἄρουρα, Θεσσαλίη τε, Μακεδονίης τε πόληες. ἡ δὲ παρεκβολὴ ἐρεῖ περὶ ἑκάστου τούτων ὅσα ἐνδέχεται.

2. Ὅτι Βοιωτοὶ ὠνομάσθησαν ἀπὸ τινος Βοιωτοῦ καλουμένου, ὃν ἡ μήτηρ Ἄρνη λάθρα τεκοῦσα, περὶ βοῶν ἔθετο κόπρους· ἐξ οὗ καὶ τὸ ὄνομα ἔχειν, ὡς ῥιφεὶς ἀμφὶ τοὺς βόας. ἢ ἀπὸ τοῦ βοὸς ἡ χώρα Βοιωτία τοῦ καθηγησαμένης αὐτόθι τῷ Κάδμῳ. οἱ δὲ παρὰ τὴν βοῦν ὀνομάσθαι εἶπον τοὺς Βοιωτοὺς, ὡς μὴ ὄντας ταῖς διανοίαις ἄγαν εὐκινήτους. συμφωνεῖ δὲ τῷ λόγῳ τούτῳ καὶ ἡ Βοιωτία ὗς, ὅπερ ἐσκώπτοντο οἱ Βοιωτοὶ, ὡς δηλοῖ καὶ ὁ

Πινδα-

Per quam divini fertur fluxus Iliſſi:
Unde etiam Boreas quondam rapuit Orithyiam.
Poſt hunc Bœotorumque ſolum, & Locris tellus:
Theſſalia vero poſt hos, Macedoniæque urbes.
Poſt has autem apparent vertices nivoſi Æmi
Thracii: hujus è regione, ad flatum zephyri,
Dodonæ regio immenſa extenta eſt.

Πίνδαρος. γυμναστικοὶ δὲ οἱ Βοιωτοί. διὸ καὶ λέγεται λόγος τοιοῦτος, ὡς Ἀθηναῖοι μὲν περὶ ναυτικὴν ἠσχόληνται τέχνην, Θετταλοὶ δὲ περὶ τὴν ἱππικὴν ἐμπειρίαν, Βοιωτοὶ δὲ περὶ τὴν τῆς γυμνασίας ἐπιμέλειαν, Κυρηναῖοι δὲ περὶ τὴν διφρευτικὴν ἐπιστήμην.

3. Ὅτι ἐγγὺς τῶν Βοιωτῶν οἱ Ἐπικνημίδιοι Λοκροί, ἀπὸ Κνημῖδος ὄρους τὴν κλῆσιν ἔχοντες· ὡς ἀπὸ Ζεφυρίου ὄρους, ἕτεροι Λοκροὶ οἱ Ζεφύριοι. ἱστορεῖ γὰρ ὁ Γεωγράφος ὅτι ὁ Παρνασσὸς πρὸς δύσιν αὐτοῦ διαιρεῖ τούς τε ἑσπερίους Λοκρούς, τοὺς καὶ Ὀζόλας καλουμένους, οἳ χαράσσουσιν ἐν σφραγῖδι τὸν ἕσπερον ἀστέρα· ἔτι δὲ καὶ τοὺς Ἐπικνημιδίους, οὕτω καλουμένους ἀπὸ ὄρους Κνημῖδος, κειμένου περὶ τὸ ὄρος τὴν Οἴτην. τῶν δὲ Ἐπικνημιδίων μέρος ἐκεῖνος τοὺς Ὀπουντίους φησίν, οὕτω λεγομένους ἀπὸ πόλεως Ὀποῦντος, τῆς τοῦ Πατρόκλου πατρίδος, ἣν σεμνολογεῖ ὁ Πίνδαρος. ὥστε συνακτέον τεσσάρων Λοκρῶν εἶναι γένος, τρία μὲν ταῦτα, τοὺς Ὀπουντίους, καὶ τοὺς Ἐπικνημιδίους, καὶ τοὺς Ὀζόλας· τέταρτον δέ, τοὺς Ἰταλικούς, ἤτοι τοὺς Ἐπιζεφυρίους. οἱ δὲ Ὀζόλαι ἀπὸ τῆς σηπεδόνος, φασίν, ἐκλήθησαν τῶν ἐκεῖ ἀναιρεθέντων Κενταύρων· εὕρηται γὰρ παρ' αὐτοῖς Νέσσου τε μνῆμα καὶ ἄλλων Κενταύρων.

4. Ὅτι ἀπὸ Θεσσαλοῦ τινος ἡ πρώην καλουμένη Πελασγία, Θεσσαλία ἐκλήθη. ἐν ταύτῃ, ὡς λόγος, οὐκ ἐξῆν πελαργοὺς κτείνειν, ἐπεὶ τὴν χώραν ὄφεων ἐξεκάθαιρον. ἀπὸ ταύτης ὑπόδημά τι ποιὸν ἐλέγετο Θετταλίς. καὶ πήδημα δὲ ἀπὸ ταύτης Θεσσαλὸν τὸ παροιμιαζόμενον. ᾄδονται δὲ βασιλεῖς Θεσσαλίας οἱ Ἀλευάδαι, εὐγενεῖς δὲ γένος ἐκεῖσε καὶ οἱ Σκοπάδαι, ἀπὸ ἀνδρῶν παλαιῶν γενεαλογούμενοι· ὧν ὁ μέν, Ἀλεύας, ὁ δέ, Σκόπας ἐκαλεῖτο.

5. Ὅτι Μακεδόνες λέγονται ἀπὸ Μακεδόνος τοῦ Διός. οἱ δὲ παῖδας Αἰόλου δέκα παραδεδώκασιν, ὧν εἷς Μακεδών, φασίν, ἐξ οὗ ἡ Μακεδονία. ἦν δὲ καὶ μοῖρα Μακεδονίας Μακέτα λεγομένη, ἐξ ἧς καὶ ἡ Μακεδονία Μακετία ἐλέγετο. ὅτι δὲ ὁ Μακεδὼν καὶ Μακηδὼν λέγεται, ἤδη ἐν τοῖς περὶ Ἀλεξανδρείας προείρηται· ὅθεν καὶ Μακηδονίαν ἔφη τὴν χώραν ὁ Διονύσιος.

6. Ὅτι ὁ Αἷμος, ὃς καὶ οὐδετέρως τὸ Αἷμον λέγεται ἀπό τινος Αἵμου βασιλέως Σκυθῶν, Θρᾳκικὸν [illegible] φησὶ γάρ, κορυφαὶ χιονώδεις Αἵμου Θρηικίου. τούτου πρὸς [illegible] Δωδώνη [illegible], ἤπειρος ἀπ[illegible] καὶ [illegible] λογίας ἢ ὑπερη[illegible], ἐν τῷ, [illegible] ἤπειρος ἀπείριτος. τοιοῦτον καὶ τό, ἐν ἐκείναις ἠπείροις εἷς πόντος ἀπείριτος. Ἰστέον δὲ ὅτι Δωδώνη οὐ μόνον ἡ χώρα, ἀλλὰ καὶ πόλις ἦν Δωδώνη, ἀπὸ Δωδώνης τῆς Διὸς καὶ Εὐρώπης, ἢ ἐκ ποταμοῦ Δώδωνος. ἐλέγετο δὲ καὶ Δωδὼν δισυλλάβως. ἀπ' αὐτῆς καὶ τὸ Δωδωναῖον χαλκεῖον, ἐπὶ τῶν πολυλόγων. ἐλέγετο δέ ποτε Θεσπρωτὶς ἡ Δωδώνη, τουτέστιν ὑπὸ τοὺς Θεσπρωτούς. περὶ ἣν καὶ τὸ τοῦ Δωδωναίου Διὸς μαντεῖον διὰ τῆς δρυός, ὡς καὶ ἐν Ὀδυσσείᾳ εἴρηται.

1. Ὅτι

Τῆς δ' ὕπερ [1] ἐς νότον εἶσιν, ὑπὸ σκοπιὴν Ἀρακύνθου,
Ἀνδρῶν Αἰτωλῶν πεδίον μέγα· τοῦ διὰ μέσσου
Σύρεται ὁλκὸν ἄγων Ἀχελώϊος ἀργυροδίνης,
Τρινακίης ἐπὶ πόντον ἑλισσόμενος, διὰ μέσσων
Νήσων, ἃς καλέουσιν Ἐχινάδας· ἧσιν ὁμούρων
Ἕσπεται ἄλλυδις ἄλλα Κεφαλλήνων πτολίεθρα.
Τῷ δ' ἔπι Φωκὶς ἄρουρα [2] πρὸς ἀντολίην τε καὶ ἠῶ,

1. Ὅτι ἐς νότον Δωδώνης, ὑπὸ σκοπιὰν Ἀρακύνθου (Αἰτωλικὸν ὄρος ὁ Ἀράκυνθος) τὸ τῶν Αἰτωλῶν ἐστι πέδον μέγα, δι' οὗ μέσου ὁλκὸν ἄγων Ἀχελώϊος ἀργυροδίνης σύρεται ἐπὶ τὸν τῆς Θρινακίας πόντον, ἑλισσόμενος διὰ μέσων τῶν Ἐχινάδων· ὧν μία καὶ Ὁμηρικὴ Τάφος. ταύτας δέ, φασίν, οὐκ ἔστιν ἄρτι εὑρεῖν. ὁ γὰρ Ἀχελῷος πολλὴν ἰλὺν ἐρευγόμενος προσέχωσεν αὐτάς. Ἡρόδοτος δὲ οὐ πάσας ἀφανισθῆναί φησιν, ἀλλά τινας. λέγει γὰρ ὅτι Ἀχελῷος ῥέων δι' Ἀκαρνανίας, καὶ ἐξιὼν εἰς θάλασσαν, τῶν Ἐχινάδων νήσων τὰς ἡμισείας ἤπειρον πεποίηκε. ταύταις δὲ ὅμοροι καὶ αἱ τῶν Κεφαλλήνων πόλεις. Ἰστέον δὲ ὅτι Αἰτωλοὶ μὲν τὸ ἔθνος, ἀπὸ Αἰτωλοῦ υἱοῦ Ἐνδυμίωνος· νῆσοι δὲ Ἐχινάδες ἢ ἀπό τινος Ἐχίονος, ἢ διότι πολλοὶ ἐκεῖ ἐχῖνοι. ὁποῖοι δὲ θῆρες ἐκεῖνοι, ζητητέον ἐν ἄλλοις, εἰ ἐν τῇ χέρσῳ φιληδοῦντες, εἴτε καὶ θαλάσσιοι. καὶ ἄλλως δὲ Ἐχινάδες, διὰ τὸ τραχὺ τοῦ τόπου καὶ οἷον ἀκανθῶδες, κατὰ τοὺς ἐχίνους. τοὺς δὲ Κεφαλλῆνας καὶ τὴν Κεφαλληνίαν ἐν δυσὶ λλ ἡ παλαιὰ χρῆσις ἅπασα ἔχει· ἡ δὲ κλῆσις, ἀπό τινος Κεφάλου, ὡς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν γέγραπται. Ἰστέον δὲ ὅτι τὸ Ἀχελῷος προσγεγραμμένον ἔχει τὸ ι, τῷ τύπῳ τῶν διὰ τοῦ ῳος προπερισπωμένων κτητικῶν, τοῦ πατρῷος, Μινῷος, καὶ τῶν λοιπῶν· καὶ ἔστιν οἷον κτητικόν. διὰ τοῦτο καὶ ὁ Διονύσιος ἐκφωνήσας τὸ ι, πεντασυλλάβως λέγει αὐτὸν Ἀχελώϊον. Θρινακίας δὲ πόντον, τὸν Σικελικὸν λέγει. διὰ τί δὲ Θρινακία ἡ Σικελία λέγεται, ῥηθήσεται ἐν τοῖς ἑξῆς. Σημείωσαι δὲ ὅτι ὁ Γεωγράφος τὸν Ἀχελῷον οὐκ εἰς τὸν τῆς Σικελίας κόλπον, ἀλλ' εἰς τὸν Κορινθιακὸν κόλπον ἐκβάλλειν φησίν· ὡς εἶναι τὸν αὐτὸν κόλπον, Κορινθιακὸν μὲν κατὰ τὸν Γεωγράφον, Σικελικὸν δὲ κατὰ τὸν Διονύσιον. Ἀχελῷος δὲ οὗτός ἐστιν ὃς κλασθεὶς τὸ ἀριστερὸν κέρας ὑφ' Ἡρακλέους, τὸ τῆς Ἀμαλθείας κέρας ἀντιδέδωκεν, δι' οὗ πᾶν ἀγαθὸν ἐχορηγεῖτο τῷ χρῄζοντι. τοῦτο δὲ οἱ τῶν μύθων θεραπευταὶ πρὸς ἀλήθειαν συμβιβάζοντες, τοιοῦτόν τι φασὶν αἰνίττεσθαι· Ἡρακλῆς εὐεργετεῖν εἰδὼς τοὺς ὁποίποτε γῆς, εἶτα καὶ τὸν ποταμὸν τοῦτον μαθὼν πλημμελῶς ῥέοντα, καὶ ταῖς καμπαῖς πολλὴν τῆς Αἰτωλικῆς παραπεμπόμενον, καὶ οὕτως ἀδικοῦντα, παραχώμασί τισι καὶ διώρυξι καὶ διοχετείαις αὐτὸν ἐπιστάσατο καὶ παρατρέψας, καὶ ῥέειν σωφρόνως ποιήσας, ἀνέψυξε τὴν γῆν, καὶ εἰς ἀγαθοποιὸν εὐχρηστίαν μετήγαγε, καὶ τὸ τοῖς ἐγχωρίοις ἐπαριστερὸν κέρας τοῦ ποταμοῦ, τὴν ἄτακτον καμπὴν δηλαδή, τὴν ὡς εἰπεῖν ἀπεστραμμένον καὶ σκληρὰν τοῖς οὖσι, εἰς μαλθακὴν οἷον ἀντιπαρέστησε δεξιότητα. καὶ ταῦτά εἰσι τὰ κέρατα τοῦ Ἀχελῴου, τό, τε βίαιον, τὸ καταπονηθέν, καὶ τὸ πλουτοποιόν, τὸ ἀντιδοθέν, δι' οὗ καὶ Ἡρακλῆς εὐεργέτης ἔγνωσται· τὰς γάρ τοι τῶν ποταμίων ῥεέθρων καμπάς, κέρατα ἐκάλουν οἱ παλαιοί· καὶ διὰ τοῦτο ταυροκράνους καὶ κερασφόρους ἐτύπουν αὐτούς. καὶ οὕτω μέν τινες περὶ τοῦ κατὰ τὸν Ἀχελῷον. ἕτεροι

δὲ

Hanc autem ſuper in auſtrum vergit,ſub ſpeculam Aracynthi,
Hominum Ætolorum planities magna : quam per mediam
Labitur tractum agens Achelôus argenteos vortices habens,
Trinaciæ [*Siciliæ*] in mare ſe evolvens, per medias
Inſulas, quas vocant Echinadas : quas vicinorum
Sequuntur alibi alia Cephallenum oppida.
Poſt hunc autem Phocæa tellus ad ortum & auroram,

δὲ αὐτὸν μὲν ἀφῆκαι ὅποι βούλοιτο ῥέειν, τὸ δὲ τῆς Ἀμαλθείας μόνον κέρας τὸ εὔδαιμον ἐν λόγῳ ἔθετο. καὶ τὸ αὐτόθι τοῦ μύθου νοοῦν ἐκθηρατεύοντες, ἱστοροῦσι γραῦν τὴν Ἀμάλθειαν γενέσθαι κερδαλέαν, ἐμποριχὴν, τὸ πολὺ τῆς ἐμπολῆς ἐντιθεῖσαν κέρατι, ὃ διὰ τοῦτο Ἀμαλθείας κέρας ἐφημίζετο, πλουτοποιὸν καὶ βιωφελές. ἐπεὶ δὲ ὁ Ἡρακλῆς ἀφελόμενος αὐτὸ πλῆρες τοῦ ἐγκειμένου κέρματος, καὶ χρησάμενος ἔζησε πρὸς τρυφὴν, λόγος ἐντεῦθεν διεδόθη ἀστεῖος, ὡς ἄρα τῷ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας ἐκβλύζει πᾶν ἀγαθόν· οὐ τὸ τῆς μυθικῆς αἰγὸς τῆς θρεψαμένης τὸν αἰγίοχον Δία, ἀλλὰ τὸ τῆς ῥηθείσης γραός. ἄλλοι δὲ τὸ τῆς Ἀμαλθείας κέρας, δι' ὅπερ εὖ ἔχει τὰ κατὰ τὸν Ἡρακλέα, τὸ σκληρόν φασι τῆς ἀρετῆς ἐκείνου, ᾧ τόν ποτε κατ' ἀρετὴν βίον ἀντιτίθεσθαι, ὁπηνίκα ἡμίγυμνος περιιὼν, καὶ ἐκκαθαίρων κακίας τὴν γῆν οὐ μαλθακῶς εἶχεν, ἀλλὰ σκληρότερον τοῖς φαύλοις προσεφέρετο. καὶ τοῦτο ἦν τὸ τῆς Ἀμαλθείας κέρας, ἡ ἀμάλθακος πρὸς πόνους ἀντιτυπία τοῦ ἥρωος. ὅτε μέντοι ἐμελέτησεν οἰκουρεῖν, ἀναπεισθεὶς ὑπὸ γυναικὸς, καὶ σκιατραφούμενος, καὶ ἱμάτια περιεβάλλετο θάλποντα, καὶ οὐκέτι πρὸς ψύχος ἐγυμνάζετο, ἀλλ' ἐθάλφθη, καὶ ἀπεμαλάχθη, πρὸς τρυφὴν ἀποκλίνας, κατακαίει ὁ λόγος τὸν ἥρωα, τὴν ἐκ τῆς περιβολῆς θάλψιν εἰς πυρὰν αὐτῷ ἀπανάψας. ἄλλος δέ τις λόγος Λιβυκόν τι χωρίον πάμφορον, ἐρικὸς βοὸς κέρατι κατὰ τὸ σχῆμα, ἐοικέθεται, καὶ εἰς κτῆμα γυναικί τινι Ἀμαλθείᾳ δίδωσιν· ὅπερ, διὰ τὸ καρποῦ παντὸς εἰς πολλαπλάσιον δοτικὸν εἶναι, ὁ μῦθος, εἰς βόειον κέρας μεταλαβὼν, τὰ θρυλλούμενα περὶ αὐτοῦ δίδωσιν. εἰ δὲ τὴν παραπήλαυσεν ἀγαθὸν τοῦ τοιούτου κέρατος καὶ ὁ Ἡρακλῆς, ὅτι εἰς Λιβύην ἀποδημήσοι, λέγοιτο ἂν οὕτω μετεῖναι τῷ Ἡρακλεῖ τοῦ τοιούτου τῆς Ἀμαλθείας κέρατος. καὶ ταῦτα μὲν ἐς τοσοῦτον ἱκανῶς, ἡμᾶς τοῦ κατὰ τὸν Ἀχελῷον ἐπὶ τὰ τοιαῦτα οἷον παρασύραντος ῥεύματος. Ἱστέον δὲ ὅτι ὥσπερ Ἀσωποὶ πολλοὶ, ἔτι δὲ καὶ Κηφισσοὶ, οὕτω καὶ Ἀχελῷοι· ὧν εἷς καὶ ὁ ἐν Πελοποννήσῳ, κατὰ τὴν Ἀχαϊκὴν Δύμην.

2. Ὅτι ἀνατολικωτέρα τοῦ Ἀχελῴου ἡ ἀπὸ Φώκου καλουμένη χώρα Φωκὶς, ἐλκομένη πρὸς βορρᾶν κατὰ τὸ στόμα τῶν Θερμοπυλῶν, Παρνασ[illegible] ὑπὸ πτυχὶ, ἤγουν ὑποκειμένη τῷ [illegible]νασσῷ. ταύτης οἱ [illegible] Φωκεῖς [illegible] διασυλλάβων [illegible] μέντοι τρισυλλάβως, οἱ τῆς Φώκης [illegible]ωνικῆς πόλεως, ἥτις καὶ Φώκαια λέγεται, ὡς Νίκη Νίκαια. τέταν τῶν Θερμοπυλῶν πλησίον ὁ Σπερχειὸς ποταμὸς ἐκδίδωσιν. ὁ δὲ Διονύσιος λέγει καὶ ὅτι διὰ μέσης τῆς Φωκίδος ταύτης Κηφισοῦ μέγα χεῦμα κατερχόμενον κελαρύζει, ὡς τοῦ Κηφισοῦ Φωκικοῦ ὄντος ποταμοῦ. σκόπησον δὲ εἰ τὸ κελαρύζει κυρίως κεῖται ἐπὶ μεγάλου ποταμοῦ χεύματος. ἐπεὶ δὲ ὁ Γεωγράφος καταριθμεῖται Κηφισούς. Θερμοπύλαι δὲ λέγονται συνήθως, ἀπό τε θερμῶν

Ελκομένη Βορέηνδε, κατὰ στόμα Θερμοπυλάων,
Παρνησοῦ νιφόεντος ὑπὸ πτυχὶ τῆς διὰ μέσσης
Κηφισσοῦ μέγα χεῦμα κατερχόμενον κελαρύζει.
Τῷ πέρα [1] Πυθῶνος θυόεν πέδον, ἧχι δράκοντος
Δελφυνης τριπόδεσσι θεοῦ παρακέκλιται ὁλκὸς,
Ολκὸς ἀπειρεσίησιν [2] ἐπιφρίσσων φολίδεσσι,
Νηῷ ἐν ἱμερτῷ· ὅθι πολλάκις αὐτὸς [3] Απόλλων,
Η ἀπὸ Μιλήτου ἢ ἐκ Κλάρου ἄρτι βεβηκὼς,
Ιστάμενος χρυσέης ἀναλύεται ἅμμα φαρέτρης.
Αλλ' ὁ μὲν ἱλήκοι· σὺ δέ μοι Διὸς ἔννεπε Μοῦσα
Νήσων πασάων ἱερὸν πόρον, αἵτ' ἐνὶ πόντῳ
Ανδράσι ναίονται, τετραμμέναι ἄλλυδις ἄλλαι.
Ητοι μὲν κατὰ μέσσον ὑφεσπερίων στηλάων
Εσχατιῶντα [4] Γάδειρα φαείνεται ἀνθρώποισι,
Νήσου ἐπ' ἀμφιρύτης, ἐπὶ πείρασιν ὠκεανοῖο.

ὑδάτων ἐκεῖ ἀναβαλλομένων, καὶ διὰ τὸ εἰς στενότητα πυλῶν ὥσπερ συγκεκλεῖσθαι τὸν τόπον. ὁποῖόν τι καὶ περὶ τῶν Κασπίων πυλῶν λέγεται· ὡς καὶ κλεῖδας τῆς Ἀσίας γῆς καλέσει ὁ Διονύσιος, ὡς ταυτὸν ὂν ἐπὶ τοιαύτης στενοχωρίας κλεῖδας ἢ πύλας εἰπεῖν. φησὶ δὲ καὶ Ἡρόδοτος, ὅτι ἐν τῇ εἰσόδῳ [illegible] Θερμοπυλῶν θερμὰ λουτρά, ἃ καὶ χ[illegible]ας καλοῦσιν οἱ ἐπιχώριοι· καὶ τεῖχος [illegible] τὰς εἰσβολάς, [illegible]ωκέες ποτὲ εἰδείμαν· τὸ δὲ παλαιὸν [illegible] πύλαι ἐπῆσαν. λέγει δὲ καὶ ὅτι ὑπὸ μὲν τῶν πλειόνων Ἑλλήνων Θερμοπύλαι ὁ τόπος ἐλέγετο· ὑπὸ δὲ τῶν ἐπιχωρίων, Πύλαι.

1. Ὅτι τὸν δράκοντα, ὃν Ἀπόλλων ἀνεῖλεν ἐν τῇ Πυθῶνι τῇ περὶ τὸν Παρνασσὸν, Δελφύνην ὁ Διονύσιος καλεῖ· οὗ τὸν ὁλκὸν ἀναδιπλώσας ἐν ἐπαναλήψεως σχήματι, φησὶν, ὅτι δράκοντος Δελφύνης παρακέκλιται ὁλκὸς τῷ Πυθίῳ τρίποδι, ὁλκὸς ἀπειρεσίαις ἐπιφρίσσων φολίδεσσιν· ὡς τῆς δορᾶς τοῦ δράκοντος ἐκεῖ ἀνακειμένης· ἐξ οὗ καὶ ἡ Πυθὼ παρωνομάσθαι δοκεῖ, ὡς ῥηθήσεται. ὁλκὸν δὲ ἔφη τὴν δορὰν τοῦ δράκοντος, τῷ ὀνόματι τοῦ ὅλου ὀνομάσας τὸ μέρος. ὡς καὶ ἡ βύρσα βοῦς λέγεται, καὶ ἐλέφας τὸ ὀστοῦν τοῦ ἐλέφαντος. φασὶ δὲ ὅτι ὁ Διονύσιος ἀντὶ ἀρσενικοῦ τοῦ ὁ Δελφύνης, θηλυκῶς εἶπεν ἡ Δελφύνη, τρόπῳ ποιητικῷ, κατὰ γένους κοινότητα.

2. Ὅρα δὲ ὅτι τὸ φολὶς ἐπὶ ὄφεως εἶπεν, ὡς τῶν λεπίδων ἰχθύσιν ἀποτετιμημένων. καὶ ὅτι τὸ φρίσσειν καὶ ἐπὶ τῶν ἐπανεστηκυιῶν φολίδων ἔφη, ἀπὸ θαλάσσης καὶ ἐνταῦθα τὴν λέξιν μεταγαγών. ὥσπερ γὰρ τὸ κυμαίνεσθαι, θαλασσία λέξις, οὕτω καὶ τὸ φρίσσειν κυρίως, καὶ ἐκεῖθεν μετήνεγκται εἰς ἄλλα διάφορα.

3. Ὅτι θυόεν πέδον τὸ τοῦ Πυθῶνος, διὰ τὰς ἐκεῖ πολλὰς θυσίας. καὶ ἱμερτὸν δὲ ἢ καὶ μέγαν λέγει τὸν αὐτόθι ναὸν τοῦ Ἀπόλλωνος. ἔνθα φησὶ τὸν Φοῖβον, ἀπὸ Μιλήτου ἢ Κλάρου ἐλθόντα, χρυσέης ἀναλύεσθαι ἅμμα φαρέτρης, ἤτοι λύειν τὸν τῆς φαρέτρας δεσμὸν, καὶ ἀποθέσθαι αὐτήν,

Quæ porrigitur boream verſus, ad fauces Thermopylarum,
Parnaſſi nivoſi ſub clivo [*declivitate*:] quam per mediam
Cephiſſi vaſtum fluentum deſcendens reſonat.
Apud quem Pythonis nidoroſum ſolum, ubi draconis
Delphynes tripodibus dei adjacet ſpira,
Spira infinitis inhorreſcens ſquamis,
Templo in amabili: ubi ſæpe ipſe Apollo,
Aut è Mileto aut è Claro quum recens advenit,
Subſiſtens aureæ ſolvit vinculum pharetræ. [dic
Verum hic quidem propitius eſto: tu autem mihi Jovis Muſa
Inſularum omnium ſacram viam, quæ in mari
Ab hominibus habitantur, converſæ alio aliæ.
Nempe in medio occiduarum columnarum
Extremæ Gades apparent hominibus,
Inſula in circumflua, in finibus Oceani.

τίω, ἀναπαύεσθαι. ἱερὰ δὲ ἦν Ἀπόλλωνος καὶ ἡ Μίλητος καὶ ἡ Κλάρος, καθὰ καὶ ἡ Δῆλος καὶ ἡ Πυθών· καθ' Ὅμηρον δὲ καὶ ἡ Κίλλα, καὶ ἡ Χρύση, καὶ ἡ Τένεδος, καὶ ἡ Ἴσμαρος. ὅτι δὲ ἡ Πυθὼν παρὰ τὸ πύθω, τὸ σήπω, λέγεται, ὡς ἐν αὐτῇ σαπέντος τοῦ ῥηθέντος δράκοντος· ἢ παρὰ τὸ πυθέσθαι, τὸ μαθεῖν, ὡς τῶν χρηστηριαζομένων ἐκεῖθεν μανθανόντων τὰ μέλλοντα, ἱκανῶς τεθρύλληται. ἡ δὲ Μίλητος, πόλις ἐστὶν Αἰολική, περὶ ἧς γραφήσεται τὰ δέοντα ἐν τοῖς ἑξῆς. ἡ δὲ Κλάρος λέγεται πάροιον εἶναι τῆς Κολοφῶνος· κληθῆναι δὲ οὕτως ἀπὸ τοῦ κλήρου, ἤτοι τοῦ λάχους. πολλῶν γὰρ, φασί, θεῶν κληρωσαμένων περὶ αὐτῆς, ἔλαχε τῷ Ἀπόλλωνι. λέγεται δὲ καὶ Διὸς Κλάριον μαντεῖον εἶναι αὐτόθι. ὅθεν καὶ παρὰ τῷ Λυκόφρονι ἡ Κασσάνδρα Κλάρου μιμαλλὼν λέγεται, τουτέστι βάκχη καὶ μάντις Κλαρία.

4. Ὅτι νῆσος ἑσπερειωτάτη τὰ ἐσχατεύοντα Γάδειρα, κατὰ μέσον τῶν περὶ τῇ Ἰβηρίᾳ πυλῶν· διὸ καὶ Ἰβηρικά φησιν ὁ Ἀρριανὸς αὐτά. ἔστι καὶ ἡ νῆσος αὕτη, κατὰ τὸν Γεωγράφον, οὐ πολὺ μείζων ἑκατὸν σταδίων, κατὰ τὸ μῆκος· πλάτος δ' ἔσθ' ὅπου καὶ σταδιαῖον. τὸ δὲ ἐθνικὸν αὐτῆς τετραχῶς λέγεται, Γαδειρίτης, καὶ Γαδειρεύς, καὶ Γαδειραῖος, καὶ Γαδειρανός, ὡς Βοσπορανός. ἔστι δὲ [illegible] μόνον οὐδετέρως τὰ Γάδειρα, [illegible]λὰ καὶ θηλυκῶς ἡ Γάδειρα. κεῖται δὲ [illegible] πέρμασιν ὠκε[illegible]ῖς περὶ τὴν ἑσπερίαν, δηλονότι θαλάσσης. Κοτινοῦσα τὸ πρότερον ἀνθρώπων κληιζομένη (ἤγουν κοτινόεσσα, ὡς πολλοὺς ἔχουσα κοτίνους, οἳ ἀγρίου ἐλαίας εἴδους εἰσί) μετονομασθεῖσα δὲ Γάδειρα. ἐνταῦθα Διὸς γόνον Ἡρακλέα τιμᾶσθαί φησιν. ἢ ὁ Θηβαῖος δὲ οὗτος ἦν Ἡρακλῆς, ἢ ὁ Φοῖνιξ, κατά τινας, ἤτοι ὁ Τύριος. ἔχει δὲ Φοινίκων ἀνδρῶν ἀποικίαν ἡ νῆσος. ἐμπορικοὶ γὰρ ὄντες οἱ Φοίνικες, καὶ σξηκτῆρες, καὶ τρῶκται, κατὰ τὸν Ποιητήν, καὶ πανταχοῦ πλανιζόμενοι, ᾤκησαν καὶ αὐτόθι, καὶ Γάδειρα με-

Ἐνθάδε [1] Φοινίκων ἀνδρῶν γένος ἐννεάουσιν,
Ἀζόμενοι μεγάλοιο Διὸς γόνον Ἡρακλῆα.
Καὶ τὴν μὲν ναετῆρες, ἐπὶ προτέρων ἀνθρώπων
Κληζομένην Κοτινοῦσαν, ἐφημίξαντο Γάδειρα.
Νῆσοι δ᾽ ἑξείης [2] Γυμνήσιαι. [3] ἄγχι δὲ Βοῦσος,
Σαρδώ τ᾽ [4] εὐρυπέτη, καὶ ἀπείριτος εἰν ἁλὶ Κύρνος,
Ἥν ῥά τε Κορσίδα φῶτες ἐπιχθόνιοι καλέουσιν.
Ὕλη δ᾽ ἀμφιλαφὴς οὔτις τόσον ὅσσον ἐκείνη.
Τὴν δὲ μέτ᾽, [5] Αἰόλου εἰσὶ περίδρομοι εἰν ἁλὶ νῆσοι,

κατονόμασαν αὐτήν, διὰ τὸ τοῦ τόπου στενὸν, οἱονεὶ γῆς δειράς, ὡς προγέγραπται.

1. Ὅτι δὲ καὶ αὐτόθι Φοίνικες ἀπῴκησαν, δηλοῖ καὶ ὁ Γεωγράφος, λέγων, ἀποικίας γενέσθαι Φοινίκων ἕως Ἰβηρίας, τῆς τε ἄλλης, καὶ ἔξω στηλῶν. Ἀῤῥιανὸς δὲ καὶ τὴν Ταρτησσὸν, Φοινίκων κτίσμα φησίν. Αἰλιανὸς δὲ ἐν τοῖς περὶ προνοίας φησὶν ὅτι ἐν Γαδείροις βωμὸς Ἐνιαυτοῦ ἵδρυται, καὶ Μηνὶ ἄλλος, εἰς τιμὴν χρόνου βραχυτέρου τε καὶ μικροτέρου. ἔστι δὲ καὶ Γήρως, φησὶν, ἱερὸν τοῖς ἐκεῖ, τιμῶσι τὴν ἡλικίαν τὴν μαθοῦσαν πολλά· καὶ Θανάτου ἄλλο, εἰς γέρας τῇ κοινῇ ἀναπαύλῃ, εἴτουν τῷ τελευταίῳ ὅρμῳ. καὶ βωμὸς δὲ, φησὶ, [illegible] τοῖς ἐκεῖ, Πενίας καὶ Τέχνης· τῆς μὲν [illegible]λειθυμίοις, τῆς δὲ, παραλαμβάνειν [illegible] ἄκος ἐκείνης. ἀνδρεῖοι δὲ περὶ ναυτι[illegible] οἱ Γαδειρῖται [illegible]ὸ καὶ ἐσχάτη οὖσα ἡ νῆσος ὅμως ὀνομα[illegible] ἐγένετο. ὅτι δὲ πολλοὶ τόποι ἀπὸ φυτῶν ἔχουσι τὰς κλήσεις, ὡς καὶ ἡ ῥηθεῖσα αὕτη Κοτινοῦσα, δῆλον. οὕτω γὰρ καὶ ἡ Ἐρεικοῦσα λέγεται, διὰ τὰς ἐν αὐτῇ ἐρείκας· καὶ ἡ Μίλητος Πιτυοῦσά ποτε, διὰ τὰς πίτυς, ἐκλήθη. καὶ ἐν Ἀθήναις δὲ πολλοὶ τόποι ἐντεῦθεν ἐκλήθησαν, ὡς ἡ Ῥαμνοῦς, ἀπὸ τῶν ἐκεῖ ῥάμνων· καὶ ἡ Ποντικὴ δὲ Κερασοῦς, ἀπὸ τῶν φυτῶν τῶν κερασίων κέκληται· καὶ ἀπὸ τῶν μυῤῥινῶν, οἱ Μυῤῥινούσιοι.

2. Ὅτι μετὰ τὰ Γάδειρα αἱ Γυμνήσιαι νῆσοι, οὕτω κληθεῖσαι ἢ διὰ τὸ γυμνοὺς καὶ ἀχλαίνους, κατὰ τὸν Λυκόφρονα, ἐκεῖ ἐξενεχθῆναι διὰ ναυαγίαν τινὰς τῶν Βοιωτῶν· ἢ ὅτι γυμνοὶ διάγουσιν οἱ ἐκεῖ. ἐκλήθησαν δέ ποτε καὶ Βαλιαρίδες αἱ τοιαῦται νῆσοι. ἄριστοι δὲ σφενδονᾶν οἱ ἐν αὐταῖς, ὡς καὶ Λυκόφρων ἱστορεῖ, σφενδόνας ἀνὰ τρεῖς ἔχοντες ἐν τῇ κεφαλῇ. διὸ καὶ Βαλιαρεῖς λέγονται, ὅ ἐστι σφενδονῆται, κατὰ τὴν ἐγχώριον γλῶσσαν. ἐπεὶ δὲ εἰπόντων τινῶν εἶναι τὰς Γυμνησίας νήσους, ὁ Γεωγράφος δύο αὐτὰς ἱστορεῖ· ὧν ἡ μὲν, φησὶ, μείζων, ἡ δὲ ἐλάττων. εὐδαίμονες ἄμφω· καὶ εὐλίμενοι μὲν, χοιραδώδεις δὲ, ἤτοι πετρώδεις, καὶ τραχεῖαι κατὰ τὰ στόματα τῶν λιμένων. οἱ δὲ ἐν αὐταῖς ἄνθρωποι πρῶτοι πλατυσήμους χιτῶνας ἐφόρουν. λέγεται δὲ καὶ ὅτι εἰς τούτους κομισθέντες πέραθέν ποθεν δύο λαγιδεῖς, ἄῤῥην καὶ θήλεια, οὕτως εἰς ἐπιγονὴν πολλὴν ηὐξήθησαν, ὥστε καὶ οἴκους ἀνατρέπειν ἐξ ὑπονομῆς, καὶ δένδρα. ὅθεν καὶ ἠναγκάσθησαν οἱ ἐκεῖ πρεσβεῦσαι πρὸς Ῥωμαίους διὰ χώρας αἴτησιν. εἰσὶ δὲ γεωρύχοι καὶ ῥιζοφάγοι οἱ λαγιδεῖς, οὓς καὶ λεβηρίδας ἐκάλουν τινές.

3. Ὅτι ἐπὶ ταῖς Γυμνησίαις νήσοις ἡ Βοῦσός ἐστιν, ἣν Ἡρωδιανὸς ἐν τῇ καθόλου προσῳδίᾳ ὀξύνει, Βουσὸς ἀναγινώσκων. ταύτης ὁ κύκλος πεντακοσίων σταδίων, ὡς ὁ Γεωγράφος φησίν.

4. Ὅτι τῶν ἐν τῷ Λιγυστικῷ πελάγει μέγισται νῆσοι μετὰ Σικελίαν, ἡ Σαρδὼ

καὶ

Ibi Phœnicum hominum genus inhabitant,
Venerantes magni Jovis filium Herculem.
Atque hanc quidem incolæ, ætate priorum hominum
Dictam Cotinuſam, vocarunt Gades.
Inſulæ autem deinceps Gymneſiæ: prope vero Buſus,
Sardiniaque latiſſima, & immenſa in mari Cyrnus,
Quam quidem Corſicam viri indigenæ appellant.
Nemoribus autem abundans nulla adeo ut illa.
Hanc autem poſt, Æoli ſunt quæ circuiri poſſunt in mari inſulæ,

καὶ ἡ Κύρνος. διὸ καὶ ὁ Διονύσιος εὐρυπέτηλον καλεῖ τὴν Σαρδώ. ἱστοροῦνται δὲ πολυχρονιώτατοι εἶναι οἱ Κύρνιοι. τὴν δὲ Κύρνον καὶ Κορσίδα, φησί, καλοῦσιν, ἤ, κατά τινας τῶν ἀντιγράφων, Κορσίκαν. καί, ὡς μὲν ἄλλοι φασί, Κορσὶς καλεῖται, ἀπὸ Κόρσης γυναικός. λέγεται γὰρ ὅτι νῆσος ἐν τῷ Τυρσηνικῷ πελάγει Κορσὶς ἀπὸ Κόρσης δούλης βουκόλου· ὡς δὲ καὶ ὁ Διονύσιος βούλεται, Κορσὶς λέγεται, διὰ τὰς ἐν αὐτῇ κόρσας, ὅ ἐστι κορυφὰς τῶν ὀρέων. ἔστι γὰρ τῇ ὕλῃ, φησίν, ἀμφιλαφής, ὅ ἐστι δασεῖα, οὔ τις τόσσον ὅσον ἐκείνη. ἀμφιλαφὲς δὲ κυρίως ἐστὶ τὸ δασύ, ὅ ἐστιν ἀμφοτέρωθεν λαβέσθαι· τραπέντος τοῦ β εἰς φ, Μακεδόνων ἔθει, οἳ καὶ τὸν Φίλιππον, Βίλιππόν φασι. ζητοῦσι δέ τινες καὶ τὸ σοφὸς, ἐκ τοῦ σείω· καὶ τὸ στριφλὸς, ἀπὸ τοῦ στρίφω. Ἰστέον δὲ ὅτι οὐ μόνον ἐπὶ δασύτητος λέγεται τὸ ἀμφιλαφὲς, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ πλήθους, ἢ πυκνότητος· ὡς δηλοῖ ὁ εἰπὼν βροντὰς ἀμφιλαφεῖς, καὶ ἐλέφαντας περί τινα τόπον ἀμφιλαφεῖς. καὶ τοῦτο μὲν ζητοῦσιν. ἡ δὲ Σαρδὼ, καθὼς ἐν ἄλλοις παραγράφη, ἐκφέρεται καὶ διὰ τοῦ ν Σαρδών. φησὶ γοῦν ὁ Γεωγράφος, « Διέχει Σαρδόνος ἡ Κύρνος, ἡ καὶ Κορσίκα ὑπὸ Ῥωμαίων λεγομένη, σταδίους ξ΄. τραχεῖα δέ ἐστι, φησί, καὶ οἰκεῖται φαύλως. καὶ οἱ κατέχοντες αὐτὴν θηρίων εἰσὶν ἀγριώτεροι, καὶ οὕτω βοσκηματώδεις, ὥστε καὶ ἀνδραποδισθέντες, ἢ οὐκ ἀνέχονται ζῆν, ἢ ζῶντες ἀπειθείᾳ καὶ ἀναισθησίᾳ τοὺς ἔχοντας ἐπιτρίβουσι· καὶ οἱ αὐτοὺς κτώμενοι δεσπόται, εἰ καὶ τὸ τυχὸν τίμημα καταβάλλουσιν ὑπὲρ αὐτῶν, ὅμως μεταμέλει αὐτοῖς ὕστερον. » ἐκλήθη δὲ Σαρδὼν, ἀπὸ Σάρδονος υἱοῦ Ἡρακλέος· ὀνομάσθη δέ ποτε καὶ Ἰχνοῦσα, ἐπεὶ ἴχνει ἀνθρώπου ἐστὶν ὁμοία τὸ σχῆμα. ᾠκίσθη δέ ποτε καὶ ὑπὸ Ἰβήρων, εἶτα ὑπὸ Ἡρακλειδῶν, μετοικίσαντος Ἡρακλέος ἐκεῖ τούς τε Θεσπιάδας καί τινας τῶν Καδμείων καὶ τῶν Λοκρῶν. εἶτα ᾠκίσθη καὶ ὑπὸ Καρχηδονίων. ἀπὸ δὲ ταύτης τῆς Σαρ[illegible]ας, καὶ ὁ παροιμιώδης λέγεται κατά τινας Σαρδόνιος ἢ Σαρδάνιος γέλως, περὶ οὗ ἐν τῇ Ὀδυσσείᾳ γέγραπται.

§. Ὅτι τὸν Αἴολον (περὶ [illegible]ντίον καὶ εἰς τὴν [illegible]ιάν) φιλο[illegible] βασιλέα λέγει, καὶ Ἱπποτάδην, ἀκολούθως Ὁμήρῳ· καὶ χρησάμενος καὶ εἰς αὐτὸν ἐπανελήψατο, διὰ τὸ περὶ αὐτοῦ θρύλλον. λέγει δὲ θαυμαστὰ δῶρα λαχεῖν αὐτόν. ταῦτα δ' ἐστὶν, ἀνέμων ἡγεμονία, ἤγουν κυριότης, κλονεόντων τε ἱσταμένων τε· καὶ ὅτι αἱ τοῦ Αἰόλου περίδρομοι ἐν ἁλὶ νῆσοι ἑπτά εἰσιν, ἐπώνυμοι, φησὶν, ἀνδράσι Πλωταί, τουτέστι φερωνύμως καλούμεναι Πλωταί· οὐχ ὅτι μετακινοῦνται, ὡς ἡ Δῆλός ποτε μυθεύεται, ἀλλὰ ὅτι, ὡς περίδρομοι, μέσον, φησὶν, ἔχουσι περίπλοον ἀμφιέλικτον, τουτέστι περιπλέονται.

Αἰόλου Ἱπποτάδαο, φιλοξείνου βασιλῆος,
Αἰόλου, ὃς θνητοῖς μετ' ἀνδράσιν ἔλλαχε δῶρα,
Κοιρανίην ἀνέμων κλονεόντων θ' ἱσταμένων τε.
Επτὰ δέ οἱ ταί γ' εἰσὶν, ἐπώνυμοι ἀνδράσι Πλωταί,
Οὕνεκα μέσσον ἔχουσι περίπλοον ἀμφιέλικτον.
Τρινακίη [1] δ' ἐπὶ τῇσιν, [2] ὑπὲρ πέδον Αὐσονιήων
Εκτέταται, πλευρῇσιν ἐπὶ τρισὶν ἑστηκυῖα·
Ακρα δέ οἱ, Πάχυνός τε, Πελωρίς τε, Λιλύβη τε.
Αλλ' ἤτοι Λιλύβη μὲν ἐπὶ ῥιπὴν Ζεφύροιο
Εἰσανέχει, Πάχυνος δὲ πρὸς αὐγὰς, αὐτὰρ ἐπ' ἄρκτους
Ηνεμόεσσα Πελωρὶς, ἐς Αὐσονίην ὁρόωσα.
Τῆς μὲν [3] πρὸς Βορέην ὀλοὴ ναύτῃσι κέλευθος,

ται· καί εἰσι γνώριμοι, καὶ οὐκ ἀνώνυμοι, οὐδὲ ἄπλοοι, διὰ μοχθηρίαν τινά. τοῦτο δὲ ὀρθῶς νήσων ἐστίν. εἶπε δὲ καὶ Ὅμηρος τὴν Αἰόλου νῆσον, Πλωτήν· καὶ τούτου ζήτει τὴν αἰτίαν ἐκεῖ. αἱ δ' αὐταὶ νῆσοι, αἱ τοῦ Αἰόλου, λέγονται καὶ Λιπαραίων νῆσοι, διέχουσαι τοῦ Σικελικοῦ πορθμοῦ στάδια σ'. ἐν ἀπόψει κεῖνται τοῖς ἐκ Σικελίας καὶ Ἠπείρου πλέουσιν. ὧν [illegible] μιᾷ τῇ καλουμένῃ Στρογγύλῃ τὸν Αἴολον οἰκῆσαί φασιν, ἥτις βίᾳ μὲν φλογὸς λείπεται τῶν ἄλλων ἓξ νήσων, φέγγει δὲ πλε[illegible]ει. μεγίστη δ' αὐτῶν ἡ Λιπάρα, ἀπὸ [illegible] Λιπάρου τινὸς κληθεῖσα υἱοῦ Αὔσονος [illegible] ἰδίαν ἀποι[illegible] ἐξ ἧς, ὡς ἀπὸ μέρους περιέχοντος, αἱ π[illegible] Λιπαραίων λέγονται νῆσοι. ὠνομάσθη δέ ποτε αὕτη καὶ Μελιγουνίς. ἐγγυτάτω δὲ αὐτῆς ἐστιν ἡ Σικελία. Σημείωσαι δὲ ὅτι αἱ τοῦ Αἰόλου νῆσοι Αἰολίαι λέγονται, οὐ μὴν καὶ Αἰολίδες (τοῦτο γὰρ αἱ τῶν Αἰολέων νῆσοι εἰς κλῆσιν εἰλήχασι) καὶ ὅτι περὶ τὸ Τυρσηνικὸν κεῖνται αὗται λέγονται πέλαγος. ὅθεν σημειωτέον ὅτι καὶ ἡ Σικελία τῷ Τυρσηνικῷ πελάγει παράκειται.

1. Ὅτι τὴν παρ' Ὁμήρῳ Θρινακίαν Τρινακίαν οὗτός φησι, τουτέστι τὴν Σικελίαν. ἥτις ἐκτέταται, φησὶν, ἐπὶ τρισὶ πλευραῖς ἑστηκυῖα, οἷα δηλονότι τρίγωνος οὖσα. καὶ ἔστιν οἷον ἐτυμολογία τοῦτο τῆς Τρινακίας, οἱονεὶ τρινακρείας, ὅ ἐστι τρία ἐχούσης ἄκρα. διὸ καὶ ὁ Λυκόφρων τρίδειρον νῆσον λέγει αὐτὴν, καὶ ὁ Πίνδαρος τριγλώχινα. καὶ ὅρα τὸ ἑστηκυῖα ἐπὶ τρισσαῖς πλευραῖς· διὰ τοῦτο γὰρ ἐν τοῖς φθάσασι κρηπῖδάς που εἶπεν, ἤτοι βάσεις, τὰς τοῦ τριγώνου πλευράς, ὡς τοῦ ἱσταμένου ἐπὶ κρηπῖδος ἱσταμένου, ἤτοι βάσεώς τινος. ἄκρα δέ οἱ, φησὶν, ἤτοι ἀκρωτήρια, καὶ γωνίαι τοῦ νησιωτικοῦ τούτου τριγώνου, Πάχυνός τε, Πελωρίς τε, Λιλύβη τε. καὶ ὅρα ὅτι [illegible] ἐν ἑνὶ στίχῳ τὰ τρία τῆς Σικελίας ἄκρα ἐμπεριείλαφεν. ὧν Λιλύβη μὲν πρὸς Ζέφυρόν ἐστιν εἰσανέχουσα, (ἥτις καὶ οὐδετέρως Λιλύβαιον λέγεται, ὡς κεφαλὴ, κεφάλαιον) Πάχυνος δὲ πρὸς αὐγάς· ἐπ' ἄρκτον δὲ πρὸς Αὐσονίαν ὁρᾷ ἡ Πελωρὶς, ἧς ἐν τῷ κόλπῳ ἡ Μεσσήνη. καὶ ὅρα τὸ εἰσανέχουσα ὡς οὐ μάτην ἐστοίχισται ταῖς προθέσεσιν, ἀλλ' ἡ μὲν εἰς πρόθεσις τὸ ἐπὶ πολὺ τὴν ἄκραν ἐκτείνεσθαι εἴσω θαλάσσης ἐμφαίνει, ἡ δὲ ἀνὰ τὸ ὕψος τοῦ ἀκρωτηρίου παραδηλοῖ· ὅθεν καὶ ἠνεμόεσσαν ἔφη Πελωρίδα. Ἰστέον δὲ ὅτι Πελωρὶς [illegible] μὲν Σικελίας ἄκρα

Æoli Hippotadæ, hoſpitalis regis,
Æoli, qui miranda inter homines ſortitus eſt munera,
Imperium ventorum turbantium quieſcentiumque.
Septem autem ei illæ ſunt, cognominatæ ab hominibus Plotæ,
Eo quod mediam circumnavigationem habent circumflexam.
Trinacia [*Sicilia*] autem poſt has, ſuper ſolum Auſoniorum
Extenta eſt, latera ſuper tria ſtans:
Promontoria vero ei, Pachynuſque, Peloriſque, Lilybeque.
Sed enim Lilybe quidem ad flatum zephyri
Prominet, Pachynus vero ad orientem, ad urſas [*ſeptentrio-* [*nem*]
Ventoſa Peloris, in Auſoniam ſpectans.
Hujus quidem ad boream pernicioſa nautis via,

κραιέστι· κεῖται δέ ποτε ἡ λέξις καὶ ἐπὶ ὀστρέου. ἔστι γὰρ, κατὰ τοὺς παλαιοὺς, Πελωρὶς, ὀστρέου εἶδος, χήμης μεγαλώτερον· διὸ καὶ Πελωρὶς διὰ τὸ μέγεθος λέγεται. καὶ ταῦτα μὲν οὕτως. ὁ δὲ Γεωγράφος λέγει ὅτι ἀπὸ Τρινακρίας Θρινακία προσηγορεύθη, μετονομασθεῖσα εὐφωνότερον. λέγει δὲ « καὶ διάρμα εἶναι ἀπὸ Παχύνου τοῦ « ἑῴου ἄκρου, πρὸς τὸ στόμα τοῦ ἐν Πε« λοποννήσῳ Ἀλφειοῦ, στάδια δ΄. ἀπὸ δὲ « τοῦ ἑσπερίου Λιλυβαίου ἐπὶ τὴν Λιβύην « καὶ Καρχηδόνα τοὐλάχιστον ͵αφ΄. καί τις « τῶν ὀξυδερκέστατον λέγεται ἀπὸ σκο« πιᾶς ἀπαγγέλλειν τοῖς ἐν Λιλυβαίῳ « τὸν ἀριθμὸν τῶν ἐκ Καρχηδόνος ἀναγο« μένων σκαφῶν". Ἰστέον δὲ ὅτι ὁ Διόδωρος οὐ μόνον ἀκρωτήριον Σικελίας οἶδε τὸ Λιλύβαιον, ἀλλὰ καὶ φρέαρ ἐν τούτῳ θαῦμα ἱστορεῖ οὕτω καλούμενον, καὶ πόλιν δὲ περὶ φρέατι τούτῳ ὁμώνυμον.

2. Ὅρα δὲ ὅτι καὶ ἐνταῦθα ἐν τῷ, Τρινακρίη δ' ὑπὲρ πέδον Αὐσονίων, τῇ ὑπὲρ προθέσει συνήθως αὐτὸς ἐπὶ τοῦ νοτίου ἐχρήσατο. νοτιωτέρα γὰρ ἡ Σικελία τῆς τῶν Αὐσόνων ἠπείρου· ἧς καὶ ἐκκέκοπται, ὡς ῥηθήσεται. ἄλλοι δέ φασιν ὅτι Θρινακία λέγεται, διὰ τὸ ἐοικέναι θρίδακι· ὅπερ ἀπᾴδει τῇ τῶν παλαιῶν δόξῃ. οὐ γὰρ δοκεῖ τοιούτου σχήματος εἶναι ἡ Σικελία. Σίβυλλα δέ φασιν ἀπὸ Τρινάκου βουκόλου κληθῆναι, εἰποῦσα,

—— ἣν ἔκτισε Τρίνακος ἥρως,
Υἱὸς ποντομέδοιο Ποσειδᾶνος.

3. Ὅτι περὶ βορείαν τῆς Σικελίας ὀλεθρία τοῖς ναύταις κέλευθος, στενή τε, σκολιά τε καὶ ἄγριος· ὅπου ἡ θάλασσα, φησὶ, συρομένη κατὰ πλάτος Εὐρίπου, μακραῖς ἐμβρέμεται σπιλάδεσσιν, ἤγουν παραθαλασσίαις πέτραις. ἐμφράζει δὲ τὸν Σικελικὸν ἐν τοῖς ἔπεσι τούτοις πορθμὸν [illegible] ἔνθα καὶ τὸ τῆς Χαρύβδεως ὁ Ὁμηρικὸς μῦθος γίνεσθαι λέγει [illegible]ος, καὶ τὸ τῆς Σκύλλης κακόν. ἔστι δὲ ῥοώδης καὶ οὗτος ὁ πορθμός· καὶ αὐτὸς μὲν δὶς ἑκάστης ἡμέρας μεταβάλλει, ἑπτάκις δὲ τὸ ὅλον νυχθήμερον ὁ περὶ Εὔβοιαν Εὔριπος. περὶ ὃν φασι διατρίψαντα τὸν Ἀριστοτέλην καταλῦσαι τὸν βίον· ὅπου καὶ ἡ Εὐβοϊκὴ Ἀρέθουσα, ἔτι δὲ καὶ ἡ Χαλκὶς, ἀφ' ἧς καὶ ὁ Εὐβοϊκὸς Εὔριπος, Χαλκιδικὸς λέγεται. ταύτης δὲ τῆς Χαλκίδος οἱ πολῖται ἀνδρεῖοι ἱστόρηνται· περὶ ὧν χρησμὸς τοιοῦτος ἐξέπεσεν,

Ἵππον Θεσσαλικὸν, Λακεδαιμονίαν τε γυναῖκα.

Ἄνδρας

Στεινή τε, σκολιή τε καὶ ἄσχετος· ἧχι θάλασσα
Συρομένη μακρῇσι περιβρέμεται σπιλάδεσσιν,
Αονίῳ [1] τμηθεῖσα πολυγλώχινι σιδήρῳ.
Πρὸς δὲ νότον Λιβυκός τε πόρος, καὶ Σύρτιδος ἀρχὴ
Τῆς ἑτέρης· [2] ἑτέρην δ' ἂν ἴδοις, προτέρωσε περήσας,
Εσπερίην· τῆς πρόσθε δύω νησῖδες ἔασι,
Μῆνιγξ καὶ Κέρκιννα, Λιβυστικὸν ὅρμον ἔχουσαι.
Ἀλλ' ὁπότ' Ἀδριάδος σκαιὸν πόρον ἀμφιτρίτης
Εἰσελάσεις ἐπὶ νηὸς, Ιηπυγίην ἐπὶ γαῖαν,
Δήεις ἰφθίμου [3] Διομήδεος αὐτίκα νῆσον,

Ἄνδρας θ' οἳ πίνουσιν ὕδωρ ἱερᾶς Ἀρεθούσης.

τὰς Χαλκιδέας λέγων ὁ τοιοῦτος χρησμὸς Ἀρεθουσίους, κατὰ τὴν ἐξήγησιν τῶν παλαιῶν. ἐκεῖ γάρ ἐστιν ἡ τοῦ τοιούτου χρησμοῦ Ἀρέθουσα. δεῖ γὰρ εἰδέναι ὅτι οὐ μία ἡ Σικελική, ἀλλὰ πολλαί εἰσιν Ἀρέθουσαι, ὥσπερ καὶ Χαλκίδες, καὶ Εὔβοιαι, ναὶ μὴν καὶ πορθμοὶ ῥοώδεις κατὰ τὸν Σικελικόν. ὧν τινων πορθμῶν ὁ κατὰ τὸ Βυζάντιον ἔκρουν ἔχει μόνον, οὐ μὴν καὶ ἀνάπεμψιν. Ἵππαρχος δὲ ἱστορεῖ καὶ μόνον ποτὲ ποιεῖσθαι αὐτὸν, ἤγουν ἵστασθαι. κἀκεῖνο δὲ ἱστέον, ὅτι τῶν δύο τῆς Σικελίας πορθμῶν ὁ μὲν πρὸς τῇ Ἰταλίᾳ, [illegible]όρειος, περὶ οὗ κατὰ τὸ προσεχὲς εἴρηται, ἑπτασταδίως ἱστορεῖται. τοσοῦτον γὰρ τῆς γῆς διέχει τ[illegible]ότητι, καθὰ καὶ τὸ μέρος τοῦ Ἑλλησπόντου, ὡς προείρηται. ὁ δὲ πρὸς τῇ Καρχηδόνι, ὁ νότιος, ὁ ἀπὸ Λιλυβαίου ἐπὶ Λιβύην, ὡς περὶ ὀλίγου γέγραπται, σταδίων ͵αφ΄. ὃν Λιβυκὸν πόρον καλεῖ Διονύσιος.

1. Οὐκ ἡ Σικελία χερρόνησός ποτε ἦν συνεχὴς κατὰ τὸν ἰσθμὸν τῇ τῶν Αὐσόνων γῇ· σεισμοῦ δέ τινος, ὡς εἰκὸς, ἐξαισίου συμπεσόντος, καὶ τοῦ ἰσθμοῦ διαρραγέντος, εἰσπεσεῖν φασι τὴν παρίσθμιον θάλασσαν, καὶ μεσολαβήσασαν ἰδίαν νῆσον τὴν Σικελίαν, οὐ πολὺ διὰ τοῦτο τῆς χέρσου διέχουσαν. ὅθεν καὶ μῦθος φέρεται, τὸν Ποσειδῶνα, οἷα ἐπιστατοῦντα τοῖς σεισμοῖς, ἀποτεμεῖν τὸν ἰσθμὸν Αὐσονίῳ πολυγλώχινι σιδήρῳ, καὶ παρεισαγαγεῖν τὴν ἑκατέρωθεν ζωννύουσαν αὐτὸν θάλασσαν· καὶ οὕτω νῆσον ποιῆσαι τὴν πάλαι χερρόνησον, χαριζόμενον Ἀκέστῃ τῷ τοῦ Αἰόλου παιδὶ, ὡς ἂν ἔχοι ταύτην οἰκεῖν ἀσφαλῶς. ἀπὸ δὲ τῆς ῥηθείσης ῥήξεως, ὡς προείρηται, καὶ τὸ ἐκεῖ λέγεται παρονομασθῆναι Ῥήγιον· καθά που καὶ τὸ παρ' ἡμῖν, τὸ Θρᾴκιον. καὶ αὐτὸ γὰρ ἐπὶ τοιᾷδε ῥήξει ὀνομασθῆναί τινες οἴονται· δι' ἧς ῥήξεως ἡ λίμνη τῇ ἐγγὺς θαλάσσῃ ἁμιλλήσει διεκρούσατο. τοιοῦτον δέ τι παθεῖν καὶ τὸν Ἑλλήσποντον ἱστοροῦσί τινες, ὡς προϊοῦσι ῥηθήσεται. ὁ δὲ Γεωγράφος φησὶν ὅτι ὑπονοεῖται τὴν Λέσβον ἀπερρωγέναι τῆς Ἴδης, ὡς καὶ τὴν Σικελίαν τῆς Ῥηγίνης, καὶ τὴν Ὄσσαν τοῦ Μακεδονικοῦ Ὀλύμπου· ὧν μέσον ἐκτεθεὶ διερρύηκεν ὁ Πηνειός. καὶ τὴν Εὔβοιαν δὲ γῆν λεπτὸς Εὐρίπου κλύδων Βοιωτίας ἀκτῆς ἐχώρισε, καθά πως φησὶ ποιητής. πολυγλώχινα δὲ σίδηρον τὴν τοῦ Ποσειδῶνος καλεῖ τρίαιναν, κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ τριγλώχινα, τρεῖς ἀκίδας ἔχουσαν. ὥσπερ καὶ προϊών που ἐρεῖ, ὅτι ἐν Ἀσίᾳ πολὺς ὠκεανός· ὅπερ αὐτὸς ἑρμηνεύων φησὶ, τρεῖς γὰρ κόλπους ἐργάζεται εἴσωθι·

Anguſtaque, & obliqua & intractabilis: ubi mare
Tractum longos fremit circa ſcopulos,
Aonio ſciſſum multas cuſpides habente ferro.
Ad auſtrum autem & Libycus meatus, & Syrtidis initium eſt
Alterius: alteram vero videas, ulterius ubi trajeceris,
Occidentalem: quam ante duæ parvæ inſulæ ſunt,
Meninx & Cercinna, Libyſticum portum habentes.
Verum quum Adriatici ſiniſtrum alveum maris
Intraveris in navi, Iapygiam in terram,
Invenies fortis Diomedis confeſtim inſulam,

θι· ὡς ταυτὸν ὂν εἰπεῖν, πολὺς ὠκεανὸς, καὶ τέρμονες ἐξ ὠκεανοῦ κόλποι. εἴ τι γὰρ τρία, φασὶ, τοῦτο καὶ πολλά· οὐ μὴν καὶ ἀνάπαλιν, εἰ πολλὰ, ἐξ ἀνάγκης καὶ τρία. οὐ γὰρ ἀντιστρέφει ὁ λόγος. αἰνίττεται δὲ, φασὶν, ἡ τρίαινα τὰς τρεῖς τῶν ὑδάτων ποιότητας· τὴν ἁλμυρὰν, οἵα ἐστὶν ἡ τῆς θαλάσσης· τὴν γλυκεῖαν, ὁποία ἡ τῶν ποταμῶν· καὶ τὴν μέσην, τὴν τῶν λιμνῶν. τὰ γὰρ πικρὰ καὶ ὀξώδη, καὶ εἴ τι που ἄλλο τοιοῦτον, οὐ περιληπτέον, διὰ τὸ σπάνιον. Ἀόνιον δὲ σίδηρον λέγει, ὡς ἐάν τις εἴποι Βοιώτιον. Ἄονες γὰρ ἔθνος βάρβαρον, οἰκοῦσαν ποτὲ ἐν Βοιωτίᾳ· ἔνθα Ποσειδῶν ἐτιμᾶτο, καὶ οὐ δήπου κάλλιστός ἐστιν ὁ Ἀόνιος σίδηρος. τοιοῦτος γὰρ μάλιστα ὁ Χαλυβικὸς μεμαρτύρηται, ὡς ἐν τοῖς ἑξῆς εἰρήσεται.

2. Ὅτι περὶ τὴν ἑσπερίαν Σύρτιν, τὴν μακρὰν δηλαδὴ, δύο νῆσοι, Μῆνιγξ καὶ Κέρκιννα. Λωτοφάγων δὲ γῆ καὶ αὗται λέγονται, καὶ μάλιστα ἡ Μῆνιγξ, ἐν ᾗ καὶ βωμὸς Ὀδυσσέως, καὶ λωτὸς πολύς· περὶ οὗ φησιν ὁ Γεωγράφος, δένδρον τὸ καλούμενον λωτὸν, ἔχον ἥδιστον καρπόν. περὶ οὗ ἱστορεῖ πολλὰ καὶ Ἀθήναιος. γέγραπται δὲ περὶ αὐτοῦ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν.

3. Ὅτι ἡ Διομήδεια νῆσος (ἣν οὗτος ἰφθίμου Διομήδεος νῆσόν φησι, περιφραστικῶς αὐτὴν ἐτυμολογῶν) περὶ τὴν Ἀδριάδα ἐστὶ θάλασσαν, ἐπ' ἀριστερᾷ τοῖς εἰσπλέουσι, πρὸς τῇ Ἰαπυγίᾳ· ἔνθα ᾤκησε Διομήδης, διωχθεὶς ἐκ τῆς πατρίδος Ἀφροδίτης χόλῳ, οἷα τρωθείσης ὑπ' αὐτοῦ ἐν τῷ κατὰ τὴν Τροίαν πολέμῳ, καθά φησι καὶ Ὅμηρος. Ἱστέον δὲ ὅτι ὁ μὲν Ποιητὴς σώφρονά τε οἶδε τὴν τοῦ Διομήδους γυναῖκα τὴν Αἰγιάλειαν, καὶ οὐδὲ διωχθῆναι τὸν Διομήδην ἱστορεῖ. ἄλλοι δὲ ἱστοροῦσιν ὡς ἡ Ἀφροδίτη ἐν τῷ καιρῷ τοῦ Τρωϊκοῦ πολέμου ἀνέπεισε τὴν Αἰγιάλειαν (ἣν καὶ κακόφρονα οὗτος καλεῖ) μιχθῆναι Σθενέλῳ τῷ τοῦ Καπανέως, ὑφ' ὧν καὶ ἐξωσθεὶς μετὰ τὸν νόστον ὁ Διομήδης, εἰς τριλλίστους ἢ τηλίστους Ἴβηρας ἦλθε πλανήτης, ἀλλὰ καὶ εἰς τὴν νῆσον ταύτην. ἔστι δὲ τὸ μὲν τριλλίστους, ταυτὸν τῷ παρ' Ὁμήρῳ πολυλλίστους, ὅ ἐστι πολυλιτανεύτους· τοῦ τρία, ἀντὶ τοῦ πολὺ ληφθέντος· ἀντιστρόφως τῷ πρὸ μικροῦ ῥηθέντι πολυγλώχινι. ἐκεῖ γὰρ πάλιν τὸ πολὺ ἀντὶ τοῦ τρία ἔθετο ῥυθμοῦ, ὡς προείρηται. καὶ τοιοῦτον μὲν τὸ τριλλίστους. τὸ δὲ τηλίστους, τοὺς ἑσπερίους δηλοῖ· καὶ τῆλε, ὅ ἐστι πόρρω, πρὸς τῷ ὠκεανῷ ἀπέχοντας. ἐκεῖ γὰρ ἡ ἑσπερία Ἰβηρία κεῖται. ἄλλοι δὲ δύο ἱστοροῦσι τὰς τοῦ Διομήδους νήσους, λέγοντες καὶ ὅτι τῆς περὶ τὴν θάλασσαν ταύτην δυναστείας τοῦ Διομήδους καὶ αἱ Διομήδειαι νῆσοι μαρ-

M τύρια,

Ἔνθ' ἥρως ἀφίκανε, χαλεψαμένης Ἀφροδίτης,
Ὁππότε τελλίστων μετεκίαθεν ἔθνος Ἰβήρων,
Ἧς ἀλόχου βουλῇσι κακόφρονος Αἰγιαλείης.
Ἑξείης δὲ, πόρσιο πρὸς αὐγὰς Ἰονίοιο,
Ἀψύρτου [1] νήσων ἀναφαίνεται ἄσπετος ὁλκός·
Τάς ποτε Κόλχων υἷες ἐπέδραμον, εὖτ' ἐμόγησαν
Ἴχνια μαστεύοντες ἀλήτιδος Αἰητίνης.
Ἑξείης δ' ἐπὶ τῇσι Λιβυρνίδες ἐῤῥίζωνται.
Πρὸς δὲ νότον [2] μετὰ δρυμὰ Κεραύνια νηῒ θεούσῃ
Νῆσοί κεν φαίνοιντο περαιόθεν Ἀμβρακιήων,
Καὶ λιπαρὴ Κέρκυρα, φίλον πέδον Ἀλκινόοιο.
Τῇ δ' ἔπι, Νηρικίης Ἰθάκης ἕδος ἐστήρικται,
Νήσων τ' ἀλλάων, ὅσσας τ' ἀπὸ [3] Χαλκίδος ἕρπων
Δίνῃς ἀργυρέῃς Ἀχελώϊος ἀμφὶς ἑλίσσει.

τόρια, καὶ ὁ παρ' Ἐντοῖς αὐτοῦ λοιπὸς ἵππος, ὡς ἐῤῥέθη, θυόμενος. τῶν δὲ δύο τούτων νήσων τὴν μὲν οἰκεῖσθαί φασιν, ἧς καὶ μεμνῆσθαι δοκεῖ ὁ Διονύσιος· τὴν δὲ ἔρημον εἶναι, ἐν ᾗ καὶ τὸν Διομήδην ἀφανισθῆναι λέγουσι, καὶ τοὺς ἑταίρους ἐκεῖ ἀπορνιθωθῆναι, ὡς καὶ ὁ Λυκόφρων φησί.

1. Ὅτι περὶ τὰς ἀνατολὰς τοῦ Ἀδρίου ὁ τῶν Ἀψύρτου νήσων ἄσπετος ὁλκὸς ἀναφαίνεται, ὅ ἐστιν αἱ Ἀψυρτίδες νῆσοι, ἃς οἱ Κόλχοι, φησίν, ἐπέδραμον, τὰ τῆς Μηδείας ἴχνη μαστεύοντες, ἤτοι ζητοῦντες, καὶ καταδιώκοντες, ὅτε τῷ Ἰάσονι κατ' ἔρωτα ἠκολούθησεν· ἣν καὶ μὴ συλλαβεῖν ἐκεῖναι ἐξισχύσαντες, ἀλλ' εἰς κενὸν μογήσαντες, ᾤκησαν ὑπ' ἀμηχανίας ἐκεῖ. οὐ γὰρ ἦν αὐτοὺς εἰς Κολχίδα νοστῆσαι, εἰ μὴ καὶ τὴν Μήδειαν ἀνακομίσωνται. οὕτω γὰρ ὁ Αἰήτης ἠπειλήσατο. ὠνομάσθησαν δὲ Ἀψυρτίδες αἱ νῆσοι, ἀπὸ Ἀψύρτου ἀδελφοῦ Μηδείας ἐν συνδιώκοντα ἑλοῦσα διέφθειρεν ἡ Μήδεια μέλεσι τεμοῦσα, καὶ τῇ θαλάσσῃ τὰ τῶν σαρκῶν ἐπισπείρασα τμήματα. Ὅρα δὲ ὅτι τὰ ἴχνη Μηδείας, ἀστείως εἶπεν, ὡς ἐπὶ διωκομένου καὶ ἰχνηλατουμένου θηρός. ἔστι δὲ οὕτω καὶ σεμνὸς ὁ λόγος. λεληθότως γὰρ ὡς θηριάδη σκώπτει αὐτὴν ἐπὶ τῷ φόνῳ τοῦ ἀδελφοῦ. Σημείωσαι δὲ καὶ τὸ ὁλκὸς ἐπὶ νήσων λεχθέν. ὥστε οὐ μόνον ἐπὶ ὄφεων, οὐδὲ ἐπὶ ὕδατος μόνου κεῖται ἡ λέξις.

2. Ὅτι μετὰ τὰ Κεραύνια δρυμὰ πρὸς νότον αἱ τῶν Ἀμβρακιωτῶν φαίνονται νῆσοι, καὶ ἡ λιπαρὰ Κέρκυρα, φίλον πέδον Ἀλκινόου, τοῦ κατὰ τὰς ἱστορίας ἐκεῖ μεγαλωνύμως βασιλεύσαντος· ἐφ' ᾗ, τουτέστι, μεθ' ἣν Κέρκυραν, τὸ τῆς Ἰθάκης ἕδος ἐστήρικται· ἣν καὶ Νηρικίην λέγει, οὐχ ὡς Νήρικον ἔχουσαν ὄρος κατά τινας, (ἐκεῖνο γὰρ ὁ Ποιητὴς Νήριτον λέγει διὰ τοῦ τ) ἀλλ' ὡς Ἠπειρωτικήν. τῆς Ἠπείρου γὰρ πόλις καὶ τὸ Νήρικον, ἡ λεγομένη Λευκάς, ὡς ἐν τῷ τῆς Ὀδυσσείας ω εἴρηται, διὰ τοῦ κ γραφόμενον. εἰ καί τις Λούπερκος, ἀνὴρ παλαιὸς, ὡς οἱ Σχολιασταὶ λέγουσι, διὰ τοῦ τ γράφει καὶ τὴν τοιαύτην πόλιν, ὁμωνύμως τῷ Ἰθακησίῳ ὄρει. οἱ Ἀμβρακιεῖς δὲ, Ἠπειρωτικοὶ μὲν καὶ

αὐτοί

Quo heros venit, infenſa Venere,
Quando peroptatorum adiit gentem Iberorum,
Suæ uxoris conſiliis malevolæ Ægialéæ.
Deinceps autem, maris ad ortum Ionii,
Apſyrti inſularum apparet immenſus tractus:
Quas olim Colchorum filii incurſarunt, quando defeſſi fuerunt
Veſtigia indagantes vagabundæ Æetines.
Deinceps autem poſt has Liburnicæ ſitæ ſunt.
Verum ad auſtrum poſt ſaltus Ceraunios navi currenti
Inſulæ appareant, ex ulteriori loco, Ambraciotarum,
Atque pinguis Corcyra, charum ſolum Alcinoi.
Poſt hanc autem, Nericiæ Ithacæ ſedes fixa eſt,
Inſularumque aliarum, quotquot è Chalcide labens
Vorticibus argenteis Achelôus circumdat.

αὐτοῖς ἔθνος. οὕτω δὲ λέγονται ἢ ἀπὸ Ἀμβρακίας τῆς Αὐγέου θυγατρός, ἢ ἀπὸ Ἀμβράκου υἱοῦ Θεσπρωτοῦ· ἀφ' οὗ καὶ ὁ κόλπος Ἀμβρακιωτικός, καὶ πόλις Ἀμβρακία, ὡς ἀπὸ Θεσπρωτοῦ ἡ Θεσπρωτία χώρα. τὸ δὲ Ἀμβρὰξ εἰσὶν οἱ ἀρχαιότεροι διὰ τοῦ π γράφουσι, καὶ διὰ τοῦτο καὶ τὴν χώραν Ἀμπρακίαν, ὡς καὶ τὰς νήσους τὰς Βρεττανικάς, Πρεττανικάς. πλείων δὲ ἡ διὰ τοῦ β γραφή. λιπαρὰν δὲ τὴν Κέρκυραν λέγει διὰ τὸ πολύκαρπόν τε καὶ εὔκαρπον· ὅπερ ἐμφαίνει καὶ ἐν τῇ Ὀδυσσείᾳ ὁ Ποιητής. τὰ δὲ παλαιὰ σχόλια, καὶ πολλὰ δὲ ἱστοριῶν ἀντίγραφα ἐμφαίνουσιν ἀμφιβόλως ἔχειν παρὰ τοῖς παλαιοῖς τὴν τῆς νήσου ταύτης γραφήν· λέγεσθαι γὰρ καὶ διὰ τοῦ ο Κόρκυραν. Κορινθίων δὲ ἐστὶ κτίσμα ἡ Κέρκυρα, καὶ ηὐξήθη ποτέ, καὶ πολλὰς πόλεις καὶ νήσους ᾤκισε· καὶ ναυτικὸν ἔσχε πολύ, ὥστε καὶ ἐν τῷ Περσικῷ πολέμῳ οἱ Κερκυραῖοι ναῦς ξ'. ἐπλήρωσαν, ὅτε τὸ ἀμφίβολον τοῦ πολέμου εὐλαβούμενοι, οὔτε τῷ Ξέρξῃ, οὔτε τῇ Ἑλλάδι ἐβοήθησαν, ἀλλὰ τὴν βοήθειαν ἀνεβάλλοντο. ἠρημώθη δὲ αὖθις, ὡς καὶ ἐς τοιαύτην παροιμίαν πεσεῖν, Ἐλευθέρα Κέρκυρα, χέζ' ὅπου θέλεις. δύο δὲ Κέρκυραι· ἥ τε Φαιακίς, περὶ τὸν Ἰόνιον κόλπον, περὶ ἧς καὶ τῷ Διονυσίῳ νῦν ὁ λόγος, ἡ καὶ Φαιακία καλουμένη, καὶ Σχερία, καὶ Δρέπανον, καὶ Ἄργος· καὶ αὕτη μὲν μία· ἑτέρα δὲ Κέρκυρα ἐντὸς τοῦ Ἰονίου, διὰ τοῦ ο, μᾶλλον λεγομένη Κορκύρα, ἡ καὶ Μέλαινα καλουμένη. δύο δὲ λιμένας ἡ Φαιακὶς ἔχει, ὧν θάτερος Ἀλκίνου λέγεται. ἱστέον δὲ ὅτι οἱ Κερκυραῖοι παρά τισι καὶ Κέρκυρες λέγονται, ὡς καὶ Ἰλλυρεῖς, οἱ Ἰλλυριοί· καὶ οἱ Ἀσσύριοι, Ἀσσυρεῖς· καὶ οἱ θεράποντες, θέραπες. ὡς ὅτι Αἰλιανὸς λέγει, λέγουσι δὲ καὶ οἱ προφῆται, καὶ θέραπες τῶν θεῶν. εὕρηνται δὲ καὶ οἱ πολύποδες, λεγόμενοι πώλυπες.

3. Ὅτι Χαλκὶς ὄρος ἐστὶν Αἰτωλίας, ἀφ' ἧς ὁ Ἀχελῷος ἕρπει δίναις ἀργυρέαις. εἰσὶ δὲ καὶ ἄλλαι Χαλκίδες, ὄρη δηλοῦσαι, ἢ πόλεις· οἷον καὶ ἡ κατὰ Εὔβοιαν, ὡς καὶ περὶ βραχέων ἐρρέθη πλατύτερον· καὶ ἡ Θρακική, ἣ καὶ μέχρι νῦν σώζει τὸ ὄνομα.

Πολλαὶ δ' Ἀμνισοῖο [1] βορειότεραι ὀρόωνται,
Αἴγυλά τ' ἠδὲ Κύθηρα, Καλαύρειά τε τρηχεῖα·
Κάρπαθος αὖθ' ἑτέρωθι, ποτὶ ζόφον. ἐγγύθι δ' αὐτῆς
Κρήτη τιμήεσσα, Διὸς μεγάλοιο τιθήνη,
Πολλή τε λιπαρή τε καὶ εὔβοτος· ἧς ὕπερ Ἴδη,
Ἴδη καλλικόμοισιν ὑπὸ δρυσὶ τηλεθόωσα.
Καὶ τῆς τοι μέγεθος περιώσιον. [2] ἄντα δὲ πέζης

1. Ὅτι βορειότεραι νῆσοι Κρήτης πρὸς ζόφον (οὕτω γὰρ ὁ τῆς ἱστορίας συντάσσεται νοῦς) Αἴγυλα, Κύθηρα, Καλαύρειά τε τρηχεῖα· Κάρπαθος δὲ ἑτέρωθεν, πρὸς ἀνατολὰς δηλαδή. ἐγγὺς δ' αὐτῆς ἡ Κρήτη. ἣν ἐγκωμιάζων φησί, Κρήτη τιμήεσσα, τιθήνη Διός· ἧς τὸ μέγεθος περιώσιον, ἤτοι μέγα· πολλή τε λιπαρά τε καὶ εὔβοτος. ὑπὲρ ἧς ἡ Ἴδη, ὄρος ἐγχώριον, ἀφ' ἧς ἡ Τρωϊκὴ Ἴδη ὠνόμασται, ὡς τῷ Γεωγράφῳ δοκεῖ. ἣν καὶ ἐπαναλαβὼν ὁ Διονύσιος, ὡς ἀξίαν λόγου, φησίν, Ἴδη καλλικόμοισιν ὑπὸ δρυσὶ τηλεθόωσα. πολύδενδρον γὰρ τὸ ὄρος καὶ μεγαλόδενδρον. Κρήτη δὲ λέγεται, ὡς οἱ παλαιοί φασιν, ἀπὸ τῶν ἐκεῖ οἰκησάντων Κουρήτων, οἱονεὶ Κουρήτη, καὶ ἐν συγκοπῇ Κρήτη. οἱ δὲ ἀπὸ Κρητός τινος αὐτὴν Κρήτην ὠνόμασαν υἱοῦ τοῦ Διός. Ἀρριανὸς δέ φησι, „Κρὴς, οὗ Κρήτη ἐπώνυμος, ὁ τὸν Δία κρύψας ἐν ὄρει Δικταίῳ, ὅτε Κρόνος ἐμάστευεν, ἐθέλων ἀφανίσαι αὐτόν. Ἀρχίας δέ τις, ὡς λέγεται, Κρειήτην αὐτὴν ὠνόμασεν, πλεονασμῷ τοῦ ι. τῶν δὲ συμμνημονευθεισῶν ἐνταῦθα τῇ Κρήτῃ ποταμῶν νήσων, Αἴγυλα μὲν οὐκ ἠξίωται πολλοῦ λόγου τοῖς παλαιοῖς· τὰ Κύθηρα δὲ νῆσός ἐστι πρὸς τῇ Κρήτῃ, φυλάττουσα καὶ εἰσαεὶ τὴν κλῆσιν· δοκοῦσα αἰτία εἶναι τοῦ τὴν Ἀφροδίτην καλεῖσθαι Κυθέρειαν, κατὰ τὸν Ἡσιόδου μῦθον, λεγόντος Κυθέρειαν τὴν Ἀφροδίτην λέγεσθαι, διότι προσεπέλασε Κυθήροις. ἐκαλεῖτο δὲ, φασί, καὶ Πορφυροῦσσά ποτε, διὰ τὸ καλλίστας ἔχειν πορφύρας. ὠνόμασται δὲ, φασὶν, ἀπὸ Κυθήρου τοῦ Φοίνικος. τὴν δὲ Καλαύρειαν νῆσον οἱ παλαιοὶ Σχολιασταὶ πρὸς ἀντιδιαστολὴν τῆς τῶν Καλαυρῶν χώρας, τῆς τῷ κανόνι τῶν χωρῶν παροξυνομένης, προπαροξύνουσι, Καλαύρειαν ἀναγινώσκοντες· τὴν δὲ ἰῶτα μέντοι καὶ οὕτω φυλάσσοντες γραφήν. καὶ οὐδὲ διὰ τοῦ β γράφουσι ταύτην, ἀλλὰ διὰ τῆς αυ διφθόγγου, ἐν τῇ παραληγούσῃ. λέγουσι δὲ κύκλον ἔχειν ταύτην τὴν νῆσον σταδίων λ'. πορθμῷ τετρασταδίῳ διεστῶσαν τῆς ἠπείρου. εἶτά φασι μετ' αὐτὴν εἶναι τὸν ἀνωτέρω μνημονευθέντα Σαρωνικὸν κόλπον, οὗ πρόκειται ἡ Αἴγινα, τοῦ Μυρτώου ἤδη αὐτὸ πελάγους ὄντα, ὡς καὶ τὰ Κύθηρα, καὶ ἡ Καλαύρεια, καὶ ἡ Σαλαμίν. ἔχειν δέ φασι καὶ ἱερὸν Ποσειδῶνος ἄσυλον τὴν Καλαύρειαν ταύτην νῆσον· διὸ καὶ τὸν Δημοσθένην ἐκεῖ φυγόντα σταλεὶς ὁ Ἀρχίας ὑπ' Ἀντιπάτρου οὐκ ἐβιάσατο, ἀλλὰ πείθειν ἐπειράθη· εἰ καὶ μὴ ἐπείσθη ἐκεῖνος, ἀλλὰ τοῦ ζῆν ἑκὼν ἑαυτὸν παρέλυσεν. ἠλλάξατο δὲ, φασὶν, ὁ Ποσειδῶν τὴν Καλαύρειαν ταύτην πρὸς τὴν Λητὼ, ἀντιδοὺς τὴν Δῆλον· ὥσπερ καὶ τὴν Πυθὼ ἀντιδοὺς, ἔχει τὸ Ταίναρον. ὅθεν καὶ λόγος παροιμιώδης ἐπὶ τῶν ἴσα ἀνταμειβομένων καὶ ἀντικαταλλασσόντων ὡς αὐτοῖς βουλητὸν,

Ἰσόν τοι Δῆλόν τε Καλαύρειάν τε νέμεσθαι,
Πυθώ τ' ἠγαθέην, καὶ Ταίναρον ἠνεμόεντα.

τῇ δὲ Καρπάθῳ λυμήνασθαί ποτέ φα-

Multæ vero Amniſi [*Cretæ*] magis boreales conſpiciuntur,
Ægylaque atque Cythera, Calauriaque aſpera:
Carpathus item alia in parte ad occaſum. prope autem ipſam
Creta honorata, Jovis magni nutrix,
Magnaq; pinguiſque & bona paſcua habens: quam ſuper Ida,
Ida pulchricomis ſub quercubus eminus vireſcens.
Atque hujus quidem magnitudo ingens. ex adverſo autem oræ

σι τοὺς λαγωοὺς, καίτοι γινομένους ἐπακτὸν ἔξωθεν· ὡς καὶ ἡ παροιμία δηλοῖ ἡ λέγουσα, ὁ Καρπάθιος τὸν λαγών. Κρήτης δὲ πόλεις μέγισται, καθὰ καὶ προγέγραπται, Γόρτυνα, Κυδωνία, καὶ Κνωσσὸς, βασίλειον Μίνωος, ἥτις καὶ Κέρατος ἐκαλεῖτο, ὁμωνυμοῦσα ποταμῷ τινι παραῤῥέοντι. Μίνως δὲ πρῶτος τὴν νῆσον ἐξημέρωσε νόμοις καὶ πολιτείαις, καὶ πόλεων συνοικισμοῖς. εἴρηκε δὲ περὶ αὐτῆς καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ, καὶ γέγραπται ἐκεῖ ὅσα ἴδει. Ἰστέον δὲ ὅτι ἀντὶ τοῦ εἰπεῖν βορειότεραι νῆσοι Κρήτης, βορειότεραι Ἀμνισοῦ εἶπεν ὁ περιηγητὴς, ἀπὸ μέρους δηλώσας τὸ ὅλον. μέρος γάρ τι Κρήτης ὁ Ἀμνισὸς, ἔνθα καὶ σπήλαιον Εἰληθυίας, ὡς ἐν τῇ Ὀδυσσείᾳ ὁ Ποιητὴς ἱστορεῖ.

2. Ὅτι ἀντικρὺ τῆς Αἰγυπτίας πέζης (ἤγουν τῆς τοῦ Δέλτα βορείας κρηπῖδος, ἢ στάσεως, ἢ βάσεως) ἡ Ῥόδος κεῖται, ἧς ὁ κύκλος σταδίων ἐστὶν ἐννακοσίων εἴκοσι· περὶ ἣν πόλις Λίνδος, ἡ καὶ μάχεσι νικῶ περιᾳδομένη, ἀφ' ἧς πλοῖα Λινδικά. ἔτι δὲ καὶ Ἰηλυσσὸς, καὶ Κάμιρος, διὰ τοῦ ι γραφόμενος, πρὸς ἀντιδιαστολὴν τοῦ κυρίου. Κάμειρος τὸ κύριον διὰ διφθόγγου γράφεται. μεθ' ἣν πρὸς ἀνατολὰς, ἐν ἀρχῇ τῆς τῶν Παμφυλίων παραλίας, ἔνδον τῆς τῶν Πατάρων μεγάλης ἄκρας, αἱ Χελιδόνιαι τρεῖς νῆσοι κεῖνται, πάρισοι τὸ μέγεθος, διέχουσαι ἀλλήλων ὅσον πέντε σταδίους, τῆς δὲ γῆς ἀφεστήκασιν ὡς ἑξαστάδιον· ἀφ' ὧν οἴονταί τινες ἄρχεσθαι τὸ ᾀδόμενον ὄρος τὸν Ταῦρον, ἀρχόμενον τῇ ἀληθείᾳ ἀπὸ τῆς τῶν Ῥοδίων περαίας. Ἰστέον δὲ ὅτι Ἡρωδιανὸς ἐν τῇ καθόλου προσῳδίᾳ, Χελιδονίας ἀναγινώσκει ὀξυτόνως, ὡς πυρκαϊαί. Πάταρα δὲ, κτίσμα Παταρέως, πόλις μεγάλη, περὶ ἧς προεγράφη πλατύτερον. ἡ δὲ Ῥόδος ἄλλα τε εἶχε θαυμαστὰ, καὶ τὸν τοῦ ἡλίου δὲ Κολοσσὸν, Χάρητος ἔργον, ἀνδρὸς Λινδίου, πηχῶν ἑβδομήκοντα· καὶ ἦν καὶ αὐτὸς εἷς τῶν ἑπτὰ θεαμάτων, ὃς ἔπεσε σεισμῷ κλασθεὶς ἀπὸ τῶν γονάτων. πολλὰ δὲ καὶ ἄλλα εἶχεν ἡ Ῥόδος ἀγάλματα, ὧν τὸ τεχνικὸν καὶ μικροῦ δεῖν ἔμψυχον ἀνιστορούμενοι οἱ τεχνῖται ἁλύσεσιν ἐδέσμουν αὐτὰ, μὴ καὶ λάθοιεν τάχα κινηθέντα μεταστῆναί ποι ἀλλαχοῦ. εἰ δὲ χρὴ τὴν νῆσον ταύτην οὐ μόνον τῷ μεγίστῳ Κολοσσῷ σεμνύνεσθαι, ἀλλὰ καὶ σμικροτέρῳ τινὶ ἑταίρῳ ἀναθήματι· ἐκεῖ καὶ ὁ καλὸς πέρδιξ ἦν, τὸ τοῦ Πρωτογένους ὑμνούμενον πάρεργον. διὰ δὲ τὸν ἀνωτέρω ῥηθέντα μέγαν Κολοσσὸν, καὶ Κολοσσαεῖς ὡς ἐκ μεγάλου παρασήμου ἐκαλοῦντο οἱ Ῥόδιοι. λέγεται δὲ καὶ ναύσταθμα ἔχειν ἡ Ῥόδος κρυπτὰ καὶ ἀπόῤῥητα τοῖς πολλοῖς, καὶ τῷ κατοπτεύσαντι αὐτὰ θάνατον εἶναι τὴν ζημίαν. ἐκλήθη δέ ποτε, φασὶν, Ὀφιοῦσσα· εἶτα Τελχινὶς, διὰ τοὺς ἐκ Κρήτης Τελχῖνας οἰκήσαντας ἐκεῖ, ἄνδρας γόητας καὶ βασκάνους. καίτοι τινὲς μάτην δυσφημηθῆναι τούτους φασί· βασκανθῆναι γὰρ μᾶλλον ὑπὸ τῶν ὁμοτέχνων αὐτοὺς, ἀρίστους ὑπάρξαντας ἐργάτας χαλκοῦ καὶ σιδήρου, οἳ καὶ τὴν ἅρπην τῷ Κρόνῳ ἐδημιούργησαν. ὁ δὲ Γεωγράφος

Αἰγυπτίης Ῥόδος ἐστὶν, Ἰηλυσίων πέδον ἀνδρῶν.
Τὴνδε μετ', ἀντολίηνδε, Χελιδόνιαι γεγάασι
Τρεῖς νῆσοι, μεγάλης Παταρηΐδος ἔνδοθεν ἄκρης.
Κύπρος [1] δ' εἰς αὐγὰς Παμφυλίου ἔνδοθι κόλπου
Κλύζετ', ἐπήρατον ἄστυ Διωναίης Ἀφροδίτης.
Ἀγχι δὲ Φοινίκης [2] Ἄραδος, μεγάλῳ ἐνὶ πόντῳ.
Πρόσθε δὲ [3] Σουνιάδος κορυφῆς, ἐφύπερθεν Ἀβάντων,
Φαίνονται Σαλαμίς τε καὶ Αἰγίνης πτολίεθρον.
Θηητὸς δέ τις ἐστὶ [4] βαθὺς πόρος Αἰγαίοιο,

γράφος φησὶ καὶ ὅτι πλεύσαντες οἱ Ῥόδιοι μέχρις Ἰβηρίας, ἔκτισαν ἐκεῖ πόλιν Ῥόδον.

1. Ὅτι ἡ Κύπρος οὐδεμιᾶς νήσου λειπομένη τῇ ἀρετῇ, τῷ Παμφυλίῳ καὶ τῷ Ἰσσικῷ κλύζεται κόλπῳ, ἧς οὐδεμία ἔτι ἀνατολικωτέρα νῆσός ἐστι. λέγει δὲ αὐτὴν Ἀφροδίτης ἄστυ ἐπήρατον, ὡς καὶ τὴν Σαμοθρᾴκην, Κορυβάντων ἄστυ, μικροπρεπῶς μὲν (οὐ γὰρ μεγαλόφωνον, τὸ τὰς τοσαύτας νήσους εἰπεῖν ἄστυ) ἀνεγκλήτως δ' οὖν τῷ μύθῳ, διὰ τὴν ἐκεῖ τῆς Ἀφροδίτης μάλιστα διατριβήν. ἄθυρμα γὰρ ἦν ἡ νῆσος τῇ δαίμονι, ἀφ' ἧς καὶ Κύπρις παρωνόμασται. τοῦτο δὲ, διὰ τὴν τῆς ἐκεῖ μαλλοσύνην, καὶ τὸ ἐπαφρόδιτον. τινὲς δέ φασι Κύπρον κληθῆναι αὐτὴν, ἀπὸ Κύπρου υἱοῦ Κινύρου· ἢ ἀπὸ ἄνθους ἐκεῖ πολλοῦ φυομένου, κύπρου καλουμένου. οἱ δὲ Κρύπτον ποτὲ κληθῆναι αὐτὴν λέγουσι διὰ τὸ κεκρύφθαι ὑπὸ θαλάσσης· ὅπερ καὶ περὶ Δήλου μυθεύεται, καὶ περὶ Ῥόδου δὲ, κατὰ Πίνδαρον. ὅτι δὲ καὶ Σφήκεια ἐκλήθη ποτὲ, καὶ Κεραστία, ὁ Λυκόφρων δηλοῖ. ὀλβιώτατοι δὲ νησιωτῶν οἱ Κύπριοι. λέγονται δέ ποτε θαλαττοκρατῆσαι καιρόν τινα καὶ αὐτοί. κύκλος δὲ ζώνης τῆς νήσου στάδια ςυκ'. τοῖς κατακολπίζουσι. πολλαχοῦ δὲ καὶ ἰσθμοὺς ποιεῖ, διὰ τὸ τοῦ σχήματος ἰσρόμηκες.

2. Ὅτι περὶ Φοινίκην νῆσος ἡ Ἄραδος. λέγονται δὲ γενέσθαι ποτὲ ἔνδοξοι οἱ Ἀράδιοι, ὅτε ἐστασιαζόντων τῶν ἀδελφῶν, Σελεύκου, τοῦ τε Καλλινίκου, καὶ Ἀντιόχου τοῦ Ἱέρακος, αὐτοὶ τῷ Καλλινίκῳ προσθέμενοι ἔλαβον ἐξουσίαν δέχεσθαι τοὺς καταφεύγοντας ἐκ τοῦ βασιλέως παρ' αὐτοὺς, καὶ μὴ ἐκδιδόναι ἄκοντας· μὴ μέντοι μηδὲ ἐκπλεῖν ἐξ αὐτῶν τοὺς προσφυγάς, ἄνευ τοῦ ἐπιτρέψαι τὸν βασιλέα. ἔστι δὲ καὶ ἑτέρα νῆσος Ἄραδος, ὡς ῥηθήσεται κατωτέρω.

3. Ὅτι πρόσθεν Σουνιάδος κορυφῆς, ἐφύπερθεν ἢ ὑπένερθεν τῶν Ἀβάντων φαίνονται Σαλαμίς τε καὶ Αἴγινα. δεῖ δὲ εἰδέναι ὅτι ταυτὸν ἐνταῦθα δηλοῖ καὶ τὸ ἐφύπερθεν Ἀβάντων καὶ τὸ ὑπένερθεν. ἵνα λέγῃ δι' ἀμφοῖν τὸ νοτιώτερον· ὅπερ εἰ καὶ ὑπένερθέν ἐστι, διὸ τὸ καθ' ἡμᾶς βόρειον ὕψος, ἀλλὰ κατὰ τὴν τοῦ περιηγητοῦ συνήθειαν ὕπερθέν ἐστι, ὡς τεθέντος ἐπὶ τῶν νοτίων τὴν ὑπὲρ πρόθεσιν. ἀκρωτήριον δὲ οὐδόμενον Ἀττικῆς καὶ Εὐβοίας, τὸ Σούνιον. περὶ ἣν Εὐβοιάν εἰσιν οἱ Ἄβαντες, περὶ ὧν ἐροῦμεν μετ' ὀλίγα. ἡ δὲ Σαλαμὶς, πρώτη ἐν τῷ Σαρωνικῷ πελάγει, πρὸς ἀνατολὰς Κορίνθου· ἡ μετ' αὐτὴν ἡ Αἴγινα, ἣν ἐν πολλοῖς καὶ ὁ Πίνδαρος ἐξυμνεῖ. περὶ ἧς καὶ τοιαῦτα γράφονται, Νῆσος περὶ τῆς Ἐπιδαυρείας ἡ Αἴγινα, ἐνδοξοτάτη, κύκλον σταδίων ρπ'. κλυζομένη τῷ τε Κρητικῷ πελάγει καὶ τῷ Μυρτῴῳ, τῷ μεταξὺ Κρήτης καὶ Ἀττικῆς· ἐν βαθεῖ μὲν

Ægyptiæ Rhodus eſt, Ialyſiorum ſolum hominum.
Hanc autem poſt, orientem verſus, Chelidoniæ ſunt
Tres inſulæ, magnum Patareum intra promontorium.
Cyprus autem ortum verſus Pamphylium intra ſinum
Alluitur, amabilis urbs Dionææ Veneris.
Juxta vero Phœnicen Aradus, vaſto in mari. [tas,
At vero ante Sunium verticem [*promontorium,*] ſupra Aban-
Apparent Salamiſque & Æginæ oppidum.
Admirandus autem quidam eſt profundus gurges Ægæi,

μὲν γεώδης, ἐπιπολῆς δὲ πετρώδης· διὸ καὶ ὑψηλή ἐστι, χερσοφόρος δὲ ἱκανῶς. Οἰνώνη ποτὲ ὀνομαζομένη. ἐξ αὐτῆς ὁ Αἰακός. οἱ δὲ ἐν αὐτῇ πρῶτοι Μυρμιδόνες ἐκλήθησαν, οὐχ ὅτι, κατὰ τὸν μῦθον, λοιμοῦ τῇ νήσῳ συμπεσόντος, καὶ τῶν ἐκεῖ ἐκτελευτησάντων τῇ νόσῳ οἱ μύρμηκες ἄνθρωποι ἐγένοντο, Αἰακοῦ εὐξαμένου· ἀλλ' ὅτι μυρμήκων δίκην, τὴν ἀγαθὴν γῆν κάτω οὖσαν ὑπερεύροντες ἐπίφορον ταῖς πέτραις, ἵνα τὴν μὲν ἔχωσι γεωργεῖν, ἐν δὲ τοῖς ὀρύγμασι κατοικεῖν, φειδόμενοι τοῦ πλινθοποιεῖν, ἵνα ἔχωσι γῆν. Δωριεῖς δὲ ᾤκησαν οἱ Αἰγινῆται, ἀπὸ Ἐπιδαύρου, κατὰ τὸν Ἡρόδοτον. ἐκ ταύτης τῆς νήσου καὶ ὁ ᾀδόμενος Κριός, ἀνὴρ γενναῖος ἀθλητής· ὑφ' οὗ ἀπελαυνόμενος τῆς νήσου ὁ τῶν Λακώνων βασιλεὺς Κλεομένης, καὶ θέλων ἐκφοβῆσαι αὐτόν, ἔφη ἀστείως τὸ ὑμνούμενον, Ἤδη νῦν καταχάλκου, ὦ Κριέ, τὰ κέρατα· ὡς μεγάλῳ κακῷ συνοισόμενος. λέγεται δὲ καὶ Σώστρατός τις Αἰγινήτης ἔμπορος μεγάλα ἐκ φορτίων κερδῆσαι. καὶ ταῦτα μὲν [illegible] Αἰγίνης. ἡ δὲ Σαλαμὶς ἑβδ[illegible]ήκοντα σταδίων ἔχει περίμε[illegible], ἢ ὀγδοήκοντα. ἐκαλεῖτο δέ ποτε Κυχρεία, ἀπὸ τινὸς Κυχρέως, οὗ καὶ Λυκόφρων καὶ Ἀρριανὸς μέμνηνται, ὡς Ὄφις μὲν ἐπεκλήθη, διὰ τραχύτητα τρόπου, ἀπηλάθη δὲ τῆς νήσου ἀπὸ Εὐρυλόχου· ὀνομάζεται δὲ ἡ νῆσος αὕτη καὶ Σκιράς, ἀπὸ τινος ἥρωος· ἀφ' οὗ καὶ Σκιρὰς Ἀθηνᾶ παρὰ τοῖς Ἀθηναίοις, καὶ ὁ μὴν ὁ Σκιροφοριών· καὶ Σκίρα τόπος ἐν τῇ Ἀττικῇ. εἶχε δὲ καὶ ποταμὸν Βώκαρον λεγόμενον, ὡς καὶ Λυκόφρων ἱστορεῖ, ὡς ἂν εἴποι τις Βουκέφαλον· καθὰ καὶ πηγή τις παρὰ Θεοκρίτῳ Βούρινα Ἰταλική, βοὸς ῥινὶ παρονομαζομένη. ὅτι δὲ περὶ Σαλαμῖνα κατεναυμαχήθη ὁ Ξέρξης, καὶ ὅτι ναυτικὸν ἀξιόλογον ἔσχεν ἡ νῆσός ποτε, οὐδεὶς τῶν περὶ λόγους ἠγνόηκε. τὸν δὲ περὶ Σαλαμῖνα πορθμὸν διστάδιον εἶναί φασιν, ὃν ἐπειρᾶτο μὲν ὁ Ξέρξης καταχῶσαι, καὶ οὕτως ἀποχερσῶσαι, (ἐναντία τι ποιῶν τοῖς περὶ τὸν Ἄθω νεανιεύμασιν, οὗ τὸν αὐχένα διορύξας ἐπεθαλάσσωσεν) ἐκωλύθη δὲ φυγών.

4. Ὅτι τὸ Αἰγαῖον πέλαγος ἀπειρεσίας ἔχειν λέγει νήσους, καὶ ὅτι θηητὸν βαθὺν πόρον τὸν Αἰγαίου καλεῖ. καὶ ὅτι τὸν Ἑλλήσποντον παραφράζων, ἢ περιφράζων, ἢ ἐτυμολογῶν, στενωπὸν ὕδωρ Ἀθαμαντίδος Ἕλλης λέγει αὐτόν· ὡς ἐκεῖ καταπεσούσης τῆς Ἕλλης τῆς θυγατρὸς τοῦ Ἀθάμαντος, καὶ λιπούσης τῷ πόντῳ τὸ ὄνομα· ἧς καὶ τάφον Ἡρόδοτος ἱστορεῖ περὶ τὴν Θρακικὴν Χερρόνησον. ὁ δὲ Διονύσιος λέγει καὶ ὅτι Σηστὸς ἐκεῖ καὶ Ἄβυδος ἐναντίον ὅρμον ἔθεντο. Σηστὸς μὲν, Λεσβίων ἄποικος, καθὰ καὶ ἡ Μάδυτος, ὡς ὁ Γεωγράφος φησί, Χερρονησία πόλις, Ἀβύδου διέχουσα σταδίους λ'. ἐκ λιμένος εἰς λιμένα. ἔνθα καὶ

ἡ

Ἐντὸς ἔχων ἑκάτερθεν ἀπειρεσίων στίχα νήσων,
Ὅσσον ἐπὶ στεινωπὸν ὕδωρ Ἀθαμαντίδος Ἕλλης,
Σηστὸς ὅπῃ καὶ Ἄβυδος ἐναντίον ὅρμον ἔθεντο.
Εὐρώπης [2] δ' αἱ μὲν λαιῆς ὑπὸ νεύματι χειρὸς,
Ὁρμῶνθ' ἑξείης· Ἀσίης δ' ἐπὶ δεξιὰ κεῖνται,
Μῆκος ἐπ' ἀρκτῴοιο τιταινόμεναι Βορέαο.
Εὐρώπης δ' ἤτοι μὲν [3] Ἀβαντιὰς ἔπλετο Μάκρις,
Σκῦρός [4] τ' ἠνεμόεσσα, καὶ αἰπεινὴ Πεπάρηθος.

ἡ λεγομένη Ἀποσάθρα, ὅπου ἡ Ξερξικὴ γεφύρα ἐπήγνυτο. περὶ Εὐρώπην δέ ἐστιν ἡ ῥηθεῖσα πόλις, λεγομένη Ἀττικῶς μὲν ἡ Σηστὸς, παρὰ δὲ Ἐφόρῳ ὁ Σηστός. εἶχε δέ ποτε τεῖχος ἰσχυρὸν, ὡς Ἡρόδοτος ἱστορεῖ. Ἄβυδος δὲ πρὸς ἀνατολὰς ἀντιπεπορήκυσα τῇ Σηστῷ, κτίσμα Μιλησίων, ἴσον διέχουσα Λαμψάκου καὶ Ἰλίου, ὡς ὁ Γεωγράφος φησίν. ἐνταῦθα τὸ ἑπταστάδιον τοῦ πορθμοῦ, ὅπερ ὁ Ξέρξης ἔζευξεν. ἐνεπρήσθη δὲ ἡ Ἄβυδος αὕτη ὑπὸ Δαρείου τοῦ πατρὸς Ξέρξου. εἶναι δὲ λέγεταί ποτε καὶ Λυδικὴ Ἄβυδος Αἰγυπτία, ἔχουσα Μεμνόνειον βασίλεια, δευτερεύουσα μετὰ τὰς ἑκατονταπύλους Θήβας. καὶ Ἰταλικὴ δὲ ἱστορεῖται Ἄβυδος. ὅτι δὲ περὶ Ἑλλησπόντου ἀμφεβλήθη τοῖς παλαιοῖς ἄλλα τε, καὶ πόθεν ἂν ἄρχοιτο, ἤδη προγέγραπται. Ἴστρον δὲ ἐνιοί φασιν ἱστορεῖν, τέσσαρας γενέσθαι μεγάλους κατακλυσμοὺς, ὧν δ' ἐπὶ διαρραγέντα τὸν Ἑλλήσποντον ἀφορίσαι τῆς Ἀσίας τὴν Εὐρώπην. Ἰστέον δὲ ὅτι κατὰ τοὺς γράψαντας τὰ ἐθνικὰ, καὶ Ἰταλικὴ πόλις τις λέγεται δευτέρως τὸ Ἄβυδον, καὶ ὅτι ἐπὶ συκοφαντίᾳ καὶ μαλακίᾳ διεβάλλοντο οἱ Μιλήσιοι Ἀβυδηνοὶ οὗτοι· ὅθεν καὶ παροιμία, Μὴ δ' εἰκῇ τὴν Ἄβυδον πατεῖν, ἤγουν μὴ θαρρούντως αὐτῆς ἐπιβαίνειν. ἐξ αὐτῆς δὲ καὶ ἑτέρα παροιμία ἐπὶ τῶν ἀηδῶν, τὸ, Ἀβυδηνὸν ἐπιφόρημα. τὸ δὲ, ἐναντίον ὅρμον ἔθεντο, ἀντὶ τοῦ, κατεναντία κεῖνται ἀλλήλαις, καὶ ἀντίπορθμοί εἰσι.

2. Ὅτι τῶν ἐν τῷ Αἰγαίῳ νήσων ὅσαι ὑπὸ νεύματι χειρὸς λαιᾶς κεῖνται τοῖς εἰσιοῦσι τὸν Ἑλλήσποντον, τῆς Εὐρώπης εἰσίν. ὧν ἐστι καὶ ἡ Μάκρις, καὶ ἡ Σκῦρος, καὶ ἡ Πεπάρηθος, καὶ ἡ Λῆμνος, ἥτις Ἥφαιστον ἐτίμα· καὶ Ἴμβρος, καὶ Σάμος Θρᾳκία, ἥτις Καβείρων εἶχεν ἱερὰ, οἳ καὶ Κορύβαντες ἐλέγοντο· καὶ Θάσος, ἥτις καὶ χρυσεῖα εἶχέ ποτε, καὶ τὸ Δάτον συνῴκισε, πόλιν ἔνδοξον περὶ τὴν τοῦ Στρυμόνος παραλίαν. ἀφ' οὗ παροιμίαν οἱ παλαιοί φασι, Δάτος ἀγαθῶν, ὡς τὸ, Ἀγαθῶν ἀγαθίδες. καὶ σκόπει ἐνταῦθα τὴν παροιμίαν, τὸ, Ἀγαθῶν ἀγαθίδες. εἰ γὰρ καὶ ἄλλως αὐτὴν οἱ πολλοὶ ἐκλαμβάνονται, ἀλλ' ἔοικε τοπικόν τι εἶναι ἡ Ἀγαθίς. διὸ καὶ εἰς ὁμοιότητα παρετέθη τοῦ, Δάτος ἀγαθῶν. ἵνα ὥσπερ λέγεται Δάτος ἀγαθῶν, οἷον τόπος καὶ πόλις, οὕτω λέγηται καὶ Ἀγαθίδες ἀγαθῶν. εἰ γὰρ μὴ τοῦτο, ποία λοιπὸν ἄλλη ὁμοιότης τῶν δύο τούτων παροιμιῶν; Ἰστέον δὲ ὅτι Παρίων κτίσμα ἡ Θάσος· τὸ Πάριον δὲ, πόλις ἐν τῇ Προποντίδι. ὁ δὲ Ἀρριανὸς ἄλλως φησί, "Πάριος υἱὸς Ἰασίωνος, οὗ ἐπώνυμον τὸ ἐν Ἑλλησπόντῳ Πάριον, ὡς οἰκιστοῦ". καὶ οὐ [illegible]φωνεῖ ὁ Ἀρριανὸς πρὸς τὸν πρῶτον λόγον, ἀλλὰ τάχα ταυτότητά τινα παραδηλοῖ, ὡς ἡ πολυωνυμία Προποντίδος τε καὶ Ἑλλησπόντου. ὃ καὶ ἑτέροις ἔδοξεν, ὡς ἤδη προγέγραπται. καὶ οὕτω μὲν Πάριοι κτίσαι τὴν Θάσον λέγονται. τινὲς δὲ ἀνάπαλιν τὸ Πάριον ἀπὸ τῆς Θάσου οἴκισιν

ἀποι-

Intus habens utrinque infinitarum ſeriem inſularum,
Uſque ad arctam undam Athamantidis Helles,
Seſtus ubi & Abydus oppoſitam ſtationem poſuerunt.
Europæ autem hæ quidem lævæ ſub flexu manus,
Ingredienti deinceps: Aſiæ vero ad dextram ſitæ ſunt,
In longitudinem ſeptentrionalis porrectæ boreæ.
Porro Europæ quidem Abantias eſt Macris,
Scyruſque ventoſa, & excelſa Peparethus.

ἀποικισθῆναι. Ἀῤῥιανὸς δέ φησι καὶ ὅτι Θάσος ἀπὸ Θάσου καλεῖται, Ποσειδῶνος υἱοῦ· καὶ ὅτι ἐκαλεῖτό ποτε καὶ Χρυσῆ νῆσος, διὰ τὰ χρυσοῦ μέταλλα, ὧν Ἡρόδοτος μέμνηται· λέγων ὅτι προσόδους εἶχον μεγάλας οἱ Θάσιοι, καὶ μέταλλα χρυσοῦ Σκαπτῆς ὕλης. ἀνεῦρον δὲ αὐτὰ Φοίνικες οἱ κτίσαντες τὴν νῆσον μετὰ Θάσου τοῦ Φοίνικος, ἐξ οὗ ἔχει καὶ τοὔνομα. εἶχε δὲ ἱερὸν Ἡρακλέους ἡ Θάσος, ὑπὸ τῶν αὐτῶν Φοινίκων ἱδρυθέν· οἳ, πλεύσαντες κατὰ ζήτησιν τῆς Εὐρώπης, τὴν Θάσον ἔκτισαν. καὶ ταῦτα μὲν περὶ Θάσου.

3. Ὅρα δὲ ὅτι φιλοτιμότερον ἐνταῦθα ὁ ποιητὴς ἀγλαϊζόμενος ἐφ' ἑκάστῃ τῶν νήσων, ἐπιθέτοις χρῆται· καὶ τὴν μὲν Μάκριν, ὅ ἐστι τὴν Εὔβοιαν, Ἀβαντιάδα λέγει, ἀπὸ τοῦ ἐν αὐτῇ ἔθνους τῶν Ἀβάντων· Θρᾳκίου ἔθνους, ὥς φησιν Ἀῤῥιανὸς, κληθέντος οὕτως ἀπό τινος Ἀργείου υἱοῦ Ποσειδῶνος Ἄβαντος. τούτους ὁ Ὅμηρος κομῶντας τὰ ὄπισθέν φησι τῷ Θρᾳκίῳ νόμῳ, καὶ μεγαθύμους ὀνομάζει. τὴν δὲ Σκῦρον ὁ Διονύσιος ἠνεμόεσσαν καλεῖ, τὴν Πεπάρηθον αἰπεινὴν, τὴν Λῆμνον κραναὸν [illegible]φαίστου, ἀκολούθως Ὁμή[illegible]ὰ τοὺς ἐκεῖ ποτε τοῦ πυρὸς κρατῆρας. διὸ καὶ πόλεων περὶ αὐτὴν δύο οὐσῶν, ἡ μία Ἡφαιστία ἐλέγετο. λέγονται δὲ καὶ ταύτην Πελασγοί ποτε οἰκῆσαι, οἱ ἐκ τῆς Ἀττικῆς ὑπὸ Ἀθηναίων ἐξελαθέντες, ὡς ἄδικοι καὶ ἅρπαγες· τὴν δὲ Θάσον ὠγυγίην λέγει, καὶ Δήμητρος δὲ ἀκτὴν, διὰ τὸ εὔδαιμον τῆς νήσου καὶ εὔκαρπον. ὅπερ καὶ εἰς παροιμίαν ἔπεσε, τὸ Θάσος ἀγαθῶν, ὡς ἄν τις εἴπῃ δάσος. καίτοι τινὲς, Δάτος ἀγαθῶν, τὴν τοιαύτην παροιμίαν γράφουσι, περὶ ἧς πρὸ ὀλίγου γέγραπται. Ὅρα δὲ ἐνταῦθα καὶ ὅπως τῶν ἄλλων ποιητῶν τὸ Δήμητρος ἀκτὴ λαμβανόντων ἀντὶ τοῦ δωρεὰ, οὗτος ἀντὶ τοῦ τόπος καὶ τέμενος ἔλαβεν. ἔτι δὲ [illegible] περὶ τῶν εἰρημένων νήσων ἰστέον· ὅτι Εὔβοια νῆσος μία τῶν ὑμνημένων ἑπτὰ, ἣ καὶ Μάκρις ὀνομασθεῖσα· Μάκρις, διὰ τὸ τῆς θέσεως ἐπίμηκες· οὕτω γάρ πως παραμήκης ἐκτέταται. διὸ καὶ δέδωκε τῷ Κωμικῷ λαβὴν σκώμματος ἐν τῷ,

Ὑπὸ γὰρ ἡμῶν παρατέταται καὶ Περικλέους,

αὕτη τῶν Ἀθηναίων ἐκπετασάντων περὶ τοὺς φόρους αὐτῇ. κλίνεται δὲ ἡ Μάκρις αὕτη διὰ καθαροῦ τοῦ ι· διὸ καὶ ὁ νησιώτης αὐτῆς Μακριεὺς λέγεται. ἦν δὲ καὶ αἰγιαλὸς οὕτω καλούμενος, κλινόμενος δὲ διὰ τοῦ δ. ἐλέγετο δὲ Μάκρις καὶ τῶν Κυκλάδων μία, ἡ Ἴκαρος, ἀφ' ἧς νομίζουσί τινες εἰρῆσθαι καὶ τὸ Ἰκάριον πέλαγος.

4. Ἡ δὲ Σκῦρος τὴν κλῆσιν ταύτην ἔχει, διὰ τὸ τῆς νήσου ταύτης σκληρὸν, καὶ οἷον σκυρῶδες, ἤτοι λιθῶδες· σκῦρος γὰρ ἡ λατύπη, ἤγουν τὰ ἐκπαλλόμενα λιθίδια ἐν τοῖς λαξεύμασι. πρόκειται δὲ τῆς τῶν Μαγνήτων γῆς ἡ Σκῦρος αὕτη, ὥσπερ καὶ ἡ Πεπάρηθος. θαυμασταὶ δὲ αἶγες αἱ Σκύριαι· καὶ μέταλλα δὲ

Ἔνθεν καὶ Λῆμνος, κραναὸν πέδον Ἡφαίστοιο,
Πέπταται, ὠγυγίη τε Θάσος, Δημήτερος ἀκτή·
Ἴμβρος, [1] Θρηικίη τε Σάμος, Κορυβάντιον ἄστυ.
Αἱ [2] δ᾽ Ἀσίης πρώτην αἶσαν λάχον, ἀμφὶς ἰοῦσαι
Δῆλον ἐκυκλώσαντο, καὶ οὔνομα Κυκλάδες εἰσί·

εἰσι ποικίλης λίθου, Σκυρίας λεγομένης, καθὰ καὶ Καρυστίας.

1. Ἡ δὲ Ἴμβρος Θρακικὴ μέν ἐστι νῆσος, ἱερὰ Καβείρων καὶ αὐτή. ὄνομα δὲ δαιμόνων οἱ Κάβειροι· ἐτιμᾶτο δὲ αὐτόθι καὶ Ἑρμῆς, ὃν Ἴμβραμον λέγουσιν οἱ Κᾶρες, ὡς ἐν τοῖς ἐθνικοῖς ἀναγράφεται· ὅθεν καὶ τάχα καὶ Ἴμβρος ἡ νῆσος παρονομάζεται. ἡ δὲ Θρακία Σάμος λέγεται μὲν καὶ Σαμοθρᾴκη συνθέτως· καλεῖται δὲ οὕτω πρὸς διαστολὴν τῆς ἑτέρας Σάμου τῆς Ἰωνικῆς. μέμνηται δὲ ταύτης καὶ Ὅμηρος. ἐλέγετο δέ ποτε Δαρδανία, διὰ τὸν Δάρδανον, ὃς ἐν τῷ κατακλυσμῷ διαπορθμευθεὶς ἐκεῖθεν εἰς τοὺς Τρωϊκοὺς τόπους. ῥηθήσεται δὲ περὶ τῆς Σάμου ταύτης καὶ κατωτέρω. καὶ ταῦτα μὲν, ὡς εἴρηται, τὰ τῶν τοιούτων νήσων ἐπίθετα. τὴν δὲ Σάμον, τὴν Θρακικὴν, Κυρβάντιον ἢ Κορυβάντιον ἄστυ λέγει, διὰ τὰ ἐκεῖ τῶν Κορυβάντων μυστήρια. ὧν καὶ Λυκόφρων μέμνηται. ἀφ᾽ ὧν καὶ κορυβαντιᾶν, τὸ μετὰ ἐκστάσεως ἐνθουσιᾶν. ταῦτα ἐπιτροχάδην περὶ τῶν ἐν Αἰγαίῳ νήσων ἐξ ἀριστερῶν κειμένων τοῖς εἰσιοῦσι τὸν Ἑλλήσποντον, αἳ καὶ τῇ Εὐρώπῃ προσνέμονται· ὧν μία σὺν πολλαῖς ἄλλαις, καὶ ἡ πρὸς τῇ Ἀττικῇ νῆσος, Ἑλένη καλουμένη· ἔνθα ἡ Ἑλένη ἀπέβη μετὰ τὴν Ἰλίου ἅλωσιν, ἢ καὶ πρὸ τούτου, ὅτε ἡρπάγη.

2. Ὅτι αἱ περὶ τὸ Αἰγαῖον πέλαγος δεξιαὶ νῆσοι τοῖς εἰσπλέουσι τὸν Ἑλλήσποντον, τῇ Ἀσίᾳ προσκεχωρήκασιν· ὧν πρώτην ἐπέχουσι μοῖραν τῷ ἀπὸ Εὐρώπης εἰς Ἀσίαν διαβαίνοντι αἱ νῆσοι αἱ τὴν Δῆλον ἐκυκλώσαντο, καὶ δι᾽ αὐτὸ τοὔνομα Κυκλάδες εἰσί. καὶ ἔστι τοῦτο ἐτυμολογία τοῦ ὀνόματος τῶν Κυκλάδων. ᾄδεται δὲ πάνυ ἐν ταῖς ἱστορίαις ἡ Δῆλος, ὡς Ἀπόλλωνος ἱερά· οὗ καὶ μαντεῖον ἦν ἐκεῖ περιφανές. ἐκαλεῖτο δέ ποτε καὶ Ὀρτυγία, ὡς ὁ Γεωγράφος φησί. καὶ ἡ μυθικὴ αἰτία κεῖται παρὰ Λυκόφρονι. οὐκ ἐξῆν δὲ, φασὶν, οὔτε θάπτειν αὐτόθι νεκρὸν, οὔτε κύνα τρέφειν. Ἀρριανὸς δὲ περὶ ταύτης φησὶν, ὅτι "Δῆλος, ἡ πάλαι πλωτὴ οὖσα, ἔστη ὅτε ἡ Λητὼ ἐπέβη αὐτῆς, διδύμους ἔχουσα παῖδας". καὶ ἄλλοι δὲ, συνεπιστρατευόμενοι αὐτῷ, φασὶ Δῆλον αὐτὴν κληθῆναι, διότι φερομένη ποτὲ ὑπὸ θάλασσαν, ἀνέσχεν ὕστερον κάτωθεν, ὡς καὶ ἄλλαι τινὲς, καὶ ἐξ ἀδήλου βάσεως ἐρριζώθη στηριχθεῖσα. τοῦτο δὲ οὕτως ἐπλάσθη, διὰ τὸ συχνά ποτε, κατά τινας, τὴν νῆσον ταύτην σείεσθαι. διὸ καὶ χωρίον ἦν τι περὶ αὐτὴν ὁ Τρίμων καλούμενον. ὁ μέντοι θρυλλούμενος χρησμὸς ἐναντιοῦται τούτοις τοῖς λόγοις, ὁ λέγων ὅτι,

Κινήσω καὶ Δῆλον ἀκίνητόν περ ἐοῦσαν.

λέγεται γὰρ ὅτι ὁπηνίκα ὁ τοῦ Δαρείου στρατηγὸς Δάτης τριακόσια τάλαντα λιβανωτοῦ ἐθυμίασεν ἐν τῷ βωμῷ τοῦ Δηλίου Ἀπόλλωνος, καὶ [illegible]λδυσι, τότε ἡ Δῆλος ἐκινήθη πρῶτα καὶ ὑ[illegible], τὸ πρὶν οὖσα ἀκίνητος. φασὶ δὲ οἱ παλα[illegible] τὰς Κυκλάδας πλείους εἶναι τῶν ιε´. ὧν εἰσιν, ἡ Κύθνος, ἀφ᾽ ἧς ὁ Κύθνιος λέγεται τυρὸς, ἐξ ἧς καὶ ζωγράφος ὄνομα ἔχων ὁ Κυδίας. ἡ Πάρος, ἐξ ἧς παροιμία, τὸ ἀντιπαριάσαι, ἤγουν μεταμεληθῆναι· ἐψεύσαντο γάρ ποτε ἐκ μετα-

μέλου

Unde & Lemnus, aſperum ſolum Vulcani,
Pateſcit; Priſcaque Thaſus, Cereris ſedes fertilis:
Imbrus, Thraciaque Samus, Corybantica civitas.
Quæ vero Aſiæ primam partem ſortitæ ſunt, circumeuntes
Delum circumdederunt, & nomine Cyclades ſunt:

μέλλει οἱ Πάριοι τὰς εἰρηνικὰς ὁμολογίας, ἃς ἔθεντο πρὸς τὸν Μιλτιάδην, ὡς ἐλπίσαντες ποθὲν συμμαχίαν ἐν κείνοις. ἡ Ἀμοργὸς, ἐξ ἧς Σιμωνίδης ὁ ἰαμβοποιός, Ἀμοργῖνος ἐντεῦθεν λεγόμενος προπερισπωμένως, τύπῳ ἐθνικῷ· τὸ δὲ Ἀμόργινος, προπαροξυτόνως, χιτῶνος ἐπίθετον, ἀπὸ χρώματος ἴσως ἐλαιοχρόου τινός· ἀμόργη γὰρ ἡ τοῦ ἐλαίου ὑπόσταθμη, ὅ ἐστιν ὁ τρυγίας. Παυσανίας δὲ, ὁ τὸ Ἀττικὸν λεξικὸν, ἄλλό τι ἐμφαίνει, λέγων, « Ἀμοργὸς ὁμώνυμος βύσσῳ· καὶ ὅτι ἀμοργὶς « κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς ἐνδύματα « ἀμοργίδια λεγόμενα, ὡς ὁ Κωμικὸς « ἐν Λυσιστράτῃ δηλοῖ». ἡ Δῆλος οὕτω λεγομένη ἢ διὰ τὴν θρυλλουμένην μυθώδη αἰτίαν, ὅτι ὑπὸ θάλασσαν, ὡς ἐρρέθη, οὖσα πρώην, ὕστερον φανεῖσα ἐδηλώθη· ἢ διὰ τὰς ἐν αὐτῇ μαντείας, ἐξ ὧν ἐδηλοῦτο τὰ δυσεύρετα. ἡ Τῆνος, ἀπό τινος οὕτω κληθεῖσα Τήνου ἀνδρός· ἦν δὲ σκοροδοφάγος γῆ αὕτη, ὡς καὶ ἡ κωμῳδία δηλοῖ, Τηνίων μεμνημένη σκορόδων· ὕδατι κατάρρυτος, διὸ καὶ Ὑδροῦσα ἐκλήθη, κρήνην ἔχουσα ἧς τὸ ὕδωρ οἴνῳ οὐ μίσγεται. καὶ φιάλιον δὲ λέγεταί ποτε ἐν αὐτῇ ἀνακεῖσθαι, σύγκραμα ἔχον, ἐξ οὗ πάνυ ῥᾳδίως πῦρ ἀνήπτετο. ἡ Ἴος, ἡ κατὰ χρησμὸν Ὁμήρου μητρίς, ἤγουν ὅθεν ἦν Ὁμήρου μήτηρ. καὶ ὅρα τὸ μητρίς, ἐξ ὁμοιότητος τοῦ πατρίς. ἡ Σέριφος, ἥτις οὕτω πετρώδης ἐστὶν, ὥστε κωμῳδεῖται ὑπὸ τῆς Γοργόνος τοῦτο παθεῖν, ὡς τοῦ Περσέως αὐτόθι τραφέντος, καὶ τὴν τῆς Γοργόνος δῆθεν ἐκεῖ κομίσαντος κεφαλὴν, δι᾽ ἧς τοὺς ἐκεῖ ἀπελίθωσεν. Ἴωνες δὲ ἀπὸ Ἀθηνῶν οἱ Σερίφιοι, καθὰ καὶ οἱ Σίφνιοι, ὡς Ἡρόδοτος ἱστορεῖ. ἡ Μύκονος, ἐν ᾗ λέγονται κεῖσθαι οἱ τῶν γιγάντων ὑστατότατοι, ἀναιρεθέντες ὑφ᾽ Ἡρακλέος. ὅθεν ἐπὶ τῶν οὐκ εὖ παθόντων μιᾷ ψήφῳ, ἤγουν ἐπὶ τῶν μιᾷ δίκῃ καταδικασθέντων λέγεται τὸ, Πάνθ᾽ ὑπὸ μίαν Μύκονον· ἤγουν, πάντα ὁμοῦ ὑπὸ μίαν βλάβην, ἢ καταδίκην. ἐπιχωριάζει δὲ τοῖς Μυκονίοις φαλάκρωσις· διὸ καὶ οἱ φαλακροὶ, Μυκόνιοι λέγονται. ἡ Νίσυρος, ἧς καὶ Ὅμηρος μέμνηται· οὕτω καλουμένη ἀπὸ τοῦ νέω καὶ τοῦ σύρω, διότι ἀποκοπεῖσα τῆς νήσου τῆς Κῶ τῇ τοῦ Ποσειδῶνος τριαίνῃ, ἐπισύρη τῷ γίγαντι Πολυβώτῃ νέοντι, ὅ ἐστιν ἐρχομένῳ. αὐτὴ δὲ τῶν Σποράδων νήσων οὖσα, κατά τινας, πετρώδης ἐπὶ λίθου μυλίου. γίνεται δὲ καὶ οἶνος χρηστὸς ὁ Νισύριος. ἡ Σῦρος, ἣν ὁ Ποιητὴς Συρίην καλεῖ ἐν Ὀδυσσείᾳ, ἥτις μηκύνει, κατὰ τοὺς Γεωγράφους, (ἤγουν ἐκτείνει) τὴν πρώτην συλλαβὴν, τουτέστι τὴν ἀρχοῦσαν. ἡ Σίφνος, περὶ τὸ Κρητικὸν πέλαγος, ἀφ᾽ ἧς ὁ Σίφνιος ἀστράγαλος, δι᾽ εὐτέλειαν. λέγονται δέ ποτε ἀκμάζειν τοῖς πράγμασιν οἱ Σίφνιοι, καὶ πλουτεῖν μάλιστα, διὰ τὸ χρυσοῦ καὶ ἀργύρου ἐν τῇ νήσῳ εἶναι μέταλλα. Κυκλὰς δὲ καὶ ἡ Ἄνδρος, ἀπὸ Ἄνδρου τινὸς οὕτω κληθεῖσα. ἀλλὰ καὶ ἡ Νάξος, λεγομένη οὕτω ἀπὸ Νάξου Καρῶν ἡγεμόνος· ἢ παρὰ τὸ νάξαι, ὅ ἐστι θῦσαι, διὰ τὰς θυσίας ἐξαιρέτους τινὰς ἐκεῖ γενομένας. Ἡρόδοτος δὲ καὶ περὶ Σικελίαν Ναξίους τινὰς ἱστορεῖ, λέγων καὶ ὅτι « ἡ « Κυκλὰς αὕτη Νάξος μεγέθει μὲν οὐ « μεγάλη ἐστὶν, ἄλλως δὲ καλή τε καὶ ἀγα« θὴ, ἀγχοῦ τῆς Ἰωνίας, χρήματα ἔχουσα « πολλά».

Ῥύσια δ' Ἀπόλλωνι [3] χοροὺς ἀνάγουσιν ἅπασαι,
Ἀρχομένου γλυκεροῦ νέον εἴαρος, εὖτ' ἐν ὄρεσσιν
Ἀνθρώπων ἀπάνευθε κύει λιγύφθογγος ἀηδών.
Νῆσοι δ' ἑξείης [2] Σποράδες περιπαμφανόωσιν,
Οἷον ὅτ' ἀννεφέλοιο δι' ἠέρος εἴδεται ἄστρα,
Ὑγρὰ νέφη κραιπνοῖο βιησαμένου Βορέαο.
Ταῖς δ' ἔπι [3] νῆσοι ἔασιν Ἰωνίδες· ἔνθα δὲ Καῦνος,

"πολλαί". ἐγένετο δέ ποτε αὐτοῖς καὶ ὀκτακισχίλιαι ἀσπίς, καὶ πλοῖα μακρὰ πολλά.

1. Ὅτι αἱ Κυκλάδες, ἔαρος γλυκεροῦ νέου ἱσταμένου, ἢ ἀρχομένου, ὅτι ἐν ὄρεσιν ἀνθρώπων ἀπάνευθε κύει λιγύφθογγος ἀηδὼν, χοροὺς ἀνάγουσι τῷ Ἀπόλλωνι· οὓς καὶ ῥύσια λέγει, ὡς ῥύσεως χάριν καὶ ἐπὶ σωτηρίᾳ γινομένους. καίτοι κυρίως ῥύσια (ὡς καὶ ἐν τῇ Ἰλιάδι φαίνεται) τὰ ἐξ ἐπιδρομῆς ὁπλιτικῆς καὶ ἑλκυσμοῦ λαμβανόμενα εἰς ἐνέχυρα· ἀπὸ τοῦ ῥύω τὸ ἑλκύω ἐτυμολογούμενα· καταχρηστικῶς δέ ποτε καὶ ἐπὶ ἁπλῶς ἐνεχύρου ἡ λέξις λαμβάνεται. ὁ μέντοι Διονύσιος, κατὰ δριμύτητα ῥητορικὴν συνήθη αὐτῷ, ἐπὶ δῶρον σωτηρίων τὴν λέξιν εἴληφεν, ἅπερ μᾶλλον σῶστρα λεχθήσονται, καθάπερ λύτρα τὰ ὑπὲρ αἰχμαλώτων διδόμενα.

2. Ὅτι ὥσπερ αἱ Κυκλάδες, οὕτω καὶ αἱ Σποράδες ἐν Αἰγαίῳ εἰσὶ πελάγει, ἃς ἡ τῆς περιηγήσεως πινακογραφία οὐκ ἔχει. ἔστι δὲ τῶν Σποράδων ἡ Νικασία, πλησίον τῆς Νάξου. ἡ Θήρα, ἐξ ἧς ἀποικία Λακώνων εἰς Κυρήνην ἐστάλη, καθὰ καὶ Πίνδαρος ἱστορεῖ. ἐν ταύτῃ οὔτε τοὺς ἐτῶν ν'. θνήσκοντας ἐθρήνουν, οὔτε τοὺς ἑπτακετεῖς, εἰ θάνοιεν. ἡ Μῆλος περὶ τὸ Κρητικὸν πέλαγος, ἀπό τινος ἀνδρὸς Μήλου κληθεῖσα, κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν. εἰς ταύτην Ἀθηναῖοί ποτε πέμψαντες ἡβηδὸν τοὺς ἐνοικοῦντας ἀπέσφαξαν. ἄλλοι δὲ Κυκλάδα τὴν Μῆλόν φασιν, ὁμώνυμον ἔχουσαν πόλιν, ὅθεν ἦν Διαγόρας ὁ Μήλιος ὁ ἐπ' ἀσεβείᾳ κωμῳδούμενος. τῶν Σποράδων ἐστὶ καὶ ἡ Πάτμος περὶ τὸ Ἰκάριον πέλαγος, καὶ ἡ περὶ τὸ Κάριον πέλαγος, καὶ ἡ περὶ τὸ Καρπάθιον Ἀστυπάλαια. ναὶ μὴν καὶ ἡ Κίμωλος περὶ Κρήτην, ἐξ ἧς ἡ Κιμωλία γῆ, ἐπιτηδεία εἰς νίτρου κατασκευὴν, ὡς καὶ ὁ Κωμικὸς λέγει. καὶ ἡ Λέρος δὲ μία τῶν Σποράδων ἐστὶ περὶ τὴν Καρίαν, ἧς οἱ ἄποικοι κακοήθεις, ὡς δηλοῖ ὁ Φωκυλίδης, λέγων, Λέριοι κακοί· οὐχ ὁ μὲν, ὃς δ' οὔ· πάντες δὲ, πλὴν Προκλέους· καὶ Προκλέης δὲ Λέριος. Σποράς δὲ καὶ ἡ περὶ τῇ Ῥόδῳ Νυσία, ἥτις παραφθορὰν, φασὶν, ἔπαθεν. οἱονεὶ γὰρ Διονυσία τις ἐστίν· ἐπεὶ Διόνυσος τὴν Ἀριάδνην εἰς αὐτὴν ἐκ τῆς Νάξου ἤγαγεν, Μίνωος τοῦ πατρὸς διώκοντος αὐτήν. εἰσὶ δὲ καὶ ἄλλαι Σποράδες, ἃς (ὡς ἐρρέθη) ὁ τῆς κοσμογραφίας πίναξ οὐκ ἔχει· ὧν τινες καὶ τὴν Τῆνόν φασιν, ἥτις ἀνωτέρω Κυκλὰς ἐλέγετο. ἐοίκασι δὲ ἀργιλώδεις αἱ Σποράδες εἶναι, ἤγουν λευκόγειοι. διὸ καί φησι Διονύσιος ὅτι παμφαίνουσιν, οἷον ὅτε ἀνεφέλου ἀέρος ὄντος τὰ ἄστρα φαίνεται, ὑγρὰ νέφη βιαζομένου ἀρκτῴου Β[ορέου.] τοῦτο δὲ μάλιστα εἶπε διὰ τὸ ἀργιλ[ῶδες καὶ] λευκὸν τῆς αὐτόθι γῆς, ὡς εἴρηται. Σποράδες δὲ λέγονται τάχα μὲν καὶ δι' ἄλλας αἰτίας, μάλιστα δὲ πρὸς ἀντιδιαστολὴν τῶν Κυκλάδων. οὐ γὰρ κατ' αὐτὰς ὡρισμένους ἔχουσι τόπους, ἀλλ' οἷον διεσπαρμέναι εἰσὶ πολλαχοῦ. ὅτι γε Σποράδας τινὲς καὶ τὴν ἔνδον τοῦ Ἑλλησπόντου εἶπον Προικόννησον. κατὰ δὲ τινας, διὰ τὸ πολυπληθὲς καὶ

πυκνὸν,

Gratulatoria vero ſacra Apollini choreas ducunt univerſæ,
Ineunte dulci recens [*primum*] vere, quando in montibus
Ab hominibus procul parit dulciſona luſcinia.
Inſulæ autem deinceps Sporades undique micant,
Ceu quando innubilem per aërem cernuntur ſidera,
Humidas nubes velox ubi diſpulit boreas.
Has autem poſt inſulæ ſunt Ionicæ: ubi Caunus,

πυκνὸν, Σποράδες νῆσοι καλοῦνται. εἴποις γὰρ ἂν, φασὶ, κατεσπάρθαι οἷον αὐτάς. εἰσὶ δὲ τῶν Σποράδων καὶ αἱ παρὰ τῷ Λυκόφρονι Καλύδναι, ὧν μία ἰδίως Καλύδνα καλεῖται· ἀφ᾽ ἧς καὶ λοιπαὶ παρακείμεναι τὴν αὐτὴν κλῆσιν ἔλαχον. ἔχει δὲ αὕτη μέλι τὸ Καλύδνιον ἀστεῖον, καὶ τῷ Ἀττικῷ ἐνάμιλλον. ὁ δὲ τὰ ἐθνικὰ γράψας καὶ τὸ μέλι Καλύμνιον λέγει, καὶ τὰς νήσους ταύτας Καλύμνας, διὰ τοῦ μ. τὸ δὲ ὑγρὰ νέφη διασεισμένου βορέου, ἐξήγησις οἷόν ἐστι τοῦ παρ᾽ Ὁμήρῳ αἰθρηγενέτου βορέαο. ὁ γὰρ τὰ νέφη βιαζόμενος αἰθρίαν ποιεῖ, καὶ διὰ τοῦτο αἰθρηγενέτης ἐστί. Σημειῶσαι δὲ καὶ ὅτι καὶ ἐν Ἀραβίᾳ κόλπος τις εἶναι λέγεται, νήσους ἔχων Σποράδας.

3. Ὅτι μετὰ τὰς Σποράδας νήσους αἱ Ἰωνίδες εἰσὶ, τουτέστιν αἱ ὑπὸ τοὺς Ἴωνας· οἷον ἡ Καῦνος, ἣν Ἡρωδιανὸς ἐν τῇ καθόλου προσῳδίᾳ ὀξύνει. ἔστι δὲ καὶ ἡ Σάμος, ἣν ἱμερόεσσάν τε ὁ Διονύσιος λέγει, καὶ Πελασγίδα δὲ, ὡς ἀπό τινων Πελασγῶν, ἀφ᾽ ὧν καὶ Ἥρα ἐκεῖ Πελασγία τιμᾶται. Ἱστέον δὲ ὅτι καὶ πόλις ἐστὶ Καρίας λεγομένη Καῦνος, ἀπό τινος Καύνου ἀνδρὸς, οὗ ἐρασθεῖσα ἡ ἀδελφὴ Βυβλὶς ἀπήγξατο· ὅθεν καὶ ὁ παρὰ τῇ παροιμίᾳ Καύνιος ἔρως, ἐπὶ τῶν ἀθέσμως ἐρώντων, ἢ καὶ ἐπὶ τῶν βλαβέντων ἐφ᾽ οἷς ἀθέσμως ἠράσθησαν. ἔστι δὲ νοσώδης ἡ τοιαύτη, διὰ τὸ τοῦ ἀέρος οὐκ ἀγαθὸν, ἔν τε θέρει καὶ μετοπώρῳ, διὰ τὰ καύματα καὶ τὴν τῶν ὡραίων καρπῶν ἀφθονίαν. ἔνθα τοὺς οἰκοῦντας χλωροὺς ἰδὼν Στρατόνικος, ὁ ὑμνούμενος ἀστεῖος κιθαρῳδὸς, ἔφη,

Οἵηπερ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.

αἰτιαθεὶς δὲ διότι σκώπτει τὴν πόλιν διὰ τὰς νόσους, ἔτι πλέον ἀστεϊσάμενος ἔφη, "καὶ πῶς ἂν ἐγὼ νοσερὰν εἴποιμι τόπον, ἔνθα καὶ οἱ νεκροὶ περιπατοῦσιν"; ἡ δὲ Σάμος αὕτη ἡ Ἰωνικὴ πάνυ εὐτυχὴς ἐγένετό ποτε, ὡς καὶ παροιμιασθῆναι, Γάλα ὀρνίθων φέρειν αὐτήν. τυραννηθεῖσα δὲ, ἐπειράθη δυστυχίας ἄκρας· λειπανδρήσασα διὰ Συλοσῶντα τὸν τύραννον, ἄρξαντα πικρῶς. ὅθεν καὶ παροιμία, Ἕκητι Συλοσῶντος εὐρυχωρία. ὁ μέντοι τοῦ Συλοσῶντος ἀδελφὸς Πολυκράτης, οὐ φαύλως ἐτυράννησε· γενόμενος δὲ εὐτυχέστατος ὕστερον ἐκρεμάσθη ὑπὸ Περσῶν. οὗτος ἦν ὁ τὸν δακτύλιον ῥίψας εἰς θάλασσαν, ὃν αὖθις διὰ τοῦ καταποθέντος ἰχθύος ἀπέλαβε. περὶ δὲ οἴνους, ὡς λέγεται, οὐ πάνυ εὐτυχὴς ἦν. ὠνομάσθη δέ ποτε καὶ Μελάμφυλλος, καὶ Ἀνθεμίς· καὶ Παρθενία δὲ, ἀπὸ ποταμοῦ Παρθενίου ἐν αὐτῇ τῇ Σάμῳ. καὶ ὄρος ὑψηλὸν λέγεται εἰς πεντήκοντα καὶ ἑκατὸν ὀργυιάς, οὗ κάτωθεν ὄρυγμα, ὥς φησιν Ἡρόδοτος, πολυστάδιον, δι᾽ οὗ ὕδωρ, ὀχετευόμενον διὰ σωλήνων, παρεγένετο εἰς τὴν πόλιν ἀπὸ μεγάλων πηγῶν· οὗ ἀρχιτέκτων Εὐπαλῖνος ὁ Μεγαρεύς. ἦν δὲ, φησὶν, αὐτόθι καὶ ναὸς μέγιστος, οὗ ἀρχιτέκτων Ῥοῖκος, ἀνὴρ ἐπιχώριος. ταύτης ὁ πολίτης Σάμιος· ὁ μέντοι τῆς ἐν Κεφαλληνίᾳ Σάμου πολίτης, Σαμαῖος· διότι ἐκείνη καὶ

Σάμη

Καὶ Σάμος ἱμερόεσσα, Πελασγίδος ἕδρανον Ἥρης.
Καὶ Χίος, ἠλιβάτου Πελληναίου ὑπὸ πέζαν.
Κεῖθεν [1] δ' Αἰολίδων ἀναφαίνεται οὔρεα νήσων,
Λέσβου τ' εὐρυχόροιο, καὶ ἱμερτῆς Τενέδοιο.
Κεῖθι [2] Μέλας καὶ κόλπος ἐφ' Ἑλλήσποντον ἵησιν,
Ἀφρὸν ἐρευγόμενος· Βορέου δ' ἐπὶ πολλὸν ἰόντι,
Πέπταται ἔνθα καὶ ἔνθα Προποντίδος οἶδμα θαλάσσης.
Ἔστι δέ τις καὶ [3] σκαιὸν ὑπὲρ πόρον Εὐξείνοιο

Σάμη λέγεται, καθὰ καὶ παρ' Ὁμήρῳ εὕρηται. Ἰστέον δὲ ὅτι Ἰωνικὴν τὴν ῥηθεῖσαν Σάμον φαμὲν, ὡς ἂν ἀντιδιαστέλλοιτο τῇ τε Ὁμηρικῇ Κεφαλληνικῇ Σάμῳ, καὶ τῇ προειρημένῃ δὲ Θρακίᾳ Σάμῳ, τῇ οὕτω κληθείσῃ διὰ τὸ ὕψος· Σάμοι γὰρ, φασὶ, τὰ ὕψη. ὅτι δὲ εἰς πολὺ ἐξῆρται ὕψος, δῆλον ἐκ τοῦ καὶ τὸν Ποιητὴν εἰπεῖν ἐξ αὐτῆς τήν τε Ἴδην φαίνεσθαι πᾶσαν, καὶ τὰ κατὰ τὴν Τροίαν. οἱ δέ φασιν ὅτι Σάμος λέγεται ἡ Θρακία, οἱονεὶ Σάος τις, καὶ κατὰ πλεονασμὸν τοῦ μ, Σάμος· ἀπὸ Σαΐων, ἔθνους παλαιοῦ οἰκησάντος αὐτήν. οὗ μέμνηται καὶ Ἀρχίλοχος ὁμολογῶν ἄχρηστον τὴν αὐτοῦ ἀσπίδα ἐν τῇ φυγῇ πολέμου ῥῖψαι παρ' αὐτοῖς. καὶ ἡ Χίος δὲ, τῶν Ἰώνων ἐστὶ νῆσος, ἔχουσα πόλιν εὐλίμενον, ὡς ὁ Γεωγράφος φησὶ, καὶ ναύσταθμον ταῖς ναυσὶ, καὶ ἄλσους φοινίκων, οἷς ὁ περίπλους σταδίων ἐννακοσίων. ταύτης οἰκισταὶ Πελασγοί. ἐνταῦθα ὄρος τὸ Πελιναῖον. ἱστορεῖται δὲ ἐν Χίῳ πρῶτον μέλανα οἶνον γενέσθαι, καὶ πρώτους τοὺς ἐκεῖ θεράπουσι χρήσασθαι, οὕτω καλουμένοις κατὰ ἰδίαν τινὰ κλῆσιν δουλευτικὴν, ἢ δουλικήν· ὡς καὶ οἱ Λακεδαιμόνιοι ἐχρήσαντό ποτε Εἵλωσι, καὶ Μακεδόνες Πενέσταις, καὶ Ἀργεῖοι Γυμνησίοις, καὶ Σικυώνιοι Κορυνηφόροις, καὶ Κρῆτες Δμωΐταις, καὶ Ἰταλιῶται Πελασγοῖς. ὥστε κατὰ τὴν ἱστορίαν ταύτην δουλικὰ παρὰ τοῖς παλαιοῖς ὀνόματα εἶναι τοὺς Εἵλωτας, τοὺς Πενέστας, τοὺς Γυμνησίους, τοὺς Κορυνηφόρους, τοὺς Δμωΐτας, τοὺς Πελασγοὺς, τοὺς θεράποντας. ἄλλοι δὲ Κρητικὴν λέξιν τὸ θεράποντα εἰπον εἶναι, ὡς τῶν Κρητῶν τὸν ὁπλοφόρον δοῦλον λεγόντων θεράποντα.

1. Ὅτι ἐκεῖθεν, ἤτοι μετὰ τὰς Ἰωνικὰς νήσους, ἀναφαίνονται νῆσοι Αἰολίδες, Λέσβος τε εὐρύχορος, καὶ Τένεδος ἱμερτή. μητρόπολις δὲ τῶν Αἰολικῶν πόλεων ἡ Λέσβος, περίμετρον ἔχουσα χιλίων σταδίων, μεταποιουμένη τῆς τοῦ Ὀρφέως κεφαλῆς· ἐκεῖ γάρ φασι μετὰ θάνατον αὐτὴν λαλοῦσαν προσοχθῆναι. τοῦτο δὲ ἐμυθεύθη διὰ τὸ ἀρίστους ἐκεῖ καὶ μετὰ Ὀρφέα γενέσθαι ἄνδρας λογίους· ὧν ἦν καὶ Ἀρίων ὁ Μηθυμναῖος, καὶ Πιττακὸς, καὶ ὁ ποιητὴς Ἀλκαῖος, καὶ ἡ Σαπφὼ, θαυμαστόν τι, φασὶ, γυναικὸς χρῆμα, πρὸς ἣν οὐδεμία γυνὴ ἐνάμιλλος εἰς ποίησιν. ἦν δὲ πεντάπολις ἡ Λέσβος, μίαν ἔχουσα τῶν πέντε τὴν Λέσβον· ἀφ' ἧς ἡ ὅλη νῆσος Λέσβος ἐλέγετο, ἐκ τοῦ μέρους λαχοῦσα τοὔνομα· ὥσπερ καὶ ἡ νῦν Μιτυλήνη λέγεται ἡ αὐτὴ, ἀπὸ πόλεως ὁμωνύμου μιᾶς ἐκείνων τῶν πέντε. τῷ δὲ αὐτῷ λόγῳ καὶ Λυ[illegible] αὐτὴν Ἴσσαν ἐκάλεσεν. μία γὰρ καὶ ἡ [illegible] αὐτῆς Πενταπόλεως. ἡ δὲ Τένεδος περίμετρον μὲν ἔχει σταδίων ὀγδοήκοντα, τῆς ἠπείρου δὲ ἀπέχει οὐ πλείους τῶν μ'. ἔχει δὲ καὶ πόλιν Αἰολίδα, καὶ λιμένας δύο, καὶ Σμινθέως ἱερὸν Ἀπόλλωνος. παράκεινται δὲ αὐτῇ αἱ ῥηθεῖσαι ἀντιπέρα Καλύδναι δύο νῆσοι. ἐκαλεῖτο δέ ποτε, φασὶ, καὶ αὐτὴ Καλύδνα. ἐκλήθη δέ ποτε καὶ Λευκόφρυς.

Et Samus amœna, Pelaſgicæ ſedes Junonis,
Et Chios, altiſſimi Pellenæi ſub pede.
Inde Æolidum [*Æolicarum*] apparent montes inſularum,
Lesbique ſpatioſæ, & amœnæ Tenedi.
Illic Melaſque ſinus ad Helleſpontum vadit,
Spumam eructans: at in boream longe tendenti,
Expanditur hinc & inde Propontidis unda maris.
Eſt vero quædam ſiniſtrum ſuper meatum Euxini

κόφρυς. διὰ δὲ τὴν Τένην, οὗ γέγονεν εἶδος, ὡς βασιλεύσαντος ἐν αὐτῇ, ἐπεκράτησε Τένεδον καλεῖσθαι αὐτήν· ὅντινα Τένην διαβολῇ μὲν μητρυιᾶς Φυλονόμης, ἢ Πολυβοίας, συγκατέρριψε διὰ τοῦ πατρὸς Κύκνου εἰς θάλασσαν τῇ ἀδελφῇ Λευκοθέᾳ, ἐγκλείσασα λάρνακι· ἡ δὲ δίκη περισωσαμένη, τῆς νήσου βασιλέα κατέστησεν. ἦν δὲ ἡ τῆς μητρυιᾶς διαβολὴ πρὸς τὸν Κύκνον ἐρωτική, ὅτι δηλαδὴ ὁ Τένης ἐβιάζετο αὐτήν· καίτοι αὐτὴ οὕτως εἰς τὸν Τένην ἐποίησεν. ἀπὸ ταύτης ἐπὶ τῶν αὐστηρῶν ψηφιζομένων ᾄδεται παροιμία, Τενέδιος ἀνήρ. λέγεται γάρ ποτε τοῖς ἐπὶ μεγάλῳ κακῷ αὐτόθι δικαζομένοις πελεκηφόρον ἐφεστάναι ἄνδρα, ὃν ἔδει τῷ ἑαλωκότι τοῦ ἐγκλήματος πληγὴν εὐθὺς ἐπιθεῖναι θανάσιμον.

2. Ὅτι ἐκεῖ που περὶ τὴν Τένεδον ὁ Μέλας κόλπος ἐφ' Ἑλλήσποντον ἵησιν, ἀφρὸν ἐρευγόμενος· τὴν κλῆσιν ἔχων ἀπὸ ποταμοῦ Μέλανος, τοῦ καὶ ἄνω ῥηθέντος, ἐκδιδόντος εἰς αὐτόν· ἢ καὶ διὰ τὸ τοῦ βάθους πολύ. συνάπτει γὰρ τῷ Αἰγαίῳ, ὃν βα[illegible] πόρον φθάσας ἔφη ὁ Διονύσιος. κόλπος δὲ Μέλας ἐστὶν (ὡς οἱ ἀκριβέστεροι λέγουσιν, οἷς φαίνεται καὶ ὁ Διονύσιος ἐπακολουθῶν) περὶ ὃν καὶ ἡ Αἶνος κεῖται, πόλις Αἰολική. φασὶ γὰρ ὅτι ἐν τῷ Μέλανι κόλπῳ ἡ Αἶνος πρὸς τῇ ἐκβολῇ τοῦ Ἕβρου. οἱ δὲ περὶ Κύζικον καὶ Προικόννησον τὸν Μέλανα κόλπον τιθέμενοι, δοκοῦσιν ἀμάρτυρα καλεῖν· εἰ μὴ ἄρα ἔκ τινος χωρίου βοηθοῦνται, κειμένου ἐν τοῖς τοῦ Ὀππιανοῦ Ἁλιευτικοῖς, ὅπου περὶ τῆς τῶν πηλαμύδων ἄγρας ἐκεῖνός φησι. καὶ Ἡρόδοτος δέ φησι, Μέλας ποταμός, ἐξ οὗ ὁ κόλπος ὁ πρὸς τῇ Αἴνῳ. λέγεται δὲ οὗτος μὴ ἐξαρκέσαι τῷ Περσικῷ στρατῷ, ὅτε ὁ Ξέρξης εἰς τὴν Εὐρώπην διέβη, ἀλλ' ἐκλιπεῖν πινόμενος. οὕτω δὲ καὶ ὁ Σκάμανδρος οὐκ ἀντέσχε τὸ ὕδωρ· καὶ ὁ Λίσσος δὲ ποταμὸς Θρακικὸς οὐκ ἀπέχρησεν, ἀλλὰ προδέδωκε τὸ ῥεῖθρον, ὥς φησιν ὁ γλυκὺς Ἡρόδοτος.

3. Ὅτι ἀντικρὺ τοῦ Βορυσθένους ποταμοῦ, τοῦ περὶ τὰ σκαιὰ τοῦ Εὐξείνου πόντου ἐκβάλλοντος, πελαγία ἐστὶ νῆσος ἡρώων πολυώνυμος, Ἀχιλλέως ἱερά, [illegible] ἀντιπέραν καὶ ὁ προρρηθεὶς αὐτοῦ παρώνυμος δρόμος Ἀχίλλειος. τὴν δὲ νῆσον ταύτην φησὶ Λευκὴν καλεῖσθαι κατ' ἐπωνυμίαν, ὅ ἐστι φερωνύμως· ἐπειδὴ τὰ ἐν αὐτῇ κατάπτερα, ἤγουν θηρία ὀρνέων, τουτέστιν ὄρνεα, λευκά εἰσι· τυχὸν μὲν λάροι, κατὰ δέ τινας πελαργοί. κινώπετα δ' ἐστὶν, ὧν ἡ κίνησις ἐν τῷ πέτεσθαι. ἀσυνήθης δὲ ἡ λέξις. ἐκεῖ δέ, φησί, φήμη ἐστὶν Ἀχιλλέως τε καὶ ἡρώων εἰλεῖσθαι ψυχάς, ἐρημαίας ἀνὰ βήσσας. ὥστε νῆσος ἡρώων λέγεται ἡ Λευκὴ αὕτη νῆσος, ὥσπερ νῆσοι μακάρων αἱ ἐν τῷ ἑσπερίῳ ὑμνούμεναι ὠκεανῷ. καὶ τοῦτο, φησί, δῶρον τοῖς ἀριστεῦσιν ἀντ' ἀρετῆς· ἤγουν, τοῦτο ἔλαχον οἱ ἥρωες γέρας ἀντὶ ἀρετῆς, τὸ ἀθύρειν μετὰ ῥαστώνης ἐν

τῇ

Αὐτὰρ Βορυσθένεος πολυώνυμος εἰν ἁλὶ νῆσος
Ἡρώων. Λευκὴν μιν ἐπωνυμίην καλέουσιν,
Οὕνεκά οἱ τὰ πέρεσι κινώπετα λευκὰ τέτυκται.
Κεῖθι δ' Ἀχιλλῆός τε καὶ ἡρώων φάτις ἄλλων
Ψυχὰς εἱλίσσεσθαι ἐρημαίας ἀνὰ βήσσας.
Τοῦτο δ' ἀριστήεσσι Διὸς πάρα δῶρον ὀπηδεῖ,
Ἀντ' ἀρετῆς· ἀρετὴ γὰρ ἀκήρατον ἔλλαχε τιμήν.
Κιμμέριον δ' ἄρα τοι διὰ [1] Βόσπορον εὐθὺς ἰόντι
Ἄλλη ἀπειρεσίη νῆσος πέλει, ἥ ῥά τε λίμνης
Ἔνδοθι δεξιτερῇ Μαιώτιδος ἐστήρικται·
Ἧς ἔπι Φαναγόρη τε καὶ εὔκτιτος Ἑρμώνασσα,
Ἔνθά τε ναιετάουσιν Ἰωνίδος ἔκγονοι αἴης.
Αἵδε μὲν ἀνθρώποισιν [2] ἀγακλεέες εἰν ἁλὶ νῆσοι.
Ἄλλαι δ' ὠκεανοῖο παρὰ ῥόον ἐστεφάνωνται·
Τάων δ' ἂν περίσημον ἐγὼ θέσιν ἐξενέποιμι,
Ὁπποτέρου τ' ἀνέμοιο [3] πάρα σφυρόν ἐστιν ἑκάστη.
Ἤτοι [4] μὲν ναίουσι βοοτρόφον ἀμφ' Ἐρύθειαν,

τῇ ῥηθείσῃ νήσῳ. εἶτα ἐπιπλέκει γνωμικὸν περιεκτικὸν εἰς ἀρετήν, καί φησιν, ἀρετὴ γὰρ ἀκήρατον ἔλλαχε τιμήν· τουτέστιν ἀθάνατόν ἐστι καλὸν ἡ ἀρετή, καὶ οὐ συναπολήγει τῷ σώματι. δεῖ δὲ εἰδέναι ὅτι σπανιώτατόν ἐστι τὸ γνώμης καλὸν παρὰ τῷ Διονυσίῳ. τούτου δὲ αἴτιον, ὅτι μὴ δίδωσιν αὐτῷ ἡ τῆς πραγματείας ὕλη συχνὰ γνωματεύεσθαι.

1. Ὅτι ἐντὸς τῆς Μαιώτιδος νῆσος ἀπειρεσίη ἐστήρικται, ἣν καλοῦσι Ταυρικήν· ἐν ᾗ Φαναγόρα καὶ Ἑρμώνασσα Παιόνων ἄποικοι πόλεις, ὧν ἡγήσατο Φαναγόρας τις καὶ Ἕρμων, ἀφ' ὧν οἱ τόποι καλοῦνται. Ἀρριανὸς δὲ οὕτω φησί, « Φαναγόρεια, ἣν ἔκτισε Φαναγόρας ὁ « Τήιος, φυγὼν τὴν τῶν Περσῶν ὕβριν. ἐπὶ δὲ Ἑρμωνάσσῃ τῇ γυναικὶ Σημάνδρου Μιτυληναίου τινός, οὗ ἕνεκα τῶν Αἰολέων εἰς ἀποικίαν μεταστήσαντος, καὶ θανόντος ἐν τῷ τῆς πόλεως οἰκισμῷ, ἡ γυνὴ τῆς πόλεως ἐγκρατὴς ἐγένετο, καὶ τὸ ἑαυτῆς ὄνομα τῇ πόλει ἐπέθετο. τὸ δὲ στόμα τῆς Μαιώτιδος, Κιμμερικὸς λέγεται Βόσπορος, περὶ οὗ προεγράφη, ἔνθα τὸ τοῦ πορθμοῦ στενότατον, στάδια κ'. πολεμισταὶ δέ εἰσιν οἱ περὶ τὴν Μαιῶτιν, καὶ γεωργικοί, καί, μετά γε τὸ Σκυθῶν ἔθνος, πάντων ἀλκιμώτατοι· καὶ ἀπ' αὐτῶν ἡ κλῆσίς ἐστι τῇ Μαιώτιδι, καθάπερ λέγουσι. φασὶ δὲ καὶ πάντας τοὺς ἐφεξῆς αὐτοῖς Σκύθας πάλαι ποτὲ σιτοφάγους εἶναι καὶ ἀροτῆρας, μεταβαλόντας δέ, γενέσθαι νομάδας ἀλλοκότους τε καὶ ἀπόλιδας, διὰ τὴν ἐν τοῖς μετὰ ταῦτα ῥηθησομένην αἰτίαν.

2. Ὅτι λέγων κατὰ σχῆμα συμπληρώσεως ὁ Διονύσιος, αἵδε μὲν ἀνθρώποις εὐκλεεῖς νῆσοι, ὁμολογεῖ πάλιν τὴν παχυμερῆ περιήγησιν. καὶ χαρὸν οὐδέν, ὅπου καὶ ὁ πλατύτατος Γεωγράφος ἱκανὰ φησὶ παραλείπειν πολλά. τὸ γὰρ παίζω

λειπτο

Ex adverſo Boryſthenis magni nominis in mari inſula
Heroum: Leucen [*Albam*] ipſam cognomine vocant;
Quoniam ei quæ inſunt animalia alba ſunt.
Illic item Achillis & heroum fama eſt aliorum
Animas verſari deſertas per valles.
Hoc vero optimates à Jove donum ſequitur,
Pro virtute: virtus enim immortalem ſortita eſt honorem.
Cimmerium vero tibi per Boſporum recta eunti
Alia immenſa inſula eſt, quæ quidem paludem
Intra (ad dexteram) Mæotidem ſita eſt:
Quam ſuper Phænagoraque & bene conſtructa Hermonaſſa,
Ubi habitant qui Ionica ſunt oriundi à terra.,
Hæ quidem hominibus valde nobiles in mari inſulæ.
At aliæ oceani in fluento cinctæ ſunt:
Harum autem manifeſtum ego ſitum eloquar,
Et cujuſnam venti ad plantam [*pedem*] ſit quælibet.
Nempe habitant boum nutricem circum Erytheam,

περιπλοηγεῖν, χωρογραφίας ἐστὶν ἴδιον, ὡς καὶ ἐν προοιμίοις εἴπομεν. ἰστέον δὲ ὅτι καὶ τῶν νήσων, αἳ περὶ ὠκεανὸν ἐστεφάνωνται, τὰς περισήμους περιηγήσεται. ἄρξεται δὲ καὶ ἐπὶ τούτων ἀπὸ Λιβύης, ἀρχὴν κἀνταῦθα ταύτην ποιούμενος, καὶ οὕτω πρεσβεῖον οἷον τιμῆς τῇ ἑαυτοῦ ἐθίει περιποιούμενος.

3. Ὅτι κατὰ μεταφορὰν τολμηροτέραν, καὶ ποιητῇ πρέπουσαν, σφυρὸν (ἤτοι πόδα) ἀνέμου λέγει τὴν βάσιν, ὅ ἐστι τὴν θέσιν, καὶ τὸν τόπον ὅθεν πνέει. τὸ δὲ κυρίως σφυρὸν διερμηνεύων Ἀριστοτέλης φησὶ, τῆς κνήμης δι' ὀστοῦ οὔσης, τὸ μὲν πρόσθιον, ἀντικνήμιον λέγεται· τὸ δὲ ὀπίσθιον, γαστροκνημία· τὸ δὲ ἔσχατον, ἀντικνημίου σφυρόν. λέγεται δὲ καὶ ὅτι τῶν σφυρῶν ἑκάτερον ἐκ πλαγίου τῶν δεξιῶν καὶ ἀριστερῶν ἐμπέπτεται.

4. Ὅτι Ἐρύθεια ἡ τοῦ Γηρυόνου νῆσος περὶ τὸ χεῦμά ἐστι τοῦ Ἄτλαντος, ἤτοι περὶ τὸ Ἀτλαντικὸν πέλαγος· καὶ ὅρα ὅτι τὸν τόπον, ἤτοι τὸ πέλαγος, Ἄτλαντα εἶπεν, ὁμωνύμως τῷ ἥρωϊ, ἐξ οὗ καὶ αὐτὸ παρωνόμασται. ταύτην τὴν νῆσον βουτρόφον ἐπωνόμασε, διὰ τὴν περιουσίαν τῶν βοῶν ἃς ἦσαν τῷ Γηρυόνῃ, ἐν ᾗ Αἰθίοπες μακρόβιοι εἰσὶ, περὶ ὧν προείρηται· οἳ μετὰ τὸν Γηρυόνου, φησὶ, θάνατον ᾤκησαν τὴν νῆσον. αὐτοῦ γὰρ ζῶντος ἀοίκητος ἦν τοῖς ἄλλοις, διὰ τὸ ἐκείνου κακόξενον. ᾄδεται δὲ Ἡρακλῆς εἰς αὐτὴν πλεύσας χαλκῷ λέβητι, ὅτε καὶ τὰς Γηρυονείους ἀπήλασε βοῦς,

Χαλκείῃ ἀκάτῳ βουπληθέος ἐξ Ἐρυθείας,

ὡς ὁ Εὐφορίων λέγεται ἱστορεῖν. ὁμοίως καὶ ὁ Ἐφέσιος Ἀλέξανδρος, εἰπὼν,

Χαλκείῳ δὲ λέβητι μέγαν διενήξατο πόντον.

τάχα δὲ ὁ μὲν ῥηθεὶς λέβης πλοίου εἶδος ἦν, ᾧ καὶ ὁ λῃστρικὸς λέμβος ἔοικε παρηχεῖσθαι,

Ἄτλαντος περὶ χεῦμα θευδέες Αἰθιοπῆες,
Μακροβίων υἷες ἀμύμονες, οἵ ποθ' ἵκοντο
Γηρυόνος μετὰ πότμον ἀγήνορος. [1] αὐτὰρ ὑπ' ἄκρην
Ἱρὴν, ἣν ἐνέπουσι κάρην ἔμμεν Εὐρώπης,
Νήσους θ' Ἑσπερίδας, τόθι κασσιτέροιο γενέθλη,
Ἀφνειοὶ ναίουσιν ἀγαυῶν παῖδες Ἰβήρων.
Ἄλλαι δ' ὠκεανοῖο παραὶ Βορεώτιδας ἀκτὰς
Δισσαὶ [2] νῆσοι ἔασι Βρετανίδες, ἀντία Ῥήνου·

χεῖσθαι, κατὰ παρονομασίαν ἴσως. τὸ δὲ τούτου χάλκιον συγκρότησίν τινα χαλκοῦ δηλοῖ ἐπ' αὐτῷ, ὡς εἶναι τυχὸν χαλκέμβολον ἤ, ἢ παράσημόν τινα, ὡς εἰκὸς, ἐκ τοιαύτης εἶχεν ὕλης περὶ τὰ κατὰ πρύμναν ἢ κατὰ πρῶραν. Ἰστέον δὲ ὅτι ὁ Ἀρριανὸς, δοξάζων τὸν Τύριον Ἡρακλέα τοῖς περὶ τὰ Γάδειρα τόποις ἐπιφοιτῆσαι, λέγει ὅτι “καὶ τὸν λογοποιὸν Ἑκαταῖον “ὁ Γηρυόνης, ἐφ' ὃν ὁ Ἀργεῖος Ἡρακλῆς “ἐστάλη, οὐδέν τι προσήκει τῇ γῇ τῶν Ἰ“βήρων· ἤγουν, οὐκ ἦν ἐξ Ἰβηρίας, ἀλ“λὰ τῆς Ἠπείρου τῆς περὶ Ἀμπρακίαν βα“σιλεὺς ἐγένετο, καὶ ἐκ τῆς Ἠπείρου ταύ“της ἀπήλασεν ὁ Ἡρακλῆς τὰς βόας, “οὐδὲ τοῦτο φαῦλον ἆθλον τιθέμενος. “οἶδα δὲ, φησὶν, ἐγὼ καὶ εἰς τοῦτο ἔτι τὴν “Ἤπειρον ταύτην εὔβοτον, καὶ βοῦς τρέφου“σαν καλλίστας.” καὶ ταῦτα μὲν οὕτω. τοὺς δὲ ἐν Ἐρυθείᾳ Αἰθίοπας μακροβίους μὲν ὁ Διονύσιος λέγει, πρὸς ἀντιδιαστολὴν τῶν ἀκριδοφάγων Αἰθιόπων, οἳ βραχύβιοί εἰσι, σπανίως ὑπερτιθέντες ἔτη μ΄. κατὰ τὸν Γεωγράφον, ὡς ἀποθηριουμένης αὐτῶν τῆς σαρκός. θευδέας δὲ ὀνομάζει καὶ ἀμύμονας, διὰ δικαιοσύνην, ὡς τῶν ἄλλων Ἑσπερίων ἀδίκων ὄντων. Ἰστέον δὲ ὅτι μακροβίους καὶ τινὰς τῶν ὑπερβορείων ἱστοροῦσί τινες. ἄλλοι δὲ νῆσον Ἐρύθειαν εἶπον αὐτὰ τὰ Γάδειρα, τῷ Διονυσίῳ οὐ συντρέχοντες· οἱ δὲ νῆσόν τινα Ἐρύθειαν εἶπον παραβεβλημένην τοῖς Γαδείροις, πορθμῷ σταδιαίῳ διειργομένην· ἐνόμισαν δὲ τοῦτο διὰ τὸ εὔβοτον ὁρῶντες τῆς τοιαύτης νήσου, ἔνθα τὸ τῶν προβάτων γάλα ὀῤῥὸν οὐ ποιεῖ, ἀλλὰ καὶ τυροποιοῦσι πολλῷ ὕδατι μίξαντες, διὰ τὴν πιότητα. καὶ ἐν τεσσαράκοντα δὲ, φασὶν, ἡμέραις αὐτόθι πνίγεται τὸ ζῶον, εἰ μή τις ἀποσχάζει τι τοῦ αἵματος. πλούσιος δὲ ὁ Γηρυόνης ὥσπερ κατὰ τὰς βόας, οὕτω καὶ κατὰ τὸ ὄνομα. λέγεται δὲ καὶ Γηρυὼν, καὶ Γηρυόνης, καὶ Γηρυονεύς.

1. Ὅτι κατὰ τὴν ἱερὰν ἄκραν, τὴν κατὰ τοὺς ἀφνειοὺς Ἴβηρας, (ὅ ἐστι κατὰ τὸ οὕτω λεγόμενον ἱερὸν ἀκρωτήριον, ὃ καὶ κόραν Εὐρώπης ἄλλοι φασὶν) αἱ Κασσιτερίδες εἰσὶ δέκα νῆσοι ἐγγὺς ἀλλήλων, πρὸς ἄρκτον κείμεναι· ἃς ὁ Διονύσιος Ἑσπερίδας καλεῖ, διὰ τὸν τόπον τῆς θέσεως· δυτικαὶ γάρ εἰσιν. ὅθεν, φησὶ, κασσιτέροιο γενέθλη. διὸ καὶ Κασσιτερίδες λέγονται. οὐκ ἐπιπολῆς δὲ, φασὶν, αὐτόθι ὁ κασσίτερος, ἀλλ' ὀρυττόμενος εὑρίσκεται. τούτων τῶν δέκα νήσων μία ἔρημος, τὰς δ' ἄλλας οἰκοῦσι Μελάγχλαινοι, ἄνθρωποι ποδήρεις ἐνδεδυκότες χιτῶνας, ἐζωσμένοι τὰ στέρνα, μετὰ ῥάβδων περιπατοῦντες, ὅμοιοι ταῖς τραγικαῖς ποιναῖς, ὥς φασιν οἱ παλαιοί. Ἡρόδοτος δέ φησιν ὅτι, “οὐκ οἶδα νήσους “Κασσιτερίδας, ἐξ ὧν ὁ κασσίτερος ἡμῖν “φοιτᾷ.

2 Ὅτι πρὸς βοῤῥᾶν, ἔνθα Ῥῆνος ὑστάτιον εἰς ὠκεανὸν ἀπερεύγεται δίνην, αἱ Βρετανίδες εἰσὶ δύο νῆσοι, Οὐερνία, καὶ Ἀλουΐων· ἤτοι Βερνία καὶ Ἀλβίων. Βρετανίδες δ' ἑνὸς τοῦ περὶ τούτων τοῦ ποιητοῦ

γραφε-

Atlantis circa undam pietatem in deos colentes Æthiopes,
Macrobiorum filii inculpati, qui olim advenerunt
Geryonis poſt mortem ſuperbi. at ſub promontorio
Sacro, quod perhibent caput eſſe Europæ,
Inſuliſque Heſperidibus [*occiduis*,] ubi ſtanni origo,
Divites habitant illuſtrium liberi Iberorum.
Aliæ autem oceani ad borealia littora
Duæ inſulæ ſunt Britannicæ, contra Rhenum:

κεχαρισμέναι. ὧν μέγεθος παραλλάσσον (ὅπερ καὶ ἐπὶ τῆς Κρήτης εἶπεν) οὐδέ τις ἄλλη νῆσος ἐν πάσαις ἰσοφαρίζει, ὅ ἐστιν, ἐξισοῦται αὐταῖς, καὶ τὸ ἴσον φέρεται. ἃς καὶ συγκρίνων ταῖς ἐκεῖ νήσους τῶν Ἀμνιτῶν, νησαίδας ἐν ὑποκορισμῷ καλεῖ. ἔνθα, φησὶν, αἱ γυναῖκες τῶν ἀγαυῶν Ἀμνιτῶν ἀντιπέραθεν ἐρχόμεναι τελοῦσιν ἱερὰ τοῦ Βάκχου κατὰ νόμον ἐννύχιαι, στεψάμεναι κισσοῦ μελαμφύλλου κορύμβοις· παταγῆς δὲ λιγύθροος ὄρνυται ἠχή. λέγει δὲ κισσὸν μελάμφυλλον, τὸν δασύν, ὡς μελανίαν τοῖς φύλλοις παρέχοντα. οὕτω δὲ καὶ ἐν τοῦ μέλαν δρυὸς ἀμφικεάσσας, παρ' Ὁμήρῳ, δρυὸς μέλαν ἤτοι εἶπον τὴν τῶν φύλλων περιττότητα, καὶ τὴν πύκνωσιν, ἀφ' ἧς τὸ τῆς σκιᾶς μέλαν γίνεται, ὡς καὶ περὶ τούτων γέγραπται. κόρυμβοι δὲ νῦν, οἱ βοτρυώδεις λέγονται καρποὶ τοῦ κισσοῦ. ὅτι δὲ καὶ ἐπὶ ἐξοχῆς ὀρεινῆς ἡ λέξις καλεῖται, δῆλον· φησὶ γὰρ Ἡρόδοτος, «οἱ μὲν ἔφυγον ἐπὶ τοῦ ὄρους τὸν κόρυμβον». τὸ δὲ παταγή, κοινότερον μὲν ὀξύνεται, ὡς τὸ ἀλαλαγή. ὁ δὲ Ἡρωδιανὸς βαρύνει αὐτό, λέγων ὅτι οὐκ ἐκ τοῦ πατάσσω γίνεται (ὀξύνετο γὰρ ἄν, ὡς τὸ ἀλαλαγή) ἀλλ' ἀπὸ τοῦ πάταγος· οὗ τὸ θηλυκόν, φησὶν, ἡ πατάγη. καὶ ταῦτα μὲν τοιαῦτα. φασὶ δὲ νῆσον ὠκεανίαν εἶναι μικράν, οὐ πάνυ πελαγίαν, ἣν οἰκοῦσι γυναῖκες Ἀμνιτῶν, Διονύσῳ κατεχόμεναι. οὐκ ἐπιβαίνει δὲ ἀνὴρ τῆς νήσου, ἀλλ' αὐταὶ πλέουσι περὶ τοὺς ἄνδρας, καὶ κοινωνοῦσαι αὐτοῖς ἐπανέρχονται. εἶτα συγκρίνων ῥητορικῶς ταύτας τὰ ἱερὰ περί· ἄλλα ὅμοια, φησὶν, οὐχ οὕτως οἱ Ἀψίνθιοι Θρᾷκες, οὐδ' οὕτως οἱ Ἰνδοὶ μελανδῖναι ἀνὰ ποταμὸν Γάγγην, κῶμον, ἤγουν κωμαστικὴν ἑορτήν, ἄγουσι τοῦ Διονύσου, ὡς αἱ νησιώτιδες αὗται γυναῖκες ἀναβάζουσι, τουτέστιν ὑμνοῦσι τὸν Εὔιον Διόνυσον, Εὐοῖ Εὐὰν ἀνακραυγάζουσαι. ταῦτα δὴ τὰ ἐπὶ Διονύσου ἐνθουσιαστικὰ ἐπιφωνήματα. λόγος γάρ, τὰς τῶν Ἀμνιτῶν γυναῖκας δι' ὅλης νυκτὸς ἐξελαυνομένας χορεύειν, ὥστε ἐν τούτῳ καὶ τοὺς Θρᾷκας εἴκειν αὐταῖς, καὶ τοὺς Ἰνδούς, καίτοι καὶ αὐτοὺς κατόχους ὄντας τοῦ Διονύσου, καὶ πάνυ ὀργιάζοντας αὐτῷ. ὁ δὲ Γεωγράφος καὶ ἱερὸν εἶναι λέγει [illegible] ταῖς γυναιξὶ τῶν Ἀμνιτῶν, ὅπερ κατ' ἐνιαυτὸν ἀποστεγάζουσι, αὐθημερὸν πάλιν πρὸ δύσεως ἡλίου στεγάζουσιν, ἑκάστης φορτίον ἐπιφερούσης· ὅπερ ἐὰν ἐκπέσῃ, διασπῶσι μανιωδῶς τὴν φέρουσαν. Ἰστέον δὲ ὅτι ἐννύχια τοῦ Διονύσου ἐτελεῖτο τὰ μυστήρια, πρὸς αἴνιγμα τοῦ δεῖν τοὺς πίνοντας ἐπικρύπτειν τὸν οἶνον, καὶ μὴ ἐς προὖπτον ἀσχημονεῖν κωμάζοντας· ἢ καὶ διὰ τὴν σπουδὴν τοῦ ταμιεύεσθαι τὸν οἶνον, καὶ κρύπτεσθαι, ὡς εἰς παλαίωσιν. διὸ καὶ οἰκουρὸς Διόνυσος ἐλέγετο. τὸ δὲ ἔθνος οἱ Ἀψίνθιοι ἀπὸ ποταμοῦ ἐοίκασι κεκλῆσθαι Ἀψίνθου. φησὶ γὰρ ὁ Διονύσιος, Θρήϊκος ἐπ' ᾐόσιν Ἀψίνθου. δίχῃ δὲ γράφεται, καὶ διὰ τοῦ υ, καὶ διὰ τοῦ ι· ὡς καὶ τὸ Ἀψίνθιον, τὸ φυτόν, καθά φασιν οἱ παλαιοί. τὸ δὲ

Κεῖθι γὰρ ὑστατίην ἀπερεύγεται εἰς ἅλα δίνην.
Τάων τοι [1] μέγεθος περιώσιον· οὐδέ τις ἄλλη
Νήσοις ἐν πάσῃσι Βρετανίσιν ἰσοφαρίζει.
Ἀγχι δὲ, νησιάδων ἕτερος πόρος, ἔνθα γυναῖκες
Ἀνδρῶν ἀντιπέρηθεν ἀγαυῶν Ἀμνιτάων
Ὀρνύμεναι τελέουσι κατὰ νόμον ἱερὰ Βάκχῳ,
Στεψάμεναι κισσοῖο μελαμφύλλοιο κορύμβοις,
Ἐννύχιαι· παταγῆς δὲ λιγύθροος ὄρνυται ἠχή.
Οὐχ οὕτω Θρήϊκος ἐπ' ἠόσιν Ἀψίνθοιο
Βιστονίδες καλέουσιν ἐρίβρομον Εἰραφιώτην,
Οὐδ' οὕτω σὺν παισὶ μελανδίνην ἀνὰ Γάγγην
Ἰνδοὶ κῶμον ἄγουσιν ἐριβρεμέτῃ Διονύσῳ,
Ὡς κεῖνον κατὰ χῶρον ἀνευάζουσι γυναῖκες.
Πολλὴν δὲ προτέρωσε ταμὼν ὁδὸν ὠκεανοῖο,
Νῆσόν κεν [2] Θούλην εὐεργεῖ νηῒ περήσαις·

Εὐοῖ Εὐάν, ἀναφωνήσεις ἦσαν, ὡς εἴρηται, εἰς τὸν Διόνυσον ὑμνητήριοι, περὶ ὧν μετ' ὀλίγον ἐν τοῖς περὶ Καμαριτῶν λόγοις ῥηθήσεται. ὁ δὲ Διόνυσος, Εἰραφιώτης μὲν καλεῖται· ἢ παρὰ τὸ ἐῤῥάφθαι ἐν τῷ μηρῷ τοῦ Διός, ἢ παρὰ τὸ ἔριν φαίνειν. πατὴρ γὰρ ἔριδος οἶνος ὑπὲρ μέτρον πινόμενος. ἐριβρεμόμενος δὲ καὶ ἐριβρεμέτης, ἢ διὰ τὰς τῶν μεθυόντων κραυγὰς (διὸ καὶ Βάκχος ὡς ἀπὸ τοῦ βάζειν λέγεται, προσληφθέντος τοῦ κ στοιχείου διὰ πλείονα τραχύτητα φωνῆς) ἢ διὰ τὸν βρόμον, ὃν ὁ γλευκάζων οἶνος ποιεῖ πιθυματούμενος καὶ ζέων. καὶ οὕτω μὲν ταῦτα. τὴν δὲ μεγίστην Βρετανικὴν νῆσον οἱ παλαιοὶ τρίγωνον ἱστοροῦσιν εἶναι τῷ σχήματι, εἰς ἣν διαίρων, ἤγουν διαπλέων, Καῖσαρ ὁ ἐπιλεγόμενος θεὸς, νύκτωρ ἀνήχθη, καὶ τῇ ὑστεραίᾳ κατῆρε περὶ τετάρτην ὥραν, τριακοσίους σταδίους διάπλουν τελέσας. δὶς δὲ, φασὶ, διαβὰς ἐκεῖ, ἐπανῆλθε διὰ ταχέων, οὐδὲν μέγα διαπραξάμενος, οὐδὲ προελθὼν ἐπὶ πολὺ τῆς νήσου, ἀλλὰ δύο μὲν ἢ τρεῖς νίκας νικήσας, ἀπολέσας δὲ πλοῖα πολλὰ, διὰ τὴν αὔξησιν τῶν ἐν τῷ ὠκεανῷ πλημμυρίδων καὶ τῶν ἀμπώτεων.

1. Ὅτι τὸ μέγεθος τῶν Βρετανίδων νήσων (ἃς ἄλλοι, ὡς προεῤῥέθη, διὰ τοῦ π Πρετανίδας καλοῦσι) οὐ μόνος ὁ Διονύσιος ἐνέφηνεν, ὡς ἀνωτέρω ἐῤῥέθη, ἀλλὰ δηλοῖ καὶ ὁ Πτολεμαῖος ἐν τῇ Γεωγραφικῇ ὑφηγήσει, λέγων ὅτι τῶν νήσων πρωτεύει ἡ Ἰνδικὴ Ταπροβάνη μεγέθει καὶ δόξῃ· μεθ' ἣν ἡ Βρετανική, τρίτη ἡ χρυσῆ Χερρόνησος, τετάρτη ἑτέρα Βρετανῶν ἡ Οὐερνία, πέμπτη Πελοπόννησος, Σικελία μετ' αὐτὴν ἕκτη, ἑβδόμη Σαρδὼ, ὀγδόη Κύρνος, Κρήτη ἐνάτη· ἐπὶ δὲ ταύταις ἡ Κύπρος, οὖσα δεκάτη, γίνεται τοῦ καταλόγου κορωνίς. καὶ Πτολεμαῖος μὲν οὕτως εἰς δεκάδα κορυφοῖ τὰς μεγίστας νήσους, συναριθμῶν αὐταῖς καὶ δύο χερρονήσους, ὡς ἄν, οἶμαι, τὴν δεκάδα σεμνύνῃ. ἕτεροι δὲ, ὡς καὶ ἄνω που ἐλαλήθη, εἰς ἑπτὰ συνάγουσιν αὐτὰς καὶ μόνας· γράφοντες οὕτως ἐμμέτρως,

Τῶν

Illic enim extremum eructat in mare verticem.
Harum ſane magnitudo immenſa: neque ulla alia
Inſulas inter omnes Britannicis æquatur [*æqualis eſt.*]
Juxta autem, parvarum inſularum alius tractus, quo uxores
Hominum ex ulteriore ora illuſtrium Amnitarum
Profectæ peragunt juxta ritum ſacra Baccho,
Redimitæ hederæ nigra folia habentis corymbis,
Nocturnæ: ſtrepitus autem tinnulus excitatur ſonitus.
Non ſic Thracii juxta ripas Abſinthii
Biſtonides [*Threiſſæ*] inclamant multifremum Iraphioten,
Neq; ſic cum liberis nigros habentem vortices circa Gangem
Indi commeſſationem agitant valde ſtrepero Dionyſo,
Sicut illo in loco evant [*clamant Evan*] mulieres.
Multam autem ulterius ubi ſecueris viam oceani,
In inſulam Thulen bene ædificata nave trajicies:

Τῶν ἑπτὰ νήσων, ἃς ἔδειξεν ἡ φύσις
Θνητοῖς μεγίστας, Σικελία μὲν, ὡς λόγος,
Πρώτη μεγίστη, δευτέρα Σαρδὼ, τρίτη
Κύρνος, τετάρτη δ' ἡ Διὸς Κρήτη τροφὸς,
Εὔβοια πέμπτη στενοφυὴς, ἕκτη Κύπρος,
Λέσβος δὲ τάξιν ἐσχάτην λαχοῦσ' ἔχει.

2. Ὅτι μετὰ τὰς Βρεττανίδας, πολὺ πρὸς τὰ βόρεια ἡ Θούλη νῆσος, ἧς πολὺς ὁ ἐκτοπισμός. ἀρκτικωτάτη γὰρ τῶν ὀνομαζομένων τίθεται. ἔνθα, φησὶν, ἤματα ὁμοῦ καὶ νύκτας ἀειφανὲς ἐκκέχυται πῦρ, ὁππότε καὶ ἠέλιος βεβήκοι ἐς πόλον ἄρκτων, ἐν Καρκίνῳ γινόμενος. ἀλλὰ τοῦτο μὲν ὑπερβολικὸν, τὸ ἀδιάδοχον ἐν τῷ τοιούτῳ καιρῷ εἶναι τὴν ἡμέραν ἐκεῖ. ἐκεῖνο δὲ καὶ ἐπὶ πλέον ἐκπίπτει ὑπερβολῆς, ὃ δή τινες ἱστορήκασι, τὸ τὸν μὲν θερινὸν ὅλον ὑπὲρ γῆς εἶναι αὐτόθι, τὸν δὲ χειμερινὸν ὑπὸ γῆν. ὡς ἐντεῦθεν τὸν ἐνιαυτὸν ἐν τῷ ἐκεῖ κλίματι μερίζεσθαι εἰς ἡμερονύκτιον ἕν, ἤγουν εἰς μίαν ἡμέραν, καὶ εἰς μίαν νύκτα· καθὰ καὶ Ἡρόδοτος, περὶ τῶν Κιμμερίων λέγων, φησὶ μὴ ἐνδέχεσθαι, ἀνθρώπους εἶναι οἳ τὴν ἑξάμηνον νύκτα καθεύδουσι. φασὶ δὲ ἄλλοι, ἐπὶ τὰς ἄρκτους ἐλθόντα τὸν ἥλιον ποιεῖν παρατείνειν τὴν ἡμέραν ἐκεῖ καὶ εἰς κ΄ [illegible]τελείας ὥρας, καὶ εἰς πλεῖόν τι, ὀλιγίστων [illegible]ρῶν ποιοῦντα τὴν νύκτα· χειμῶνος δὲ [illegible] ἀνάπαλιν. αἰτίαν δὲ λέγει ὁ Διονύσιος τοῦ ἐκεῖ ἀειφανοῦς φωτὸς, τὸ, λοξοτέρᾳ τηνικαῦτα τὸν ἥλιον ἐπιστρέφεσθαι στροφάλιγγι· τουτέστι τὸ, λοξότερον ἀναφέρεσθαι τὸν ἥλιον, καὶ δι' αὐτὸ ἐμφορδεύειν τοῖς ἄνω. τὸ δὲ ἑξῆς ἐπαγόμενον, τὸ, ἀκτίνων ἰθεῖαν ἐπὶ κλίσιν ἐρχομένων, ἀντὶ τοῦ, κατ' εὐθὺ τῆς νήσου φερομένων τοῦ ἡλίου, καὶ ἐς αὐτὴν οἷον ἀφορῶντος. καὶ ἔστι τὸ σχῆμα ῥητορικὸν ἀντίθετον, ἀντιτεθέντος τοῦ λοξοῦ τῇ εὐθύτητι· ὡς ἐὰν εἴποι ὅτι λοξοτέρου μὲν ἄλλως φύσει τοῦ ἡλίου, κατ' εὐθὺ δὲ ὅμως τηνικαῦτα ὄντος τῇ νήσῳ. ποιεῖ δὲ, φησὶ, τοῦτο ὁ ἥλιος, ἕως ἐπὶ κυανέους ἄνδρας νοτίαν ὁδὸν αὖθις ἐλάσῃ. τουτέστιν, ἐπιμήκης ἡ ἡμέρα

Ενθα μὲν ἠελίοιο βεβηκότος ἐς πόλον ἄρκτων,
Ημαθ᾽ ὁμοῦ καὶ νύκτας ἀειφανὲς ἐκκέχυται πῦρ.
Λοξοτέρη γὰρ τῆμος ἐπιστρέφεται στροφάλιγγι,
Ακτίνων ἰθεῖαν ἐπὶ κλίσιν ἐρχομενάων,
Μέσφ᾽ ἐπὶ κυανέους νοτίην ὁδὸν αὖτις ἐλάσσῃ.
Αλλ᾽ ὁπόταν Σκυθικοῖο βαθὺν ῥόον ὠκεανοῖο
Νηῒ τάμῃς, προτέρω δὲ πρὸς ἠώην ἅλα κάμψῃς,
Χρυσείην τοι [1] νῆσον ἄγει πόρος, ἔνθα καὶ αὐτοῦ
Αντολίη καθαροῖο φαείνεται ἠελίοιο.
Κεῖθεν δὲ στρεφθεὶς νοτίης [2] προτέροιθε κολώνης,
Αἶψά κε [3] Κωλιάδος μεγάλην ἐπὶ νῆσον ἵκοιο,
Μητέρα Ταπροβάνην Ἀσιηγενέων ἐλεφάντων·
Ης ὕπερ οὐρανίῃσιν ἀειρόμενος στροφάδεσσι
Δινεῖται κατὰ κύκλον ἐν αἰθέρι Καρκίνος αἴθων.
Αὐτὴ δ᾽ εὐρυτάτη οὐ μέγεθος πέλει· ἀμφὶ δὲ πάντῃ

ἡμέρα γίνεται τοῖς περὶ τὸν βόρειον πόλον, ἕως εἰς τὸ ἀντικείμενον τόπον ἡμικύκλιον ἢ ἡμισφαίριον τράπῃ ὁ ἥλιος. τούτους γὰρ λέγεσθαί φασι κυανέους, δηλονότι τοὺς πρὸς τῷ νοτίῳ μέρει Αἰθίοπας· οἷς οὓς καὶ ὁ Ζεὺς ἥλιος ἀποδημεῖν ποτε παρὰ τῷ Ποιητῇ πλάττεται. τὸ δὲ, ἐς πόλον ἄρκτων, ἀντὶ τοῦ, περὶ τὸν ἀρκτῷον πόλον, ἤγουν κύκλον τοῦ οὐρανοῦ, περὶ ὃν αἱ δύο ἄρκτοι εἱλοῦνται.

1. Ὅτι πρὸς τοῖς Ἑῴοις τοῦ ὠκεανοῦ ἐστιν ἡ Χρυσῆ νῆσος, λεγομένη οὕτως, ἢ διὰ τὸ χρυσὸν φέρειν, κατά τινας· ἢ, κατὰ τὸν Διονύσιον, διότι ἀνατολαὶ καθαροῦ φαίνονται ἠελίοιο. καὶ οὕτω διὰ τὸ καθαρὸν τῆς φαύσεως, χρυσοῦς εἶναί πως δοκεῖ ὁ ἥλιος, οὐ μὴν σκυθρωπὸς, καθὰ παρὰ Σκύθαις, διὰ τὴν τοῦ Κρονίου πόντου σκωνίφειαν. καὶ διὰ τοῦτο Χρυσῆ λέγεται καὶ ἡ ὑπ᾽ αὐτῷ λαμπομένη αὕτη νῆσος.

2. Ὅτι ἡ Ταπροβάνη, ποτὲ Σαλικὴ ὀνομασθεῖσα, νῆσός ἐστι πελαγία, οὐκ ἐλάττων τῆς Βρετανικῆς, κατὰ τὴν ἱστορίαν, τετράπλευρος, θηρονόμος, πεπληθυῖα εὐγενῶν ἐλεφάντων, ὥς φησιν Ἀλέξανδρος ὁ καὶ Λύχνος ἐπιλεγόμενος. ταύτην τὴν νῆσον ὁ Διονύσιος μητέρα φησὶν ἐλεφάντων Ἀσιηγενῶν. λέγει δὲ αὐτὴν καὶ Κωλιάδος νῆσον μεγάλην. ὅ ἐστιν Ἀφροδίτης, ὁποία καὶ ἡ Κύπρος· διὰ τὸ καὶ τοὺς ἐν τῇ Ταπροβάνῃ ἀνθρώπους γυναικείῳ κόσμῳ φαιδρύνεσθαι, ἄλλως τε καὶ εἰς Ἀφροδίτην θρυπτομένους, ἔτι δὲ καὶ ἐμπλεκομένους τὰς τρίχας. ἱστορεῖ δὲ καὶ τὸν Καρκίνον τὸ θηρεῖον ζώδιον ὑπὲρ αὐτῆς δινεῖσθαι τῆς νήσου, οὐρανίαις ἀειρόμενον στροφάδεσσιν, ὡς τοῦ ἐκεῖ κλίματος ὑπὸ τὸν Καρκίνον κειμένου. Πτολεμαῖος μέντοι τὸν Κριὸν τὸ ζώδιον ὑπὲρ αὐτῆς εἱλεῖσθαί φησι. Σημείωσαι δὲ ὅτι κατὰ λόγον δριμύτητος, ἤτοι γλυκύτητος, στροφάδας οὗτος νῦν εἶπε τὰς τοῦ ἀστέρος τοῦ Καρκίνου κατ᾽ οὐρανὸν στροφάλιγγας καὶ κινήσεις. ἡ δὲ κοινὴ χρῆσις ὄνομα νήσων ἔχει τὰς Στροφάδας περὶ τὸ Σικελικὸν κειμένας πέλαγος. Κωλιὰς δὲ ἡ Ἀφροδίτη, ἢ ἀπὸ

τόπου

Ubi quidem ſole progreſſo ad polum urſarum,
Interdiu ſimul ac noctu ſemper conſpicuum effunditur lumen.
Obliquiore namque tunc verſatur converſione,
Radiis directam ad inclinationem venientibus,
Donec ad atros auſtralem viam rurſus confecerit.
Verum quum Scythici profundum gurgitem oceani
Navi ſulcaveris, atque ulterius ad mare Eoum deflexeris,
Auream tibi inſulam adducit tractus [*via,*] ubi etiam ipſius
Ortus puri cernitur ſolis.
Inde autem converſus auſtrale ante promontorium,
Illico Coliadis [*Veneris*] magnam ad inſulam pervenies,
Matrem Taprobanam in Aſia genitorum elephantorum:
Quam ſupra cœleſtibus ſublatus converſionibus
Verſatur in orbem in æthere Cancer ardens.
Ipſa autem ampliſſima, quoad magnitudinem: circa eam au-[tem undique

τόπου Ἀττικοῦ, ὅπου τὰ Περσικὰ συνέπεσον ναυάγια, περὶ οὗ χρησμὸς τοιοῦτος ἐξέπεσε,

— Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖς
φρίξουσιν. —

ὁ δὲ τοιοῦτος Ἀττικὸς τόπος ὅμοιός ἐστι, φασὶν, ἀνθρώπου κώλῳ δηλαδὴ τῷ κατὰ τοὺς πόδας, ἐκκείμενος εἰς θάλασσαν, ἔχων Ἀφροδίτης ἱερὸν, Κωλιάδος καλουμένης ἐκ τῆς τόπου ὁμοιότητος. ἕτεροι δὲ Κωλιάδα φασὶ κληθῆναι ἀπὸ τόπου εἰς ὃν ζώου κωλῆν ἀπέθετο ὄρνις, ἔκ τινος θυσίας ἁρπάσας. μέρος δὲ ποδὸς ἐμπροσθίου ἡ κωλῆ. καὶ περισπᾶται ἀπὸ συναιρέσεως, ἀστραγαλέα, γαλῆ, οὕτω καὶ κωλέα, κωλῆ. οἱ δέ φασιν ὅτι Ἀθηναίας ἐλῄσαντό ποτε οἱ Τυῤῥηνοὶ, μεγάλα συνιστῶντες πειρατήρια. γυνὴ δὲ Τυῤῥηνὶς, διατεθεῖσα φιλίως περί τινα τῶν Ἀττικῶν αἰχμαλώτων, ἀφῆκε λύσασα. ὁ δὲ ἵδρυσε φυγὼν Κωλιάδος Ἀφροδίτης ἱερὸν, ὡς δι᾽ αὐτὴν τὰ κῶλα λυθείς. αἴθωνα δὲ τὸν Καρκίνον προσεῖπεν, ἀντὶ τοῦ καυστοποιὸν, διὰ τὴν θερμότητα ἣν ὁ ἀὴρ πάσχει, ὄντος ἡλίου ἐν τῷ τοιούτῳ θερινῷ ζῳδίῳ.

3. Ὅτι κεῖται καὶ ἐνταῦθα παρήχησις χαριέστερος, ὁποῖαι πολλαὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν εἴρηνται. ἔστι δὲ τοιαύτη, στριφθεὶς νοτίης προπάροιθε κηλώνης, αἶψά κε Κωλιάδα ἐπὶ νῆσον ἵκοιο. παρηχ[illegible]ται γάρ πως ἡ κηλώνη καὶ ἡ Κωλιάς. [illegible] δὲ οὐδὲ τοῦτο παρήχησις, ἀλλ᾽ οὕτω παρατυχὸν συνέπεσεν, οὐ περιεργασαμένου τοῦ ποιητοῦ.

4. Ὅτι εὐρυτάτη τὸ μέγεθος ἡ Ταπροβάνη. φησὶν οὖν καὶ ὁ Γεωγράφος, Ταπροβάνη, πελαγία νῆσος, μεγάλη, πολὺ τῆς ἠπείρου διέχουσα. ἔχει δὲ, κατὰ τὸν Διονύσιον, καὶ κήτη πολλὰ ὄρεσιν ἠλιβάτοις ἐοικότα, οἷς ὑπὲρ ἄκρων νώτων τέτρηχεν, ὅ ἐστι τετράχυνται, μήκιστος ὀλκὸς ἀκάνθης. ὧν καὶ τὰ στόματα λυγρὰ λέγει, καὶ χάσματα οὕτω μέγα φησὶν αὐτοῖς εἶναι, ὡς πολλάκις καὶ νῆα σὺν αὐτοῖς ἀνδράσιν ὑφ᾽ ἓν καταβρῶξαι, ὅ ἐστι καταβροχθίσαι, καταπιεῖν. ὀνοματοπεποίηται δὲ τὸ καταβρῶξαι, ὡς ἀπὸ τοῦ βρόχου ῥήματος. καὶ ἀπ᾽ αὐτοῦ

ἐστι

Κήτεα θῖνες ἔχουσιν, Ερυθραίου βοτὰ πόντου,
Οὔρεσιν ἠλιβάτοισιν ἐοικότα· τῶν δ᾽ ὑπὲρ ἄκρων
Τέτρηχεν [1] νώτων περιμήκετος [2] ὁλκὸς ἀκάνθης.
Δυσμενέων τοι παῖδες, ἑλισσόμενοι περὶ πόντον,
Κείνοις ἀντιάσειαν ἀλώμενοι. οὐ γὰρ ἐρωὴ
Λυγροῖς ἐν στομάτεσσιν· ἐπεὶ μέγα χάσμα τέτυκται.
Πολλάκι δ᾽ ἂν καὶ νῆα σὺν αὐτοῖς ἀνδράσι νηὸς
Κεῖνα καταβρώξειε πελώρια. [3] τοῖς γὰρ ἀλιτροῖς
Εἰν ἁλὶ καὶ γαίῃ κακὰ θήκατο μυρία δαίμων.
Εστι δέ τοι προτέρω, [4] Καρμανίδος ἔκτοθεν ἄκρης,
Ωγυρις· ἔνθα τε τύμβος Ερυθραίου βασιλῆος.
Εκ τοῦ δ᾽ ἂν περάσειας ἐπὶ στόμα Περσίδος ἅλμης,
Ορμηθεὶς βορέηνδε, [5] καὶ Ικαρον εἰσαφίκοιο·
Ικαρον εἰναλίην, ὅθι Ταυροπόλοιο θεοῖο
Βωμοὶ κνισσήεντες ἀθέσφατον καπνὸν ἔχουσι.
Τόσσας [6] μὲν νήσους ἐπέχει ῥόος ὠκεανοῖο
Εὐρυτέρας· ἕτεραι δέ τ᾽ ἀπειρέσιαι γεγάασιν.

ἐστὶ καὶ ὁ βρόχθος, καὶ τὸ καταβροχθίζω ῥῆμα. λέγει δὲ τὰ τοιαῦτα κήτη, καὶ τέρατα καὶ βοτὰ πόντου Ερυθραίου, ἐν ᾧ καὶ ἡ νῆσος κεῖται. μεγεθύνας δὲ αὐτὰ τῷ λόγῳ, ἐπάγει πάνυ ἐνδιαθέτ[illegible] ὡς οἷα φοβερὸν παθών, ὅτι δυσμ[illegible] παῖδες ἐκείνοις ἀντιάσειαν, ὅ ἐστιν, ἐχθροὶ ἄνδρες, πλανώμενοι περὶ θάλασσαν ἐντύχοιεν αὐτοῖς. τούτου δὲ τοῦ σχήματος τῷ ἀνάπαλιν χρήσεται, ὅτε περὶ τῶν Μασσαγετῶν εἴπῃ, ὅτι μήτ᾽ αὐτὸς ἐγώ, μήθ᾽ ὅστις ἑταῖρος αὐτοῖς ἐμπελάσοι· μάλα γὰρ κακόξεινοι. ἔμπαλιν γὰρ ἐσχημάτισται τοῦτο πρὸς ἐκεῖνο. εἰ γὰρ καὶ ἄμφω ἐνδιαθέτως ἔχουσιν, ἀλλ᾽ ὅμως διαφέρουσι· καθότι ἐνταῦθα μὲν ἐχθροῖς ἐπαρώμενος ἀπώλειαν, καταντᾷ σιωπηρῶς εἰς τὸ ὑπὲρ φίλων ἀποδέχεσθαι· (φησὶ γάρ, δυσμενεῖς ἐμπελάσειαν αὐτοῖς· φίλοι δὲ δηλαδή, οὔ.) ἐν δὲ τῷ περὶ Μασσαγετῶν, ἀνάπαλιν τὰ ὑπὲρ φίλων ἀποδεξάμενος, εἰς ἐχθροὺς ἀφορᾷ κατευχόμενος. λέγει γάρ, μήτ᾽ ἐγώ, μήτε τις τῶν ἐμῶν ἐμπελάσοι τοῖς Μασσαγέταις, ἀλλ᾽ ἐχθρὸς δηλονότι ἐμπελάσοι αὐτοῖς.

1. Σημείωσαι δὲ ὅτι οὗτος μὲν τὸ τέτρηχεν, ἀντὶ τοῦ τετράχυνται, εἶπε· παρ᾽ Ομήρῳ δὲ ἡ λέξις ἐπὶ τοῦ τεταράχθαι κεῖται, ἐν τῷ, Τετρήχει δ᾽ ἀγορή.

2. Ορα δὲ ὅτι ὁλκὸν ἀκάνθης εἶπεν. ὥστε πολυσήμαντον ὁ ὁλκός, ὡς καὶ πρὸ μικροῦ ἐφάνη. ἄκανθαν δὲ λέγει οὐ τὸ τοῦ κήτους ὀστοῦν, τὸ ἀναλογοῦν ῥάχει, ὃ κυριολεκτεῖται καὶ ἐπὶ ἰχθύων καὶ ὄφεων· ἀλλὰ νῦν ἀκάνθας ἐστὶ νοῆσαι τὰ ἐπιφαινόμενα ἔξω περὶ τὴν ῥάχιν κέντρα, καὶ ἐπανεστηκότα ὡς ἐν φραγμῷ αἱμασιᾶς.

3. Τοῖς γὰρ ἀλιτροῖς ἐν ἁλὶ καὶ γαίῃ κακὰ μυρία θήκατο θεός· ἤγουν, παιδαγωγοῦ κακὰ τοῖς κακοῖς. εἴπομεν δὲ καὶ ἀνωτέρω ὅτι πίνεται γνωμῶν οὗτος ὁ ποιητής, κατὰ τὸ κοινὸν ἔθος· ὀλίγον

γὰρ

Cete littora habent, Erythræi [*rubri*] pecora maris,
Montibus altiſſimis ſimilia : ſuper horum autem ſumma
Inhorreſcit dorſa prælongus tractus ſpinæ.
Hoſtium utique filii, agitati per mare,
Illis occurrant errantes. non enim effugium
Exitioſis in faucibus : ſiquidem ingens rictus [*hiatus*] exiſtit.
Sæpenumero autem etiam navem cum ipſis hominibus navis
Illa abſorbuerint monſtra. etenim ſceleratis
In mari & terra mala infinita conſtituit deus.
Eſt autem tibi ulterius, Carmaniæ extra promontorium,
Ogyris : ubi tumulus Erythræi regis.
Ex hac autem trajicies ad fauces Perſici ſali,
Proficiſcens boream verſus, atque Icarum pervenies ;
Icarum maritimam, ubi ſub Tauropolæ deæ [*Dianæ*]
Aræ nidore abundantes acerbum fumum habent.
Tot quidem inſulas obtinet gurges oceani
Majores : aliæ autem innumeræ ſunt.

χάριν αὐτῶν μέλει τοῖς τοπογράφοις.

4. Ὅτι ἐν τῇ Καρμανίδι ἄκρᾳ νῆσος ἡ Ὤγυρις, καὶ ὅτι περὶ αὐτὴν τύμβος Ἐρυθραίου βασιλέως· ὃν ἄλλοι Ἐρύθραν φασὶ, γράφοντες,

Ἀγχίβαθης δ' ἄρα νῆσος ἁλὸς κατὰ
βένθος ἐρυθρῆς
Ὤγυρις· ἔνθα δὲ τύμβος ἁλὸς μεδέοντος Ἐρύθρα
Κέκλιται. ——

ἐξ αὐτοῦ δὲ καὶ ἡ θάλασσα κληθῆναι δοκεῖ, ὡς προεγράφη. οἱ δὲ, κατὰ ἐπίθετον ἐθνικὸν, Ἐρυθραῖον βασιλέα τὸν Δηριάδην νοοῦσιν αὐτόθι τεθαμμένον, οὗ καὶ περὶ τούτων ἐμνήσθημεν· ὃς Ἐρυθραῖος μὲν ἦν τῷ γένει, χρόνῳ δ' ὕστερον εἰς Ἰνδοὺς ἐλθὼν ἀντέστη λαμπρῶς τῷ τοῦ Διὸς Διονύσῳ, στρατευσαμένῳ κατὰ τῶν Ἰνδῶν. ἡ δὲ Καρμανὶς Περσῶν ἐστιν ἐμπόριον.

5. Ὅτι περὶ τὴν Περσίδα θάλασσαν βορεία νῆσος ἡ Ἴκαρος, ὁμώνυμος τῇ περὶ τὸ Αἰγαῖον πέλαγος· ἣν καὶ ἐπαναλαμβάνει διὰ τὸ ἔνδοξον. τιμᾶται δὲ ἐν αὐτῇ πολυτελῶς ταυροπόλος Ἀπόλλων, ἢ Ἄρτεμις. ἄλλοι δέ φασιν ὅτι ὁ Περσικὸς κόλπος μικρόν τι ἐλάττων Εὐξείνου ἐστὶν, ἐν ᾧ Ἴκαρός τε νῆσος καὶ Τύρος καὶ Ἄραδος, ὁμώνυμοι ταῖς Φοινικαῖς. Ἰστέον δὲ ὅτι τὴν περὶ τὸ Αἰγαῖον πέλαγος ὁ Γεωγράφος τετρασυλλάβως Ἰκαρίαν λέγει, δοξάζων ἀπὸ τοῦ τοιούτου νησίου καὶ τὸ Ἰκάριον καλεῖσθαι πέλαγος· λέγων ὅτι καὶ ἔρημόν ἐστιν αὐτὴ νησίον, νομὰς ἔχον αἷς χρῶνται οἱ Σάμιοι.

6. Ὅτι καὶ τὰς περὶ ὠκεανὸν νήσους, ὥσπερ καὶ τὰς ἄλλας, καθὰ προείρηται, παχυμερῶς ἐπιτρέχει, τὰς ἐπιφανεστέρας μόνας λέγων αὐτούς. φησὶ γοῦν, τόσσαι μὲν εὐρύτεραι, ἄλλαι δὲ ἀπειρέσιαι, αἱ μὲν ὧδε, αἱ δὲ ἐκεῖ, καὶ ἄλλαι ἄλλοθι, αἱ μὲν ὑπ' ἀνδρῶν οἰκούμεναι, καὶ ἀγαθὸν ὅρμον ἔχουσαι, αἱ δὲ βαθύκρημνοι, καὶ ὁ

Αἱ μὲν ἐπὶ προχοῇσι Λιβυστίδος ἀμφιτρίτης,
Αἱ δ' Ἀσίης, αἱ δ' αὖτε περὶ κλίσιν Εὐρωπείης.
Ἄλλαι δ' ἄλλοθι νῆσοι ἀπείρητοι· αἱ μὲν, ὑπ' ἀνδρῶν
Ναιόμεναι, καὶ νηυσὶν ἐπήρατον ὅρμον ἔχουσαι·
Αἱ δὲ, βαθύκρημνοί τε καὶ οὐ ναύτῃσιν ἑτοῖμαι.
Τῶν οὐ ῥηΐδιόν μοι ἐνισπεῖν οὔνομα πασέων.
Σχῆμα δέ τοι [1] Ἀσίης, [2] ῥυσμὸς πέλει ἀμφοτεράων
Ἠπείρων, ἑτέρωθεν ἀλίγκιον εἴδεϊ κώνου,
Ἑλκόμενον κατὰ βαιὸν ἐπ' ἀντολίης μυχὰ πάσης.
Ἔνθα τε καὶ [3] στῆλαι Θηβαιγενέος Διονύσου
Ἑστᾶσιν, πυμάτοιο παρὰ ῥόον ὠκεανοῖο,
Ἰνδῶν ὑστατίοισιν ἐν οὔρεσιν· [4] ἔνθα τε Γάγγης


ναύταις ἑτοῖμαι· ὧν οὐδὲ ῥάδιόν φησιν αὐτῷ εἰπεῖν ὄνομα πασῶν.

1. Ὅτι Ἀσία ἡ χώρα ὠνόμασται ἀπὸ Ἀσίου τοῦ Ἄτυος, ὡς καὶ ἐν τῷ περὶ Εὐρώπης λόγῳ εἴρηται· ἢ ἀπὸ Ἀσίας μητρὸς Προμηθέως, ὡς καὶ Λυκόφρων βούλεται· ἢ διότι πολλὰ ἐξ ὑδάτων τέλματα ἔχει, καὶ διὰ τοῦτο ἰλυώδης τυγχάνει. ἄσις γὰρ ἡ ἰλὺς, ὡς καὶ παρ' Ὁμήρῳ. τινὲς δὲ καὶ τὴν Ἀττικὴν ἱστοροῦσιν Ἀσίδα κληθῆναί ποτε. οἱ δὲ φασιν ὅτι Ἀσιός τις φιλόσοφος τελεστὴς δέδωκε τῷ Τρωσὶ πρὸς φυλακὴν τῆς Τροίας, Παλλάδιον ἀπὸ ξύλου τετελεσμένον, ἤτοι κατακηλητευμένον. ὁ δὲ, εἰς τιμὴν ἐκείνου τοῦ ἀνδρὸς, τὴν ὑπ' αὐτοῦ χώραν, Ἤπειρον καλουμένην τοπρὶν, Ἀσίαν μετωνόμασεν. ἐξ αὐτῆς δὲ, ὡς ἀξιολόγου μέρους, καὶ ἡ λοιπὴ χώρα μετέσχε τῆς αὐτῆς κλήσεως. ἔχουσι δὲ αἱ ἱστορίαι ὥσπερ Λιβύην κόμμα τι τῆς Λιβύης χώρας, καθὰ προλέλεκται, οὕτω καὶ μέρος τι τῆς ὅλης Ἀσίας, οὕτως ἰδίως Ἀσίαν καλούμενον, ὁμωνύμως τῇ ὅλῃ ἠπείρῳ. καλεῖται γὰρ, φασιν, Ἀσία ἡ ἐντὸς τοῦ Ταύρου περιέχουσα Λυδοὺς, Κᾶρας, Λυκίους, Παφλαγόνας, Ἴωνας, Αἰολεῖς, καὶ ἄλλους. οἱ δὲ φασιν ὅτι ἐστὶν ἰσθμὸς ὁ ἐπὶ Ἀμισὸν καὶ Θεμισκύραν, καὶ ἡ ἐντὸς τῆς γραμμῆς ταύτης χώρα ἰδίως Ἀσία λέγεται. οἱ δὲ φασιν ὅτι Ἀσία πόλις Λυδίας παρὰ Τμώλῳ τῷ ὄρει, ἐν ᾗ τρίχορδος κιθάρα εὑρέθη, καὶ ἀπὸ ταύτης ἡ χώρα καλεῖται. ἢ ἀπὸ Ἀσίου τινὸς Λυδοῦ, ἐξ οὗ ὁ Ἀσίας λειμὼν, ὡς τὸ κοχλίας· ὡς καὶ Ὅμηρος, Ἀσίῳ ἐν λειμῶνι· οὐ κατὰ δοτικὴν τοῦ Ἀσιανοῦ, ἀλλὰ κατὰ γενικὴν, Ἀσίου κοινῶς, ὡς κοχλίου· καὶ Ἰωνικῶς Ἀσίω (ὡς καὶ παρὰ Ἡροδότῳ εὕρηται) καὶ συγκοπῇ, Ἀσίω· ὡς Ἑρμείεω, Ἑρμείω, καὶ εὐμελίω Πριάμου.

2. Ὅτι ὁ τῆς Λιβύης καὶ Εὐρώπης ὁμοῦ τῶν δύο ῥυσμὸς, ὅ ἐστιν ἑλκυσμὸς καὶ ἔκτασις, ὁ καὶ εἰς κῶνον, ὡς προείρηται, συντελούμενος, σχῆμά ἐστι τῆς Ἀσίας, κώνου δηλαδὴ καταμόνας οὔσης καὶ αὐτῆς ἐπέρωζεν, οὗ τὸ πλατὺ προσηνῶται τῷ τῆς Εὐρώπης καὶ τῆς Λιβύης ἴχνει· ὡς τὴν μὲν βάσιν ἐκείνου τε καὶ τούτου τοῦ κώνου κοινὴν εἶναι, τὸ δὲ ὀξὺ τούτου πλουτᾷν ἐπὶ ἀνατολῆς μυχὸν πάσης, ὅ ἐστι πρὸς τὸν ἑῷον ὠκεανὸν καὶ τὰς ἐκεῖ τοῦ Διονυσίου στήλας· ὥσπερ τὸ τοῦ ἑτέρου κώνου ὁμοίως ἀποξυνόμενον περματοῦται πρὸς τὰ κατὰ δύσιν Γάδειρα, καὶ τὰς τοῦ Ἡρακλέος στήλας. διὸ καὶ ἐξ ἀρχῆς ἐρρέθη

σφιν-

pag. 115.



ASIÆ TABULA ANTIQUA DIONYSIO et EUSTATHIO accommodata
Egregio Juveni Marco Thurston è Coll. Univ. Oxon.
Scythia
Sarmatia
Tochari
Sacæ
Sogdiana
Massagetæ
Phruri
Seres
Mare Caspium seu Hyrcanium
Jaxartes fl.
Pontus Euxinus
Albani
Asia Minor
Mare Ægæum
Mare Mediterraneum
Libyæ seu Africæ Pars
Nilus
Tapyri
Chorasmij
Media
Asia Major
Persia
Gedrosi
Carmania
Arachotæ
Arabia Deserta
Saraceni
Arabia felix
Chatramitæ
Thurifera Regio
Sinus Arabicus
Sinus Persicus
Erythræum Mare
Indi
India extra Gangem
India intra Gangem
Gangetica Regio
Nyssæa Regio
Mare Eoum seu Indicum
Taprobana I

Partim quidem in fluentis Libyci maris,
Partim vero Aſiæ, quædam etiam circa plagam Europæ.
Aliæ autem alibi inſulæ infinitæ; partim ab hominibus
Habitatæ, atque navibus optabilem ſtationem habentes;
Partim alta habentes præcipitia, & minime nautis opportunæ.
Quarum non facile mihi referre nomen omnium.
Porro figura Aſiæ, tractus eſt ambarum
Continentium, ab altera parte ſimilis imagini coni,
Quæ porrigitur paullatim ad orientis receſſum totius.
Ubi etiam columnæ Thebis geniti Dionyſi
Stant, extremi juxta gurgitem oceani,
Indorum ultimis in montibus: ubi Ganges

σφενδόνῃ ἐοικέναι τὴν γῆν, ἧς τὸ ὀξὺ ἀμφοτέρωσε πρὸς τὰς τοῦ ἡλίου κελεύθους. διαφορὰν δὲ τοῖς ῥηθεῖσι δυσὶ κώνοις ἐρεῖ, κατά τε τὸ ἐν μεγέθει ποσὸν (μείζων γὰρ κατὰ πολὺ ὁ τῆς Ἀσίας κῶνος) καὶ κατὰ τὸ εἶδος· ἐπειδὴ ἐκεῖ μὲν εἷς πόντος ἀπείργετος τῇ Εὐρώπῃ καὶ τῇ Λιβύῃ μεσολαβεῖται, ὁ ἐκ τοῦ ἑσπερίου ὠκεανοῦ, ὃς καὶ τῆς Ἀσίας ἐφ' ἱκανὸν περισχίζεται· ἐν δὲ τῇ Ἀσίᾳ πολύς, φησίν, ὠκεανός, καὶ οὐ μόνος εἷς πόντος. τρεῖς γάρ, φησί, κόλπους κυμαίνοντας ἐρεύγεται εἴσω βάλλων, Περσικόν, Ὑρκάνιόν τε, καὶ Ἀράβιον βαθυδίνην. ἐν δὲ τῷ τόπῳ τούτῳ καὶ ἐπαναστρέψει χρᾶται, κατὰ τὸ σχῆμα τὸ λεγόμενον ἐπαναστροφή· λέγων οὕτως, τοὺς δύο νοτίους, τὸν δ' εἰς βορέην ὁρόωντα, ἐς βορέην ὁρόωντα καὶ ἐς Λίβα. λέγει δὲ τὸν Ὑρκάνιον ὃν καί, ὡς βόρειον, γείτονα τοῦ Εὐξείνου πόντου φησίν. ἔστι δὲ τὸ ῥηθὲν σχῆμα τῆς ἀναστροφῆς ὅμοιον τῷ Ὁμηρικῷ, τῷ,

Τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν·
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

3. Ὅτι καὶ ἄλλο τι ἐστὶ κοινὸν ἀμφοτέροις τοῖς ῥηθεῖσι κώνοις. ὥσπερ γὰρ ἐν Γαδείροις περὶ τὸ ἑσπέριον ὀξὺ τοῦ κώνου Ἡράκλειαι ἑστᾶσι στῆλαι, οὕτω καὶ ἐν Ἰνδίᾳ, πύματον περὶ ῥόον ὠκεανοῖο, Ἰνδῶν ἐσχατίοις ἐν οὔρεσι, στῆλαι Θηβαίου Διονύσου, ἐλθόντος μέχρι καὶ ἐκεῖ, ὅτε καὶ ὑφ' ἑαυτῷ τὴν χώραν ἐποίησεν, ὡς καὶ ἐν τῷ πλάτει λεχθήσεται τῆς περιηγήσεως. καὶ ἅμα ὅπως ἐξ Ἑλλάδος ἦσαν, κατὰ ταύτας, οἱ τὴν γῆν περιεληλυθότες ἕως τερμόνων· ὁ Ἡρακλῆς τε δηλονότι, καὶ ὁ Διόνυσος. καὶ ἔστι τοῦτο οὐ μόνον Ἑλλάδος, ἀλλὰ καὶ Θηβῶν μάλιστα ἐγκώμιον. ἐκεῖθεν γὰρ ὁ τοιοῦτος Διόνυσός τε καὶ Ἡρακλῆς. καίτοι πολλοὺς ἄλλους τινὰς βουλομένους τοῦτο ποιῆσαι, καὶ οὐ τοὺς Ἑλλαδικούς, Ἡρακλῆ τε καὶ Διόνυσον.

4. Ὅτι ἐν οἷς λέγει ὡς ὁ Γάγγης ὁ Ἰνδικὸς ποταμὸς λευκὸν ὕδωρ Νυσαῖον ἐπὶ πλαταμῶνα κυλίει, οὐ κυρίως ἔοικε χρῆσθαι τῇ λέξει, ἀλλ' ἁπλῶς ἐπὶ γῆς πλάτους λέγει τὸν πλαταμῶνα. κυρίως δὲ ὁ πλαταμὼν ἐπὶ θαλάσσης λέγεσθαι εἴωθεν, ἐχούσης καὶ πέτρας ὑποκειμένας. τάχα δὲ τοιοῦτός ἐστι καὶ ὁ τόπος δι' οὗ ῥεῖ ὁ Γάγγης. Νῦσαι δέ, φασι, διάφοροι, Αἰθιοπική, Ἀραβική, Εὐβοϊκή, περὶ ἣν λέγεται καὶ τὸ τῆς ἀμπέλου τεράστιον, βότρυν ἐκφερούσης καθημέριον. εἰσὶ δὲ καὶ ἄλλαι Νῦσαι, ὡς οἱ τὰ ἐθνικὰ γράψαν-

Λευκὸν ὕδωρ Νυσαῖον ἐπὶ πλαταμῶνα κυλίνδει.
Ἀλλ᾽ οὐκ ἂν τόσον μέγεθος πέλοι Ἀσίδος αἴης,
Οὐδ᾽ ἄπαν εἶδος ἔοικεν ἀλίγκιον· ἐν γὰρ ἐκείναις
Ἠπείροις εἷς πόντος ἀπείριτος ἡγεμονεύει·
Ἐν δ᾽ Ἀσίῃ πολὺς ὠκεανός. τρισσοὺς γὰρ ἑλίσσων
Κόλπους κυμαίνοντας ἐρεύγεται ἔνδοθι βάλλων,
Περσικὸν, Ὑρκάνιόν τε, καὶ Ἀῤῥάβιον βαθυδίνην·
Τοὺς δύο μὲν, νοτίους· τὸν δ᾽ ἐς βορέην ὁρόωντα,
Ἐς βορέην ὁρόωντα, καὶ ἐς λίβα γείτονα πόντου
Εὐξείνου· τόθι φῶτες ἀπείριτοι ἀμφινέμονται.
Μέσσον [1] δ᾽ ἀμφοτέρων χθονὸς ἄσπετος ἰσθμὸς ὀρίζει,
Τῇ καὶ τῇ μακροῖσι τιταινόμενος πεδίοισι.
Μέσσα γε μὴν [2] πάσης Ἀσίης ὄρος ἀμφιβέβηκεν,
Ἀρξάμενον γαίης Παμφυλίδος, ἄχρι καὶ Ἰνδῶν·
Ἄλλοτε μὲν λοξόν τε καὶ ἀγκύλον, ἄλλοτε δ᾽ αὖτε
Ἴχνεσιν ὀρθότερον· Ταῦρον δέ ἑ κικλήσκουσιν,
Οὕνεκα ταυροφανές τε καὶ ὀξυκάρηνον ὁδεύει,
Οὔρεσιν ἐκπεδίοισι πολυσχιδὲς ἔνθα καὶ ἔνθα·
Ἐκ τοῦ ἀπειρέσιοι ποταμοὶ καναχηδὰ ῥέουσιν,
Οἱ μὲν πρὸς βορέην, οἱ δ᾽ ἐς νότον, οἱ δ᾽ ἐπὶ ῥιπὴν
Εὔρου καὶ ζεφύροιο. τίς ἂν πάντ᾽ οὐνόματ᾽ εἴποι;
Οὐ μὲν [3] ἐπωνυμίαν μίαν ἔλλαχεν, ἀλλ᾽ ἐν ἑκάστῃ

πως λέγουσι. φασὶ δὲ τοὺς περὶ τὴν Νυσαίαν Ἰνδικὴν ταύτην ὁδὸν ὄντας, καὶ τοὺς περὶ τὸ Νυσαῖον ὄρος τοῦτο οἰκοῦντας, ἀνθρωποφάγους εἶναι. περὶ δὲ τῆς Νύσης καὶ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται.

1. Ὅτι τὸν ἤδη ῥηθέντα μέσον τοῦ Εὐξείνου πόντου καὶ τοῦ Ὑρκανίου πλατύτατον ἰσθμὸν, ἤτοι τὴν περὶ τὴν Ἰβηρίαν τὴν ἑῴαν, ἄσπετόν τε λέγει, καὶ μακροῖς ὧδε καὶ ὧδε τιταινόμενον πεδίοις. καὶ σημείωσαι καὶ ἐνταῦθα ὅτι ὁ ἰσθμὸς, ἁπλῶς μὲν καὶ οὕτω ῥηθεὶς, γῆν δηλοῖ στενοχωρουμένην μεταξὺ δύο θαλασσῶν· εἰ δὲ πρόσκειται τὸ μακρὸς, ἢ πλατὺς, ἢ ἀθέσφατος, ἤ τι τῶν τοιούτων ὁποῖα πολλὰ ἐπινοεῖται ὁ Διονύσιος, τότε διὰ τὰς τοιαύτας προσθήκας ἰσθμὸς νοηθήσεται καὶ ὁ μὴ στενός. τὸ δ᾽ αὐτὸ νοητέον καὶ ἐπὶ πορθμοῦ, εἴγε παρὰ τοῖς παλαιοῖς πορθμὸς λέγεται οὐ μόνον ὁ Βόρειος, ὁ περὶ Σικελίαν, ὁ ἑπταστάδιος, ἀλλὰ καὶ ὁ νότιος, ὁ χιλίοις καὶ πεντακοσίοις σταδίοις μετρούμενος, καὶ εἰς χάσμα τοσοῦτον ἀνοιγόμενος.

2. Ὅτι ὁ Ταῦρος τὸ ὄρος ἀρξάμενος ἐκ τῆς Παμφυλίας, ὡς οὗτος διδάσκει, ἄχρι τῶν Ἰνδῶν παρήκει, διὰ πάσης ἥκων Ἀσίας· ἄλλοτε μὲν, φησὶ, λοξὸς καὶ ἀγκύλος, καὶ ὡς ἐρεῖ κατωτέρω, πολλὰς

ἔχων

Candidam aquam Nyſſæam ad planitiem littoralem volvit.
Verum non tanta magnitudo fuerit Aſiæ terræ,
Neque tota ſpecies videtur ſimilis: quippe in illis
Continentibus unum mare immenſum dominatur;
At in Aſia vaſtus oceanus. tres enim volutans
Sinus fluctuantes eructat, introrſum mittens, [tices:
Perſicum, Hyrcanium, & Arabicum profundos habentem vor-
Duos quidem auſtrales: alium vero ad boream ſpectantem,
Ad boream ſpectantem, & ad Libem vicinum ponto
Euxino; ubi homines innumeri circumhabitant.
Medium vero amborum terræ immenſus iſthmus finit,
Hinc & inde longis porrectus campis.
Medium vero totius Aſiæ mons circuit,
Orſus à terra Pamphylia, ad Indos etiam uſque;
Interdum quidem obliquus & curvus, interdum vero rurſus
Veſtigiis [*inceſſu ſuo*] rectior: Taurum vero ipſum nominant,
Eo quod tauro ſimilis, & acutum caput habens incedit,
Montibus ſpatioſis multifidus hinc inde;
Ex quo innumeri amnes cum ſtrepitu fluunt, [impetum
Hi quidem ad boream, illi vero ad auſtrum, quidam item ad
Euri & zephyri. quis omnia nomina retulerit? [quoque
Nec certe cognomentum unicum adeptus eſt, verum in uno-

ἔχων στροφάλιγγας, ἄλλοτε δὲ ὀρθότερος ἰχνεύσιν. εἶτα, ἀπολογῶν τὴν κλῆσιν τοῦ ὄρους, φησί, Ταῦρον δὲ αὐτὸν κικλήσκουσιν, οὕνεκα λοφούμενος ταυροφανὴς καὶ ὀξυκάρηνος ὁδεύει, οὔρεσιν ἐκταδίοις, ὅ ἐστι μακροῖς, πολυσχιδὴς ἔνθα καὶ ἔνθα. τὸ δὲ ὀξυκάρηνος γράφεται καὶ ὀρθόκραιρος, καὶ ἔστι προσφυὲς τῇ κλήσει τοῦ Ταύρου. ἐπίθετον γὰρ ταύρου, καὶ ἁπλῶς βοὸς, τὸ ὀρθόκραιρος· ὡς δηλοῖ τὸ, βοῶν ὀρθοκραιράων. λέγει δὲ ὅτι ὁ Ταῦρος οὗτος οὐ μίαν ἐπωνυμίαν ἔσχεν, ἀλλ' ἐν ἑκάστῃ στροφάλιγγι ἔχει ὄνομα. εἶτα, ἐνδεικνύων πάλιν τὸ παχυμερὲς τῆς περιηγήσεως, λέγει, τοιαῦτα ἐκείνοις ἂν μέλοιτο οἳ κατὰ χώραν οἰκοῦσιν. ὅμοιον δὲ, φασὶ, τὸ σχῆμα τοῦτο τῷ τοῦ Ἡσιόδου, τῷ,

Οἱ δὲ ἕκαστοι ἴσασιν, οἳ ἂν περιναιετάωσιν.

καὶ τοὺς ἐκ τοῦ Ταύρου δὲ καναχηδὰ ῥέοντας ποταμοὺς, ἀπειρεσίους εἰπὼν, ἐπάγει, τίς ἂν πάντα ὀνόματα εἴποι; καὶ ἔθνη δὲ διεξιὼν λέγει οὐ πάντα, ἀλλ' ὅσα εἰσὶν ἀρίδηλα· εὐχόμενος τὰς Μούσας ἰθύντατον ἴχνος ἄγειν, καὶ μὴ σκολιὸν, εἰ καὶ πολλαὶ τοῖς προειρημένοις τόποις εἰσὶν αἱ στροφάλιγγες.

3. Ὅρα δὲ ὅτι κατὰ μίμησιν τοῦ Σα-

μίω

Οὔνομ᾽ ἔχει στρεφάλιγγι. τὰ δ᾽ ἂν κείνοισι μέλοιτο
Ανδράσιν, οἳ κατὰ χῶρον ὁμούριον οἶκον ἔθεντο.
Νῦν γε μὲν ἔθνεα πάντα δίζομαι, ὅσσ᾽ ἀρίδηλα
Ενναίει· Μοῦσαι δ᾽ ἰθύντατον ἴχνος ἄγοιεν.
Ητοι μὲν λίμνης [1] Μαιώτιδος ἄγχι νέμονται
Αὐτοὶ Μαιῶταί τε, καὶ [2] ἔθνεα Σαυροματάων,
Εσθλὸν ἐνυαλίου γένος Αρεος· ἐκ γὰρ ἐκείνης
Ιφθίμης φιλότητος Αμαζονίδων ἐγένοντο,
Τήν ποτε Σαυρομάτῃσιν ἐπ᾽ ἀνθρώποισι μίγησαν,
Πλαγχθεῖσαι πάτρηθεν, ἀπόπροθι Θερμώδοντος.
Τοὔνεκα καὶ παῖδες μεγαλήτορες ἐξεγένοντο,
Υλην ναιετάοντες ἀπείριτον· ἧς διὰ μέσσης
Συρόμενος Τάναϊς Μαιώτιδος ἐς μυχὰ πίπτει,
Ος τε καὶ Εὐρώπην ἀποτέμνεται Ασίδος αἴης,
Ες δύσιν Εὐρώπην, ἐς δ᾽ αὐγὰς Ασίδα γαῖαν.
Τοῦ δ᾽ ἤτοι [3] πηγαὶ μὲν ἐν οὔρεσι Καυκασίοισι

μία μία ναῦς, εἴπερ καὶ οὗτος τὸ, ἐπωνυμίαν μίαν ἔλαχεν. ἐξ Ομήρου δὲ ἄμφω εἴληπται, εἰπόντος ἐν Οδυσσείᾳ, Σαμία μία. ὁ δὲ Γεωγράφος οὕτω περὶ τοῦ Ταύρου φησί, "Διέζωκεν ὁ Ταῦρος μέσην τὴν Ασίαν, ἀπὸ ἑσπέρας ἐπὶ τὴν ἕω τεταμένος· οὗ τὸ τελευταῖον τὸ Ιμάιον τῇ Ινδικῇ θαλάσσῃ συνάπτον". ὅτι δὲ μέρος τι τοῦ ὄρους τοῦ Ταύρου καὶ Κράγος λέγεται, αὐτὸς ὁ Διονύσιος ἐρεῖ ἐν τοῖς ἐφεξῆς· ἔνθα καὶ ἄλλαι τῆς τοῦ τοιούτου Ταύρου κλήσεως αἰτίαι παρατεθήσονται, ἀρέσκουσαι τοῖς παλαιοῖς. Αρριανὸς δέ φησιν οὕτως, "ὁ Ταῦρος τὸ ὄρος ἀπείργει τὴν Ασίαν, ἀρχόμενος ἀπὸ Μυκάλης τοῦ καταντικρὺ Σάμου τῆς νήσου ὄρους· ἀποτεμνόμενος δὲ τὴν Παμφυλίων καὶ Κιλίκων γῆν, ἔνθεν μὲν ὡς εἰς Αρμενίους παρήκει, ἀπὸ δὲ Αρμενίων, ὡς ἐπὶ Μήδους". Οτι τὰ τέσσαρα κέντρα τοῦ κόσμου ἐνταῦθα περιλαμβάνων συντομώτατα, κατὰ ἰδίαν γεγονότητος, φησὶν ὡς οἱ ἐκ τοῦ Ταύρου ποταμοὶ ῥέουσιν, οἱ μὲν πρὸς βορέαν, οἱ δ᾽ ἐπὶ νότον, οἱ δ᾽ ἐπὶ ῥιπὴν εὔρου καὶ ζεφύρου.

1. Οτι περὶ τὴν προϊστορηθεῖσαν Μαιῶτιν αὐτοί τε εἰσὶν οἱ Μαιῶται, οἱ τῆς Μαιώτιδος δηλονότι παρώνυμοι, ἢ καὶ τυχὸν ἐξ ὧν ἡ Μαιῶτις λίμνη κέκληται· καὶ οἱ Σαυρομάται δὲ πρὸς αὐτῇ κεῖνται, ὕλην ναίοντες ἀπείριτον, δι᾽ ἧς μέσης ὁ Τάναϊς συρόμενος ἐς μέσα πίπτει τῆς Μαιώτιδος· ὃς Εὐρώπην Ασίας ἀποτέμνεται, εἰς δύσιν μὲν Εὐρώπην, εἰς δ᾽ αὐγὰς τὴν Ασίαν. περὶ δὲ τούτων εἴρηται ὅσα ἔδει ἐν τοῖς φθάσασιν.

2. Οτι περὶ τοὺς Σαυρομάτας (φῦλον δέ εἰσι Σκυθικὸν) ἐνυαλίου Αρεος ἐσθλὸν γένος, λέγει, ἢ διὰ τὸ πολεμικοὺς εἶναι, ἢ διότι ἐξ Αμαζόνων γενεαλογοῦνται, αὗται δὲ ἐξ Αρεος. φησὶ γὰρ ὅτι ἐκ φιλότητος ἰφθίμων Αμαζονίδων ἐγένοντο, ἣν ἐκεῖναί ποτε τοῖς Σαυρομάταις

ταις

Nomen habet anfractu [*flexu.*] hæc autem illis curæ ſint
Hominibus, qui in loco illo vicinam domum poſuere.
Nunc quidem gentes omnes percurram, quotquot celebres
Incolunt: Muſæ vero rectiſſimum veſtigium ducant.
Nempe paludem Mæotidem prope habitant
Ipſi Mæotæque, & gentes Sauromatarum,
Strenuum bellicoſi genus Martis: nam ex illo
Forti concubitu Amazonidum geniti ſunt,
Quo olim Sauromatis cum viris mixtæ ſunt,
Vagatæ è patria, procul à Thermodonte.
Quare etiam liberi magnanimi nati ſunt,
Sylvam incolentes immenſam: quam per mediam
Volutus Tanaïs Mæotidis in ſinum labitur;
Qui etiamnum Europam abſcindit [*ſecernit*] ab Aſia terra,
Ad occaſum Europam, ad ortum autem Aſiam terram.
Hujus ſane fontes quidem in montibus Caucaſiis

ταις ἐμίγησαν, πλανηθεῖσαι πάτρηθεν ἐκ Θερμώδοντος ἐς Σκυθίαν· διὸ καὶ παῖδες μεγαλήτορες αὐτῶν ἐξεγένοντο. ἐπλανήθησαν δὲ, φασὶν, αἱ Ἀμαζόνες, ἢ ὅτι κατὰ τῆς Ἑλλάδος ἐστράτευσαν περιοδεύσασαι τὰ βόρεια, καὶ διὰ τοῦ Ἴστρου περαιωσάμεναι, ἀφ' ὧν, ὡς ἐξ Ἄρεος γεγενημέναι, καὶ ὁ Ἄρειος πάγος ἐν Ἀθήναις ὠνόμασται, οἷα μέχρι καὶ ἐκεῖ ἐλθουσῶν· ἢ ὅτι Ἡρακλῆς αὐτὰς ἐκ τῆς Ἀσίας ἐφυγάδευσεν ἐπιστρατευσάμενος, διὰ τὸν τῆς Ἱππολύτης ζωστῆρα. Ἡρόδοτος δὲ περὶ τούτων τοιαῦτά φησιν, "Ἕλληνας "νικήσαντας Ἀμαζόνας ἐπὶ Θερμώδοντος, καὶ ζωγρήσαντας ὅσας ἠδύναντο, "ἀποπλεῖν διὰ τοῦ Εὐξείνου· αἱ δὲ ἐν τῷ "πελάγει ἐπιθέμεναι, κατακόψαι τοὺς "ἄνδρας. εἶτα φερόμεναι κατὰ κῦμα "καὶ ἄνεμον, ἀφικνοῦνται εἰς τὴν Μαιῶτιν· καὶ ἐξελθοῦσαι, καὶ λῃζόμεναι τὴν "Σκυθικὴν, τὴν μὲν ἀρχὴν ἐδόκουν "ἄνδρες εἶναι, γνωσθεῖσαι δέ ποτε κα-"τ[illegible]άσθησαν εἰρηνικῶς· καὶ ζευχθεῖ-"σαι τοῖς ἐγχωρίοις νεανίαις, διέβησαν "τὸν Τάναϊν, καὶ τριῶν ἡμερῶν ὁδὸν ὁδεύ-"σασαι πρὸς ἥλιον ἀνίσχοντα, κατέμει-"ναν ἐν τῇ νῦν χώρᾳ τῶν Σαυροματῶν". τὸ δὲ Ἀμαζονίδες, οὐχ ὑποκοριστικὸν (ἵνα μὴ τὰς ἰφθίμους τῷ ὑποκορισμῷ ταπεινοῖ) ἀλλὰ κατὰ παραγωγήν. τοιοῦτον δὲ ἐφάνη περὶ τούτων καὶ τὸ, Ἀσίδα γῆν· καὶ τὸ, Σικελικὴν πορθμίδα, καὶ εἴ τι ἄλλο τοιοῦτο. τὸν δὲ Παφλαγονικὸν ποταμὸν Θερμώδοντα, πάτραν τῶν Ἀμαζόνων εἶπε, διότι πάλαι ποτὲ περὶ τοὺς Παφλαγονικοὺς αὗται κατῴκουν τόπους, ὡς αἱ ἱστορίαι φασίν.

3. Ὅτι αἱ τοῦ ῥηθέντος Τανάϊδος πηγαὶ ἐν τοῖς Καυκασίοις μορμύρουσιν ὄρεσιν, αὐτὸς δὲ πλατὺς ἐπιτρέχει ἔνθα καὶ ἔνθα τοῖς Σκυθικοῖς πεδίοις. νοητέον δὲ νῦν, φασὶ, Καύκασον τμῆμά τι τοῦ προειρημένου Ταύρου βορειότατον, περὶ τὴν Κρονίαν ἀνήκον θάλασσαν, οὗ μέρη καὶ τὰ περὶ

τούτων

Τηλόθι μορμύρουσιν· ὁ δὲ πλατὺς ἔνθα καὶ ἔνθα
Ἐσσυμένος Σκυθικοῖσιν ἐπιπροχέει πεδίοισι.
Τοῦ δ' ἂν [1] κυμαίνοντος ἀπείριτον ἐκ Βορέαο,
Πηγετὸν ἀθρήσειας ἀπὸ κρυμοῖο παγέντα.
Σχέτλιοι οἱ περὶ κεῖνον ἐνοίκια φῶτες ἔχουσιν·
Αἰεὶ σφιν [2] ψυχρή τε χιὼν, κρυμός τε δυσαής.
Καὶ δέ κεν ἐξ ἀνέμων ὁπόταν πλεῖστον κρύος ἔλθῃ,
Η ἵππους θνήσκοντας ἐν ὀφθαλμοῖσιν ἴδοιο,
Ηὲ καὶ ἡμιόνους, ἢ ἀγραύλων γένος οἰῶν.
Οὐδὲ μὲν οὐδ' αὐτοί κεν ἀπήμαντοι τελέθοιεν
Ανέρες, οἳ κείνῃσιν ὑπαὶ ῥιπῇσι μένοιεν·
Αλλὰ γὰρ ἠλάσκουσιν, ἀποζεύξαντες ἀπήνας,
Χώρην εἰς ἑτέρην· λείπουσι δὲ γαῖαν ἀήταις
Χειμερίοις, οἵ τέ σφι κακῇ θύοντες ἀέλλῃ,
Γαῖάν τε κλονέουσι καὶ οὔρεα πουλυκήεντα.

τούτων γραφέντα Ῥιπαῖα ὄρη. τὸ δὲ ἐπιξυστον Καύκασον, περὶ ὃν καὶ ὁ τοῦ Προμηθέως πλάττεται ἀνασκολοπισμὸς, οἱ παλαιοὶ μὴ ἐγκεῖσθαί φασι τῷ τῆς [illegible]σιας πίνακι· ὁ δὲ Γεωγράφος φησὶν αὐτὸν διήκειν μέχρι τῶν Τιβαρηνῶν. Σημείωσαι δὲ ὅτι ὁ μὲν Διονύσιος λέγει ἀπὸ τοῦ τοιούτου Καυκάσου ἐκπίπτειν τὸν Τάναϊν· ὁ Γεωγράφος δὲ ἀδήλους λέγει τοῦ Τανάϊδος τὰς ἀρχὰς, καθὰ καὶ τὰς τοῦ Νείλου· λέγων καὶ πόλιν παρ' αὐτῷ εἶναι ὁμώνυμον τῷ ποταμῷ. ἄλλοι δέ φασιν αὐτὸν ἐκ λίμνης τινὸς, ὡς ἐξ ἀρχῆς, εἰς λίμνην τὴν Μαιῶτιν ῥέοντα δυσὶ στόμασιν εἰσβάλλειν εἰς αὐτήν.

1. Ὅτι περὶ τοὺς τόπους τοὺς κατὰ τὸν Τάναϊν, καὶ τὸν ἐκεῖ Βόρειον Καύκασον, βορέου χειμαίνοντος, παγετὸν ἂν ἴδοις ἀπὸ κρυμοῦ παγέντα. εἶτα ἐνδιαθέτως ὁ Διονύσιος οἷον οἰκτιζόμενος τοὺς ἐν τῷ τοιούτῳ τόπῳ, διὰ τὸν ἀπείριτον παγετὸν, ἔτι δὲ καὶ αὐξητικῶς τὸν χειμῶνα ἐκφράζων, φησὶ, σχέτλιοι ἐκεῖνοι φῶτες· ἀεὶ γὰρ αὐτοῖς ψυχρά τε χι[illegible] δυσαής. καὶ δὴ ὅταν ἐξ ἀν[illegible] κρύος ἔλθῃ, καὶ ἵππους ἄντις [illegible] ὀφθαλμοῖς ἴδοιτο καὶ ἡμιό[illegible] προβολικὸν, καὶ οἷς ἀγραύλου[illegible] Ἡσίοδον, οὐδὲ τὸ κατὰ Απυ[illegible] καθικνεῖται, ἀλλὰ τὸ δασὺ [illegible] οὐδὲ μὴν οὐδ' αὐτοί, φησὶν, οἱ [illegible] δεῖ ἀπὸ ψύχους ἀπήμαντ[illegible] ἀλλὰ γὰρ ὑποζεύξαντες ἀπή[illegible] βιοῖ γὰρ οἱ ἐκεῖ πλανῶντα[illegible] χώραν. λείπουσι δὲ γαῖαν [illegible] μερίοις. τοῦτο δὲ καὶ εἰς πυρ[illegible] ἐρημωθείσης οἰκουμένης κεῖται· ὡς τὸ, Τὴν δεῖνα πόλιν ἐρήμην οἱ ἄνεμοι καταπνέουσι. Σημείωσαι δὲ καὶ ὅτι τὴν χιόνα ἐριῶδες ὕδωρ ἀστείως οἱ παλαιοί φασι, ἀπὸ τοῦ σοφοῦ βασιλέως Δαυὶδ ἀφορμὴν ἐνδόντος αὐτοῖς, ὅτε εἴπῃ,

Διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον.

Ὅρα δὲ καὶ ὅτι φανερῶς ἐνταῦθα τὸ σχέτλιοι, οὐκ ἐπὶ ὕβρει, ἀλλ' ἐπὶ οἴκτῳ εἴρηται.

2. Ὅτι δὲ ἡ τῶν πλανήτων τούτων

Νομά-

Procul murmurant: vaſtus autem hinc inde
Concitus [*rapide fluens*] Scythicos currit ſuper campos.
Hoc porro æſtuante immenſum in modum à borea,
Glaciem videres præ frigore concretam.
Miſeri qui circa illum domicilia homines habent:
Perpetuo illis frigida nix, geluque pernicioſe flans.
Et quum è ventis plurimum frigus venerit,
Aut equos morientes ante oculos cernas,
Aut etiam mulos, aut in agro ſtabulantium genus ovium.
Neque etiam ipſi illæſi eſſe poſſent
Homines, qui illis ſub flatibus manerent:
Verum fugiunt, junctis plauſtris,
Regionem in aliam: linquunt autem terram ventis
Hybernis, qui etiam improba furentes [*ruentes*] procella,
Terramque agitant & montes piniferos.

Νομάδων [illegible]ώρα δυσχείμερός ἐστιν, ὁμολόγηται. διόπερ οὐδὲ ὄνους τρέφει· δύσρι[illegible] γὰρ τὸ ζῶον. ῥήγνυνται δὲ, κατὰ [illegible] ἱστορίαν, καὶ χαλκαῖ ὑδρίαι χειμῶνος ἐκεῖ, καὶ διάπλοι τινὲς ἁμαξεύονται. καὶ τὰ καύματα δὲ σφοδρὰ θέρους ἐκεῖ φασί τινες γίνεσθαι. ὁ μέντοι Διονύσ[illegible] ἐοι-[illegible] οὕτως δοξάζειν, ἀλλὰ διηνεκ[illegible] τὴν [illegible]ραν ἐκείνην ψύχεσθαι. φησὶ γὰρ·

Αἰεί σφι ψυχρή τε [illegible], τε δυσαής.

οὕτω δὲ καὶ Ἡρόδοτος, δυσχείμερον εἰπὼν τὴν Σκυθικὴν, ἐπάγει, ὅτι "τοὺς μὲν ὀκτὼ μῆνας ἐκεῖ ἀφόρητος οἷος γίνεται κρυμός". ὅτι "ὕδωρ μὲν ἐκχέας, πηλὸν οὔπω ποιήσεις· πῦρ δὲ ἀνακαίων, ποιήσεις πηλόν. ἡ δὲ θάλασσα πήγνυται, καὶ ὁ Βόσπορος ὁ Κιμμέριος. τοὺς δὲ λοιποὺς, φησὶ, τέσσαρας μῆνας ψύχεα αὐτόθι ἐστί". τάχα οὖν ἡ μὲν ἐνδοτέρα Σκυθικὴ, ἡ πρὸς βορέαν, τοιαύτη ἐστὶν οἵαν φησὶν ὁ Ἡρόδοτος· ἡ δὲ λοιπὴ πάσχει, ὥς τινες, καὶ καύματα. Σκυθῶν δὲ ἡ τοιαύτη πᾶσα γῆ, περὶ ὧν ἱστορεῖ Ἀρριανὸς, ὅτι "σιτοφάγοι ποτὲ ἀροτῆρες ὄντες, καὶ οἰκίας οἰκοῦντες, καὶ πόλεις ἔχοντες, ἐπειδὴ ὑπὸ Θρακῶν ἐκλήγησαν, μετέβαλον ὡς πρότερον ἤθη, καὶ ἀρχὰς ἐπηρέσαντο μεγάλας, μήποτε οἰκίαν ἔτι δείμασθαι, μήτε ἀρότρῳ γῆν ἀναῤῥῆξαι, μήτε πόλεις δειμήσασθαι, μήτε κτῆμα κειμήλιον ἐπικτήσασθαι, ἀλλ' οἴκους μὲν ποιήσασθαι ἁμάξας, τροφὴν δὲ κρέα θήρεια. πόμα δὲ ταυτὸ καὶ τροφὴν, τὸ γάλα· θρέμματα δὲ κεκτῆσθαι μόνα, ἅπερ ἄγειν αὐτοῖς ἔμελλεν ἄλλην γῆν ἐξ ἄλλης ἀμείβουσι· καὶ ἀπὸ τῆσδε ἀντὶ γεωπόνων γενέσθαι Νομάδας". ἐλλόγιμον δὲ ἄνδρα ἡ τῶν Σκυθῶν ἤνεγκε γῆ τὸν Ἀνάχαρσιν, οὗ μέμνηται καὶ Ἡρόδοτος, λέγων ὅτι ὁ Εὔξεινος παρέχεται ἔθνη ἀμαθέστατα· καὶ ἐξ οὐδενὸς τῶν ἐντὸς τοῦ Πόντου ἀνὴρ ἐλλόγιμος λέγεται, πάρεξ τοῦ Σκυθικοῦ, ὅθεν ὁ Ἀνάχαρσις. λέγονται δὲ οἱ Νομάδες οὗτοι Σκύθαι καὶ μέχρι τῆς Θρακικῆς Χερρονήσου ἐλάσαι ποτὲ, κατατρέχοντες τὴν Εὐρώπην, ὅτε ὁ Δαρεῖος ἐκεῖ στρατεύσας ἐξέθισεν αὐτούς.

Τόσσοι μὲν ποταμὸν Τάναϊν περιναιετάουσι.
Σαυρομάτας [1] δ' ἐπέχουσιν ἐπισσύτεροι γεγαῶτες
Σινδοί, Κιμμέριοί τε, καὶ οἳ πέλας Εὐξείνοιο
Κερκέτιοί τ' Ὀρέται τε, καὶ ἀλκήεντες Ἀχαιοί·
Τοὺς ποτ' ἀπὸ Ξάνθοιο καὶ Ἰδαίου Σιμόεντος
Πνοιαὶ νοσφίσαντο νότοιό τε καὶ βορέαο,
Ἑσπομένους μετὰ δῆριν Ἀρηϊάδῃ βασιλῆϊ.
Τοῖς δ' ἐπιναιετάουσιν ὁμούριον αἶαν ἔχοντες
Ἡνίοχοι, [2] Ζύγιοί τε Πελασγίδος ἔκγονοι αἴης.
Πὰρ δὲ μυχὸν Πόντοιο, μετὰ χθόνα Τυνδαριδάων,
Κόλχοι [3] ναιετάουσι, μετήλυδες Αἰγύπτοιο,

1. Ὅτι Σαυρομάτας ἐπέχουσιν οἱ Σινδοί, οἱ καὶ Ζίκχοι λεγόμενοι, κατά τινας. λέγει δὲ τὸ ἐπέχουσιν, ἀντὶ τοῦ διαδέχονται, καὶ μετ' αὐτοὺς τὴν γῆν ἔχουσιν. Ὅμηρος δὲ τὸ ἐπέχειν λέγει, τὸ κατ' [illegible]τος ἔχειν καὶ ἐπικεῖσθαι· καὶ δοτικῇ συντάσσει, Δαιμόνιε τί μοι ἐπέχεις; ὁμοίως μετὰ Σαυρομάτας εἰσὶ καὶ οἱ ἐν Ὀδυσσείᾳ πλατύτερον ἱστορηθέντες Κιμμέριοι, καὶ Ὀρέται, δίχα τοῦ σ. οἱ γὰρ μετὰ τοῦ σ Ὀρέσται ἔθνος εἰσὶν Εὐρωπαῖον, Μολοσσικόν· ἀπὸ τοῦ Ἀγαμεμνονίδου Ὀρέστου καλούμενοι. ἐκεῖ δέ, φησί, καὶ οἱ Κερκέται, ὧν ἡ χώρα Κερκετὶς λέγεται, παρακειμένη τῷ προειρημένῳ Καυκάσῳ. ἐκεῖ καὶ οἱ ἀλκήεντες Ἀχαιοί, οὓς ἐκ Τροίας, φησί, νότου καὶ ζεφύρου πνοαὶ νοσφισάμεναι, ἤγουν νόσφι καὶ χωρὶς καὶ μακρὰν ἀπαγαγοῦσαι καὶ ἀφορίσασαι, [illegible] ἐκεῖ, ἑπομένους Ἀρηϊάδῃ βασιλεῖ, ἤγουν τῷ Πελοπίδῃ Ἀγαμέμνονι· ὃν Ἀρηϊάδην λέγει, τουτέστιν ἐξ Ἄρεος καταγόμενον, διὰ τὴν τοῦ Ἄρεος Ἱπποδάμειαν, ἣν ὁ τοῦ Ἀγαμέμνονος πρόγονος Πέλοψ εἰς γυναῖκα ἠγάγετο. οἱ δὲ ἱστοροῦσι τοὺς [illegible] τούς φασιν Ἀχαιοὺς Ἀρηϊάδῃ βασιλεῖ, ἤτοι τῷ πολεμικῷ Ἀχιλλεῖ, συν[illegible]όντας αὐτῷ πολεμαρχοῦντι. ἢ μᾶλλον Ἰαλμένῳ φασὶν αὐτοὺς ἀκολουθῆσαι τῷ ἥρῳ Ἄρεος, Ἀσπληδονίων βασιλεῖ· [illegible] δὲ Ὀρχομένιοι. ὁ δὲ Γεωγράφος φησὶν ὅτι ἀπὸ τῆς Ἰάσονος στρατείας τῆς εἰς Κόλχους οἱ μὲν Φθιῶται Ἀχαιοὶ [illegible] Ἀσίᾳ Φθίαν ᾤκησαν· Λάκωνες δὲ [illegible] Ἡνιοχίαν χώραν, ὧν ἦρχε Ῥέκας τε καὶ Ἀμφίστρατος, ἡνίοχοι Διοσκούρων· ἀφ' ὧν τὸ ἐκεῖ ἔθνος οἱ Ἡνίοχοι, καὶ ἡ χώρα ἡ Ἡνιοχία. οἱ δὲ τὸν Πομπήιον Ἀρηϊάδην βασιλέα ἐνόησαν, ὃς ἔχων Σκύθας συμμάχους, μεθ' ὧν ἦσαν καὶ οἱ τοιοῦτοι Ἀχαιοί, ἐπολέμησε Καίσαρι, κατὰ τὸν ἐμφύλιον πόλεμον. τὸ δὲ Ἀρηϊάδης, ἀπὸ τοῦ [illegible] ἰαμβικοῦ γίνεται· πάσχει γὰρ [illegible] τὴν ἰαμβικὴν κλίσιν ὁ Ἄρης. τὸ δὲ νοσφισάμενοι, λέξις ἐστὶν Ὁμηρική· οἱ δὲ ὕστερον ἐπὶ τοῦ ἰδιοποιεῖσθαι καὶ ἀποκερδαίνειν εἰώθασι τὸ νοσφίζεσθαι.

2. Ὅτι μετὰ τοὺς Ἀχαιοὺς οἱ προρρηθέντες Ἡνίοχοι, καὶ οἱ Ζύγιοι, ἔθνος ἀγριώτατον, ὡς ἡ ἱστορία φησί, Πελασγῶν ἔκγονοι· ἱστορεῖ δὲ Χάραξ τοὺς Ἀργοναύτας, οὐ μιᾷ νηΐ (κατὰ τὸν πολὺν περὶ τῆς Ἀργοῦς λόγον) ἀλλὰ πολλοῖς πλοίοις εἰσπλεῦσαι τὸν Εὔξεινον· καί τινας αὐτῶν ἀποπλανηθῆναι, καὶ ἐν μιᾷ τῶν νηῶν εἰ[illegible]ς τῶν Τυνδαριδῶν ἡνιόχους, ἤτοι τοὺς τῶν Διοσκούρων· ἀφ' ὧν κληθῆναι τὰ ἔθνη τοὺς Ἡνιόχους, καὶ τοὺς Τυνδαρίδας.

Tot ſane fluvium Tanaïn accolunt.
Sauromatas vero excipiunt qui magis conferti ſunt [*denſi*]
Sindi, Cimmeriique, & qui prope Euxinum
Cercetiique Oretæque, & ſtrenui Achæi;
Quos olim à Xantho & Idæo Simoënte [*à Troja*]
Flatus abduxerunt auſtrique & aquilonis,
Sequentes ad bellum Martia fortitudine præditum regem.
Poſt hos autem habitant vicinam terram tenentes
Heniochi, Zygiique è Pelaſgica oriundi terra.
Ad receſſum autem intimum Ponti, poſt terram Tyndaridarum,
Colchi habitant, advenæ Ægypti,

διεζ[illegible]μένω καὶ τὴν Διοσκουρίδα χώραν, τὴν τοῦ Εὐξείνου μυχὸν, ἤγουν τὴν ἐσχατιὰν [illegible]ς τῇ Κολχικῇ Τραπεζοῦντι πλοῦν ἔθει καὶ [illegible]ιμια,

Ἐς Φ[illegible], ἔνθα νηυσὶν ἔσχατος δρόμος. τουτέστιν, [illegible]ς αὐτὴν τὴν Κολχίδα γῆν. ἀπὸ μέρους, ἔνθα τὸ ἔσχατον τοῖς [illegible] πλέουσιν. ἐπεὶ τοι γε ἄλλως πολλὰ [illegible]δια, φασὶ, καὶ πολὺς πλοῦς ἐκ τοῦ Φάσιδος εἰς τὸν μυχὸν τοῦ Εὐξείνου καὶ εἰς τὴν Διοσκουρίδα, ᾗ συνεχής ἐστιν ἡ Τραπεζοῦς, κτίσμα Σινωπέων, μέγα ἐμπόριον, [illegible]ην [illegible]πεζουσία χώρα. καὶ ἡ Τυνδαρ[illegible]ῶν χώρα πρὸς αὐτῷ ἐστι τῷ τοῦ Πόντου [illegible] ἤτοι τοῦ Εὐξείνου. περὶ ὧν, καὶ [illegible] τι Τυνδαρίδαι λέγονται, ἀνωτέρω εἴρηται.

3. Ὅτι ἀκολούθως τῷ Ἡροδότῳ γραμματεύει καὶ οὗτος, μετήλυδας εἶναι τῆς Αἰγύπτου τοὺς Κόλχους, ὅ ἐστιν ἀποίκους, ἢ μετοίκους. πίστις δὲ τοῦ λόγου τούτου, ὅτι τε οὐλόκρανοι, τουτέστιν οὐλότριχες, εἰσὶ, κατὰ τοὺς Αἰγυπτίους, καὶ μέλανες. ἔτι δὲ καὶ τὰ παρ' αὐτοῖς Αἰγύπτια ἔθη· ὧν ἓν καὶ τὸ περιτέμνεσθαι, καὶ τὸ λινᾶς ἐσθῆτας ἀμπίσχεσθαι. καὶ ἡ ζωὴ δὲ, φασὶ, καὶ ἡ γλῶσσα ἐμφερὴς ἦν τοῖς Κόλχοις καὶ τοῖς Αἰγυπτίοις. ὁ δὲ Γεωγρ[illegible]ησὶ, "Κόλχοι μετὰ Ἡνιόχους, ὑπὸ τοῖς Καυκασίοις καὶ Μοσχικοῖς ὄρεσι". καλοῦνται δὲ Κόλχοι ἀπὸ Κόλχου υἱοῦ Φάσιδος. τούτων δὲ ὑποκεῖσθαι λέγονται οἱ Θοάντες, ἄνδρες οὐδὲν μὲν βελτίους τῶν προσοικούντων Φθειροφάγων τὴν πίνον, πλουτοῦντες δὲ τὴν χρυσὸν. χρυσὸν γὰρ παρ' αὐτοῖς οἱ χείμαρροι [illegible]φέρουσι, ὃν ὑποδέχονται οἱ ἐκεῖ [illegible]ταλλευταί· ἀφ' ὧν τὸ χρυσόμαλλον ἐ[illegible]θεύθη δέρας, οὗ χάριν καὶ ὁ τῶν Ἀργοναυτῶν ἐγένετο πλοῦς. καίτοι ὁ Χάραξ τὸ χρυσοῦν δέρμα μέθοδον εἶναι λέγει χρυσογραφίας μεμβράναις ἐμπεριειλημμένην, δι' ἣν, ὡς λόγου ἀξίαν, τὸν τῶν Ἀργοναυτῶν κατασκευασθῆναι στόλον φησί. καὶ ταῦτα μὲν τοιαῦτα. ὁ δὲ Διονύσιος, τοὺς Κόλχους τοπογραφῶν, κατοικεῖν φησιν αὐτοὺς περὶ τὸν ῥηθέντα μυχὸν τοῦ Εὐξείνου πόντου, μετὰ τοὺς εἰρημένους Τυνδαρίδας, ἐγγὺς τοῦ [illegible]κειμένου Καυκάσου, ὃς περὶ τὸν Υρκανὸν κόλπον ὄρεσιν ἠλιβάτοις αὔξεται. [illegible]τι, καὶ ὁ Φᾶσις, Κιρκαίου κατὰ νῶτον ἑλισσόμενος πεδίοιο, Εὐξείνου ποτὶ χεῦμα ἑὸν ἀπερεύγεται ἄγχι. εἰς γὰρ τὸν Εὔξεινον πόντον ἐκβάλλει καὶ ὁ Φᾶσις ποταμὸς, ὃς ἐκτείνει μὲν τὴν προειληχυῖαν, καλεῖται δὲ οὕτως ἀπὸ Φάσιδος, οὗ υἱὸς Κόλχος ἱστόρηται. καταρρεῖ δὲ εἰς τὴν Κολχίδα τραχὺς καὶ βίαιος, πλωτὸς ἐκ πλείστων γεφύραις, κατὰ τὸν Γεωγράφον, διὰ σκολιό-

Καυκάσου ἐγγὺς ἐόντες, ὃς Ὑρκάνιον περὶ πόντον
Οὔρεσιν ἠλιβάτεσσιν ἀέξεται· ἔνθα τε Φᾶσις,
Κιρκαίου [1] κατὰ νῶτον ἑλισσόμενος πεδίοιο,
Εὐξείνου ποτὶ χεῦμα θοὴν ἐπερεύγεται ἄχνην,
Ἀρξάμενος τοπρῶτον ἀπ' οὔρεος [2] Ἀρμενίοιο.
Τοῦ δὲ [3] πρὸς ἀντολίην βορέην τ' ἐπικέκλιται ἰσθμὸς,
Ἰσθμὸς [4] Κασπίης τε καὶ Εὐξείνοιο θαλάσσης.
Τῷ δ' ἐπιναιετάουσιν ἑωθινὸν ἔθνος Ἰβήρων,
Οἵ ποτε Πυρρήνηθεν ἐπ' ἀντολίην ἀφίκοντο,
Ἀνδράσιν Ὑρκανίδεσσιν ἀπεχθέα δῆριν ἔχοντες.
Καὶ [5] Καμαριτάων φῦλον μέγα, τοί ποτε Βάκχον

τητα. ἐμβάλλουσι δὲ εἰς αὐτὸν ποταμοὶ Γλαῦχος καὶ Ἵππος. ἐπίκειται δὲ καὶ πόλις ὁμώνυμος. οἱ δὲ περὶ αὐτὸν τόποι, Φασιανὴ λέγεται χώρα ὑπό τε Διοδώρου καὶ ἄλλων. καὶ οἱ Φασιανοὶ δὲ τὸ ὄρνεον ἐκεῖθεν παρονομασθῆναι δοκοῦσιν, ὡς αὐτόθι πλεονασάντες. ὁ δὲ Καύκασος καὶ Κάσπιος ὑπὸ τῶν ἐκεῖ καλεῖται, ὡς ὁ Γεωγράφος φησίν· ὃς λέγει καὶ ὅτι τὰ πρὸς θάλασσαν αὐτοῦ Κεραύνια ὄρη καλοῦνται ὁμωνύμως δηλονότι τοῖς Ἰλλυρικοῖς· καὶ ὅτι ὑπέρκειται ὁ Καύκασος οὗτος τοῦ Ποντικοῦ καὶ Κασπίου πελάγους, διατειχίζων τὸν αὐτόθι ἰσθμὸν, καὶ ἀφορίζων πρὸς μὲν νότον Ἀλβανοὺς καὶ Ἴβηρας, πρὸς δὲ ἄρκτον Σαρμάτας.

1. Τὸ δὲ Κιρκαῖον πεδίον, διὰ τὴν τοῦ Κόλχου βασιλέως Αἰήτου ἀδελφὴν Κίρκην οὕτω καλεῖται, τὰς βοτάνας ἐκεῖθεν συλλέγουσαν. [...] τοῦ πεδίου δὲ ὁ Γεωγράφος φησὶν, ὅτι πρὸς τὴν Ἀλβανῶν γῆν Κίρκης ἱερὸν, ἔνθα καὶ φιάλη τις Ὀδυσσέως δείκνυται· καὶ Κιρκαῖον ὄρος πολύρριζον, νησίζον θαλάσσῃ καὶ ἕλεσιν. Ἰστέον δὲ ὅτι, κατὰ τὸν Λυκόφρονα, ἐστὶ Κιρκαῖόν τι ὄρος καὶ περί που τὰ τῆς Ῥώμης μέρη.

2. Ὅτι τὸ Ἀρμένιον ὄρος, ἀφ' οὗ ῥέων ὁ Φᾶσις ἄρχεται, ὁ μὲν τὰ ἐθνικὰ γράψας περὶ τὴν ἀρχὴν τῆς [...]εῖναι οἴεται. ἄλλοι δὲ τοῦ Ταύρου φασὶν ἀπόσπασμα εἶναι τὸ Ἀρμένιον, παρατεῖνον ἕως καὶ εἰς Ἀρμενίαν, τὴν [...] κληθεῖσαν ἢ ἀπὸ τοῦ ῥηθέντος Ἀρ[...]ου ὄρους, ἢ ἀπό τινος Ἀρμένου, Ῥοδίου ἀ[...]ρός. κατὰ [...]ους Ἀρμενία ἡ χώρα λέγεται ἐπωνύμω[ς] Ἀρμένου ἥρωος, ἐξ Ἀρμενίου πόλεως Θετταλικῆς, συστρατεύσαντος ἐκεῖ τῷ [Ἰά]σονι. ὅτι δὲ καὶ εἰς τοὺς τοιούτους τόπους [ἦ]λθεν ὁ Ἰάσων, ὅτε εἰς τὸ χρυσόμαλλον ἐπέπλευσε δέρμα, πολλὰ τεκμήρια παρὰ τοῖς παλαιοῖς. τὸ δὲ [...] [...]ος λέγεται καὶ πληθυντικῶς [...] Ἀρμένια. Ἴστον δὲ ὅτι Ἡρόδοτος τοὺς Ἀρμενίους Φρυγῶν ἀποίκους φησὶ, λέγων καὶ ὅτι πολυπρόβατοί εἰσι. καὶ Εὔδοξος δὲ ἐν γῆς περιόδῳ φησὶν, „Ἀρμένιοι τὸ „γένος ἐκ Φρυγίας, καὶ τῇ φωνῇ πολλὰ „φρυγίζουσι. παρέχονται δὲ καὶ λίθον τὴν „γλύφουσαν καὶ τορνοῦσαν τὰς σφραγῖ„δας". κἀκεῖνο δὲ ἰστέον, ὅτι τὴν Ἀρμενίαν χώραν εἰς τέσσαρα διελεῖν λέγεται Ἰουστῖνος ὁ βασιλεύς· καὶ πρώτην μὲν, φασὶν, ἔθετο τὴν ἐνδοξοτάτην Ἑπτάπολιν, ἧς μητρόπολις Βαζανὶς, ἤτοι Λεοντόπολις· [...]ς δέ ἐστι καὶ ἡ Θεοδοσίου πόλις, καὶ ἡ Κολώνεια· καὶ ἡ Τραπεζοῦς δὲ καὶ ἡ Κερασοῦς ἐκ τοῦ Πολεμωνιακοῦ κόλπου·

δὲ πεῖραν

Prope Caucaſum qui ſunt, qui Hyrcanium prope mare
Montibus altiſſimis excreſcit: ubi Phaſis
Circæi per dorſum [*planiciem*] ſe volvens campi,
Euxini ad undam rapidam eructat ſpumam,
Incipiens primum è monte Armenio.
Hujus autem verſus orientem boreamque adjacet iſthmus,
Iſthmus [*diſcrimen*] Caſpiique & Euxini maris.
In eo autem habitant orientalis gens Iberorum,
Qui olim è Pyrene ad orientem venerunt, [tes.
Cum hominibus Hyrcaniis implacabile bellum committen-
Etiam Camaritarum natio magna, qui quondam Bacchum

δ' αὐ[illegible] αὐτὸς ἔταξεν Ἀρμενίαν ἐν πέντε πόλεσιν, ὧν καὶ ἡ Σεβάστεια. τρίτην δὲ Ἀρμενίαν κατέστησεν ἑξάπολιν, τὴν ποτε καλουμένην [illegible] δευτέραν Ἀρμενίαν, ἧς ἡγεῖται Μελιτηνή· περὶ ταύτην τὴν Ἀρμενίαν ἡ Κόμανα, ἡ καὶ Χρυσῆ ὀνομαζομένη, καὶ ἡ Κουκουσός. ἐπέστησε δὲ καὶ τετάρτην Ἀρμενίαν ὑπὸ σατράπαις οὖσαν, συγκειμένην ἐκ διαφόρων, καὶ λεγομένην Τζοφαρηνὴν, καὶ Βαλαβιτηνὴν, καὶ τοιαῦτά τινα βάρβαρα ὀνόματα.

3. Ὅτι πρὸς ἀνατολὰς καὶ βορρᾶν τῆ[illegible] ὄρους ὁ ἰσθμός ἐστιν ὁ μεταξὺ [illegible]ασπίας καὶ Εὐξείνου θαλάσσης· ἐν ᾧ οἱ ἑωθινοὶ εἰσὶν Ἴβηρες, Ὑρκανίοις, ὡς εἰκός, πολέμιοι, ἐκ τῶν κατὰ Πυρήνην μετοικισθέντες ἑσπερίων Ἰβήρων. ἣν δὴ Πυρήνην, καὶ Πυρηναῖον οἴδαμεν ὄρος λέγεσθαι. ἐπαναλαμβάνει δὲ καὶ τὸν τοιοῦτον ἰσθμὸν, διὰ τὸ πολὺ τοῦ χάσματος, καὶ ἀξιόλογον. οὗτος γάρ ἐστιν ὃν καὶ ὅρον Ἀσίας καὶ Εὐρώπης ἐνόμισάν τινες, ὡς προγέγραπται. τοὺς δὲ Ἴβηρας τούτους Ἀρμενίοις καὶ Μήδοις ὁ Γεωγράφος ἰσοδυναμεῖν φησί. λέγει δὲ καὶ ὅτι τούτων οἱ ὀρεινοὶ μαχιμώτεροι.

4. Σημείωσαι δὲ ὅτι [illegible] ἰσθμοῦ ἐνταῦθα ἐπανάληψις, ὁμοῦ ἐπανάληψίς ἐστι καὶ ἐπαναστροφή. φησὶ γὰρ, ἐπικέκλιται ἰσθμὸς, ἰσθμὸς Κασπίης τε καὶ Εὐξείνοιο. τοῦτο μὲν γὰρ, καθὸ μὲν τοῦ πρώτου κόμματος λήγοντος εἰς τὸ ἰσθμὸς, ὁ δεύτερος στίχος ἀπὸ τῆς αὐτῆς ἄρχεται λέξεως, ἐπαναστροφὴν ποιεῖ, σχῆμα ῥητορικόν· διότι δὲ χρείαν σαφηνείας ἀναγκαίως ὁ ἰσθμὸς ἐδισσώθη, ἐπανάληψις γέγονεν.

5. Ὅτι περὶ τὸν ῥηθέντα ἰσθμὸν κεῖται καὶ τὸ μέγα φῦλον τῶν Καμαριτῶν, οἳ οὕτω λέγονται ἀπὸ πλοίων στρογγύλων λῃστρικῶν, οἷς ἐχρῶντο· ἃ ἐκαλοῦντο καμάραι παρ' Ἕλλησιν. ἦσαν δὲ ἀκάτια λεπτὰ, στενὰ καὶ κοῦφα, ἀνθρώπους κε'. δεχόμενα, σπάνια δὲ καὶ εἰς λ'. οὗτοι οἱ Καμαρῖται τὸν Βάκχον Ἰνδῶν ἐκ πολέμου, φησί, δεξάμενοι ἐξένισαν, καὶ ταῖς Λήναις, ὅ ἐστι ταῖς Βάκχαις, συνεχόρευσαν, τὰ ἐκείνων φορήματα, ζώματα δηλαδὴ καὶ νεβρίδας, ἐπὶ στήθεσι βαλόντες, Εὐοῖ Βάκχε λέγοντες. ὑμνητικὸν δὲ ἦν τοῦτο τὸ λόγιον, τοῦ Διονύσου ἐπιφωνούμενον, ὥσπερ καὶ τὸ Εὐάν. ὅθεν καὶ τὸ εὐάζειν παράγεται, καὶ ὁ Διόνυσος Εὔιος λέγεται. ταῦτα δὲ οἱ μὲν ἐδάσυνον, ὡς ἐνθουσιαστικὰ πρωτόθετα ἐπιρρήματα· οἱ δὲ ἐψίλουν, ἀντὶ τοῦ εὖ οἱ, τουτέστιν αὐτῷ, ἐκλαμβανόμενοι τὴν τοῦ περιηγητοῦ ταύτην φωνὴν, καὶ ἐξ αὐτῆς τὸ εὐὰν προάγοντες,

ἴαχο

Ινδῶν ἐκ πολέμοιο δεδεγμένοι ἐξείνισσαν,
Καὶ μετ' Ληνάων ἱερὸν χορὸν ἐστήσαντο,
Ζώματα καὶ νεβρίδας ἐπὶ στήθεσσι βαλόντες,
Εὐοῖ Βάκχε λέγοντες· ὁ δὲ φρεσὶ φίλατο δαίμων
Κείνων ἀνθρώπων γενεὴν καὶ ἤθεα γαίης.
Τοῖς δ' ἔπι Κασπίη κυμαίνεται ἀμφιτρίτη·
Ῥεῖα [1] δέ τοι καὶ [2] τήνδε καταγράψαιμι θάλασσαν,
Οὐ μὲν ἰδὼν ἀπάνευθε πόρους, οὐ νηὶ περήσας.
Οὐ γάρ μοι βίος ἐστὶ μελαινάων ἐπὶ νηῶν,
Οὐδέ μοι ἐμπορίη πατρώϊος, οὐδ' ἐπὶ Γάγγην
Ἔρχομαι, (οἷά τε πολλοὶ Ἐρυθραίου διὰ πόντου,
Ψυχῆς οὐκ ἀλέγοντες, ἵν' ἄσπετον ὄλβον ἕλωνται)
Οὐδὲ μὲν Ὑρκανίοις ἐπιμίσγομαι, οὐδ' ἐρε[illegible]
Καυκασίας [3] κνημῖδας Ἐρυθραίων τ' Ἀριηνῶν·
Ἀλλά με Μουσάων φορέει νόος, αἵτε δύνανται
Νόσφιν ἀλημοσύνης πολλὴν ἅλα μετρήσασθαι
Οὔρεά τ' ἤπειρόν τε καὶ αἰθερίην ὁδὸν ἄστρων.
Ἀλλ' εἴη τοι [4] σχῆμα περίδρομον ἀμφιέλικτον

τάχα μὲν ἐν μιᾷ λέξει, τάχα δὲ καὶ ὡς ἐκ δύο σύνθετον, τοῦ εὖ καὶ τοῦ ἄν. Ἰστέον δὲ ὅτι αἱ Βάκχαι αἱ τοῦ Διονύσου ὀπαδοὶ τοὺς ἀμπέλους ἀλληγοροῦνται. τροφοὶ γὰρ αὗται τοῦ εἰς οἶνον ἐκλαμβανομένου Διονύσου. αἱ δὲ Διονυσιακαὶ νεβρίδες τὴν τῶν σταφυλῶν ἐν χροιᾷ αἰνίττονται πολυειδειαν. πολύχροοι γὰρ καὶ αἱ νεβρίδες, καὶ ποικίλαι τοῖς στίγμασιν. ἢ καὶ τὸ τῶν μεθυόντων ὑπεμφαίνουσιν ἀγενές· δῆλον γὰρ ὁ νεβρὸς, ἀπὸ τῆς φυζακινῆς ἐλάφου νεογνὸν, οὗ δορὰ ἡ νεβρίς. ἢ καὶ διότι ποικίλοι τὰς εἰς νοῦν, διὰ τὸ εὐμετάβολον, οἱ μεθύοντες. ποικίλον δὲ καὶ ἡ νεβρὶς, διὰ τὸ πολύστικτον.

1. Ὅτι ὥσπερ Ἡσίοδος ἐν τοῖς περὶ τοῦ πλέειν λέγει, ὅτι

Λέξω ———

Οὔτι τι ναυτιλίης σεσοφισμένος, οὔδέ τι νηῶν.

οὐ γάρ ποτε νηὶ ἔπλευσα, καὶ τὰ ἑξῆς. οὕτω νοεῖν ὅτι ὡς Μουσῶν ὑποφήτης οἶδε πάντα. οὕτω καὶ οὗτος φησὶν [illegible] καταγράψομαι καὶ τὴν Κασπίαν θάλασσαν, οὔτε ἰδὼν αὐτὴν, οὔτε νηὶ περήσας. εἶτα, πλατύνων θεατρικῶς τὸ νόημα, φησὶν, Οὐ γάρ μοι βίος ἐστὶ μελαινάων ἐπὶ νηῶν· οὐδέ μοι ἡ ἐμπορεία πατρώϊος, οὐδ' ἐπὶ Γάγγην ἔρχομαι, οὐδὲ τὰ καὶ τὰ ποιῶ, οἷά περ οἱ ἄλλοι, ψυχῆς, φησὶν, οὐκ ἀλέγοντες, ἵνα πολὺν ὄλβον ἕλωνται. τοῦτο δὲ γνωμικῶς καὶ παροιμιακῶς ἐπὶ τῶν τοῦ πλοῦ ἀφειδούντων λέγεται. ἀλλά με, φησὶ, Μουσῶν φέρει νόος· τουτέστιν αἱ ἐκ τῶν μαθήσεων γνώσεις, αἳ δύνανται δίχα πλάνης πολλὴν ἅλα μετρήσασθαι, οὔρεά τε, ἤπειρόν τε, καὶ αἰθερίην ὁδὸν ἄστρων. Καὶ σημείωσαι ὅτι ὁ Διονύσιος τοιοῦτον βουλόμενος εἰσάγει καὶ τὸν αὐτοῦ [illegible] χροιὰν,

Indorum è bello recipientes hoſpitio exceperunt,
Atque cum Bacchidibus ſacram choream duxerunt,
Cingula [*balteos*] & hinnulorum pelles pectoribus injicientes,
Euoe Bacche clamantes: ipſe autem animo amplexatus eſt deus
Illorum hominum nationem & ſedes [*domicilia*] illius terræ.
Poſt hos vero Caſpium fluctuat mare:
Facile autem tibi & hoc deſcripſerim mare,
Qui tamen non vidi procul meatus, neque navi eo trajeci.
Non enim mihi vita eſt in atris [*atra pice oblitis*] navibus,
Neque mihi mercatura eſt paterna, neque ad Gangem
Proficiſcor, (ut multi Rubrum per mare,
De vitâ non ſolliciti, quo immenſas divitias conſequantur)
~~Nec cum~~ Hyrcaniis commercium mihi eſt, neque veſtigo
Saltus qui in pede Caucaſi & rubeorum Arianorum:
Verum me Muſarum agitat mens, quæ quidem poſſunt
Abſque vagatione magnum mare metiri,
Montesque & continentes, & ætherium curſum ſiderum.
Verum fuerit ſane forma rotunda, undique ſinuoſa,

κρουστὴν, τὴν περιοῦσαν πραγματείαν ἐπεσκέψατο, ὑφ᾽ ἧς καὶ ἐκεῖνος, ὡς [illegible] σουσι φερόμενος, τοῦ Διονυσίου [illegible] ω ἴσως ὅμοιος. Ὅρα δὲ ὅτι τὸ περιηγήσασθαι, ἐνταῦθα καταγράψασθαι εἶπε, καὶ μετρήσασθαι, εἰπὼν, καταγράψομεν θάλασσαν, καὶ πολλὴν ἄλλα μετρήσασθαι. τούτῳ δὲ πάντως ὅμοιοι καὶ τὸ γῆν μετρήσασθαι, ἐξ οὗ τὸ γεωμετρεῖν συντίθεται. Ὁμηρικὴ δὲ ἡ λέξις, ληφθεῖσα ἐκ τοῦ,

Ὄφρα τὴν ὅλην ἀναμετρήσαιμι Χάρυβδιν.

2. Ὅτι ἔοικε καὶ Ἐρυθραῖός τις εἶναι Καύκασος. εἶγε, φησὶν ὁ Διονύσιος, Καυκασίδας κνημίδας ἐρυθραίων Ἀριανῶν. [illegible] δὲ [illegible]σειν, Καυκασίας κνημίδας ἐρυθραίων τῶν Ἀριανῶν, ἵνα λέγῃ, [illegible] ἐροῦντα τὸ βόρειον Καύκασον, καὶ τὴν Ἀριανὴν χώραν, περὶ ἧς ἐν τοῖς ἑξῆς λεχθήσεται. Καὶ ὅρα ὅπως τοὺς τῶν ὀρῶν κνημοὺς, ἤτοι πόδας, κνημῖδας εἶπεν ὑποκοριστικῶς, ἢ μᾶλλον παρωνύμως, κατὰ ἰδίαν δεινότητα. ὡς που καὶ τὸν πορθμὸν πορθμίδα εἶπε, καὶ τὴν Κασπίαν δὲ θάλασσαν, Κασπίδα ὁμοίως ἐρεῖ.

3. Ὅτι ὁ Διονύσιος μὲν περίδρομον ἢ περίτροχον ἀμφιέλικτον τὸ τῆς Κασπίας θαλάσσης σχῆμά φησιν, ὡς οἷα κυκλοτερές· καὶ τῷ ὠκεανῷ αὐτὴν συμμιγνύειν. φησὶ γὰρ, ὀξὺ δ᾽ ἐπ᾽ ἄρκτους ἑλκομένη ἐπιμίσγεται ὠκεανῷ. καὶ οὕτω μὲν ὁ Διονύσιος, ὅς γε καὶ στόμα ἔοικε παραδιδόναι, καθ᾽ ὃ δηλαδὴ εἰς αὐτὴν ὁ ὠκεανὸς ἀπερεύγεται, ὡς καὶ ἐν ἀρχαῖς τοῦ βιβλίου φαίνεται. Πτολεμαῖος δὲ οὔτε στόμα αὐτῆς τοιοῦτον οἶδεν· ὅς γε καὶ περιοδεύεσθαί φησι κύκλῳ αὐτὴν τοῖς

περιζεύχ-

Πάσης Κασπίης μεγάλης ἁλός· οὐκ ἂν ἐκείνην
Νηῒ περήσειας τριτάτης ἐπὶ κύκλα σελήνης·
Τόσσος γὰρ [1] πόρος ἐστὶν ἀμείλιχος. ἂψ δ' ἡ μετ' ἄρκτους
Ἑλκομένη, προχοῇς ἐπιμίσγεται ὠκεανοῖο.
Ἡ δὴ [2] πολλὰ μὲν ἄλλα μετ' ἀνδράσι θαύματ' ἀέξει,
Φύει δὲ κρύσταλλον, ἰδ' ἠερόεσσαν [3] ἴασπιν,
Ἐχθρὴν Ἐμπούσῃσι, καὶ ἄλλοις εἰδώλοισι.
Πάντα δέ τοι ἐρέω ὅσα μὲν πέρι φῦλα νέμονται,
Ἀρξάμενος πλευρῆς ζεφυρίτιδος ἐκ Βορέαο.
Πρῶτοι μὲν [4] Σκύθαι εἰσὶν, ὅσοι Κρονίης ἁλὸς ἄγχι
Παρραλίην ναίουσιν ἀνὰ στόμα Κασπίδος ἅλμης.
Οὖννοι [5] δ' ἑξείης, ἐπὶ δ' αὐτοῖς [6] Κάσπιοι ἄνδρες·
Ἀλβανοί τ' ἐπὶ τοῖσιν Ἀρήϊοι, οἵ θ' ὑπὲρ αἰ .

πιζούσι. καὶ οὐδὲ κυκλοτερῆ αὐτὴν ἱστορεῖ, ἀλλὰ σφενδόνῃ ἐοικυῖαν ὑποτίθεται· ὁποῖον ὁ Διονύσιος τὸ τῆς οἰκουμένης ἔθετο σχῆμα. διχῆ τοίνυν οὕτω διαφερομένων τῶν σοφῶν, τὰ μὲν περὶ τοῦ σχήματος τῆς θαλάσσης ταύτης μεμενήκασιν ἴσως αὐτοῖς ἀκατάλλακτα· ἡ δὲ λοιπὴ διαφορὰ, ὡς ἐν ἀρχαῖς ἐῤῥέθη, συμβιβάσασαι, παρὰ τῶν παλαιῶν διαιτηθεῖσα καλῶς. εἰ γὰρ ἐξ ἀδήλων πηγῶν ὁ ὠκεανὸς τὸ Κάσπιον ἀναδίδωσι πέλαγος, σώζοιτο ἂν καὶ ὁ τοῦ Πτολεμαίου καὶ ὁ τοῦ Διονυσίου λόγος, ὡς ἐν τοῖς φθάσασι γέγραπται. καθ' ὃ μὲν γὰρ ἐξ ὠκεανοῦ τὸ Κάσπιον ὕδωρ, ἀληθεύει ὁ Διονύσιος, ἐρεύγεσθαι εἰπὼν αὐτὸ διὰ τὸν ὠκεανόν· εἰ δὲ ἄδηλοι αἱ πηγαὶ, καὶ οὐ φαίνεται τὸ στόμα, ἀληθεύει καὶ ὁ Πτολεμαῖος.

1. Ὅτι τὴν Κασπίαν θάλασσαν ὁ Διονύσιος πόρον ἀμείλιχον λέγει, ἔτι δὲ καὶ μεγάλην θάλασσαν. διὰ τί δὲ μεγάλην; ὅτι οὐκ ἄν, φησιν, ἐκείνην νηῒ περάσειας τριτάτης ἐπὶ κύκλα σελήνης, ὅ ἐστιν, ἐπὶ μῆνας τρεῖς· δηλονότι κατὰ τὴν κύκλῳ περίοδον. ἄλλως γὰρ ἀπέρατός ἐστι, μῆκος μὲν πλοῦν ἔχουσα τοῖς ἐρέσσουσιν ιε΄. ἡμερῶν, εὖρος δὲ ὀκτὼ ἡμερῶν, ὅπου ἐστὶν εὐρυτάτη ἑαυτῆς, κατὰ τὸν Ἡρόδοτον. ἐντεῦθεν δὲ σημειῶσαι καὶ ὅτι οὐκ ἀκριβῶς ἐστι κυκλοτερὴς ἡ Κασπία θάλασσα, ὡς τάχα ὁ περιηγητὴς ὑποτίθεται, ἀλλὰ ἐπιμήκης, ὡς καὶ ὁ Πτολεμαῖος φησιν.

2. Ὅτι πολλὰ καὶ ἄλλα θαύματα ἡ Κασπία ἐν ἀνδράσιν αὔξει, ... κρυστάλλους λίθους, καὶ ἴασπιν ἠεροέσσαν, ὅ ἐστιν ἀερώδη, σκοτεινὴν, ἐχθρὰν Ἐμπούσαις, καὶ ἄλλοις εἰδώλοις. δοκεῖ γὰρ ἀλεξίκακος εἶναι ἡ λίθος αὕτη, καὶ ἀποτροπιαστικὴ φασμάτων. ὧν ἕν ἐστι καὶ ἡ Ἔμπουσα, δαιμόνιόν τι περὶ τὴν Ἑκάτην, ἑνὶ ποδὶ δοκοῦν δήκεσθαι· ὅθεν καὶ παρονομάζεται, ὡς εἴ τις εἴπῃ, μονόπους ποδὶ ζῶον· ὡς τοῦ ἑτέρου ποδὸς χαλκοῦ ὄντος, κατὰ τὸν μῦθον.

3. Ἐν δὲ τοῖς ἑξῆς ἐρεῖ καὶ ἑτέραν ἴασπιν ὑδατόεσσαν. ὅτι δὲ ἵνα δαιμόνια ὕλαια πτοοῦνταί τινας, πολλοῖς δοκεῖ, ὡς καὶ ἐν Ὀδυσσείᾳ εἴρηται.

4. Ὅτι Σκύθαι Κρονίας ἁλὸς ἄγχι εἰσί. περὶ ὧν, οἷοι τὸν βίον εἰσὶν, ἤδη ἄνω γέγραπται.

Totius Caſpii magni maris: non illud
Navi trajeceris tertiæ ad orbes lunæ; [triones
Tantus namque trajectus eſt immanis. retro autem ad ſepten-
Protractus, gurgitibus commiſcetur oceani. [cit,
Quod certe multa quidem alia inter homines miracula produ-
Gignit autem cryſtallum, atque aërei coloris jaſpim,
Infeſtam Empuſis, & aliis ſpectris. [bitant,
Omnes autem tibi referam quotquot ipſum gentes circumha-
Orſus à latere occiduo à borea.
Primi quidem Scythæ ſunt, qui Saturnium prope mare
Maritimam oram incolunt ad oſtium Caſpii maris.
Unni autem deinceps; poſt ipſos autem Caſpii viri:
Albanique poſt hos Martii, quique ſuper terram

γέγραπται. καλεῖσθαι δὲ λέγονται Σκύθαι, ἢ παρὰ τὰ σκύτη ἃ περιβέβληνται· ἢ παρὰ τὸ σκύζεσθαι, ἤτοι ὀργίζεσθαι, ὀργίλοι γάρ εἰσιν· ἢ ἀπὸ Σκύθου υἱοῦ Ηρακλέος, καθὰ καὶ ἀλλαχοῦ γέγραπται. ἦσαν δὲ Σκύθαι καὶ Θρᾴκιον ἔθνος, οἳ καὶ Νομαῖοι ἐλέγοντο.

5. Οτι Οὖννοι, ἢ Θοῦννοι, μετὰ τοῦ θ στοιχείου, Κάσπιον ἔθνος εἰσὶ Σκυθικόν. μάλιστα δὲ προσθετέον τοῖς γράφουσι Οὔννους, δίχα τοῦ θ. φέρεται γοῦν καὶ ἐν τῇ Σιμοκάττου οἰκουμενικῇ ἱστορίᾳ, Οὔννους τοὺς πρὸς τῷ βορρᾷ τῆς ἕω, οὓς Τούρκους Πέρσαι καλοῦσιν, οὕτω ποτὲ πολυχρύσους γενέσθαι, ὡς καὶ κλίνην χρυσῆν σφυρηλατεῖν, καὶ τραπέζας, καὶ θρόνους, καὶ βήματα, εἰσπραττομένους ἐκ τῶν Μήδων, ἠρεμίας προφάσει, τεσσαράκοντα χιλιάδας χρυσῶν. ὕστερον μέντοι φορολογηθῆναι τοὺς τοιούτους Οὔννους ὑπὸ Βαβυλωνίων ἱστοροῦσιν. οὐ μόνον δὲ ὁ Σιμοκάττος, ἀλλὰ καὶ πολλοὶ πίστεως ἄξιοι τοὺς Οὔννους ἔθνος ἱστοροῦσι Σκυθικὸν ἀξιόλογον.

6. Οτι ὥσπερ οἱ ῥηθέντες Οὖννοι Σκύθαι εἰσὶν, οὕτω καὶ οἱ Κάσπιοι μετ' αὐτοὺς ὄντες, ἔθνος λόγου ἄξιον· ἀφ' ὧν καὶ ἡ θάλασσα Κασπία καλεῖται, ὡς καὶ ἀπὸ τῶν Υρκανίων, Υρκανία. παρ' οἷς καὶ τῶν φύλλων ἀποῤῥεῖν μέλι ἡ ἱστορία φησί, καὶ ἡ ἄμπελος πολυφορεῖ· καὶ ἡ συκῆ δὲ οὕτω λέγεται πλουτεῖν τῷ καρπῷ, ὡς ἐνίας καὶ εἰς μεδίμνους ἑξήκοντα πληθύνειν τὸν καρπόν. ἐκεῖ δὲ καὶ τὸ ἔθνος οἱ Αλβανοί, ποιμενικοί, καὶ μετρίως πολεμικοί, μεταξὺ Ιβήρων καὶ Κασπίας· ὧν Κυκλώπειος, φασίν, ὁ βίος, τουτέστιν εὐδαίμων καὶ ἄπονος· οἷς ἡ γῆ πολλαχοῦ ἅπαξ σπαρεῖσα, τοῦ λοιποῦ δὶς καὶ τρὶς ἄσπαρτον φέρει καρπόν. ἁπλοῖ δέ εἰσι, καὶ οὐκ οἴδασι νόμους, οὐδὲ ἀριθμεῖν οἴδασι πλεῖον τῶν ἑκατόν. γλῶσσαι δὲ αὐτῶν, κατὰ τὸν Γεωγράφον, ἓξ καὶ εἴκοσιν. ἐκεῖ δὲ καὶ οἱ Καδούσιοι, κατὰ τὸν Διονύσιον, ὧν τραχεῖα ἡ γῆ· ἄνδρες δεινοὶ πεζομαχεῖν, καὶ ἀκοντισταὶ ἄριστοι, ὡς ὁ Γεωγράφος ἱστορεῖ, καὶ οἷοι ἐν τοῖς τραχέσι πεζοὶ ἀντὶ ἱππέων διαμάχεσθαι. τούτοις δὲ ἀγχιγείτονες Μάρδοι καὶ Υρκάνιοι, καὶ Απυροι, οὓς Ταπύρους φησὶν ὁ Γεωγράφος, ἀρχομένους ἀπὸ τοῦ τ. οἳ ἐκ γυναικὸς δύο ἢ τρία ἀπολόμενοι τέκνα, ἐκδιδόασι τὸ λοιπὸν τὰς γυναῖκας ἑτέροις.

Τρηχεῖαν ναίουσι Καδούσιοι. ἄγχι δὲ Μάρδοι,
Ὑρκάνιοι, Τάπυροί τ᾽· ἐπὶ δέ σφισιν ὁλκὸν ἑλίσσει
Μάρδος[1], Δερκεβίων τε καὶ ἀφνειῶν πόμα Βάκτρων·
Ἀμφοτέρων γὰρ μέσσος ἐς Ὑρκανίην ἅλα βάλλει.
Ἀλλ᾽ ἤτοι Βάκτροι μὲν ἐπ᾽ ἠπείροιο νέμονται
Χώρην εὐρυτέρην, κνημοῖς ὑπὸ [2] Παρνησοῖο·
Δερκέβιοι δ᾽ ἑτέρωθεν, ἐφ᾽ ὕδασι Κασπίοισι.
Τοὺς δὲ μετ᾽, ἀντολίηνδε, [3] πέρην κελάδοντος Ἀράξου
Μασσαγέται ναίουσι, θοῶν ῥυτῆρες ὀϊστῶν·
Ἀνέρες, οἷς μήτ᾽ αὐτὸς ἐγώ, μήθ᾽ ὅς τις ἑταῖρος
Ἐμπελάσαι· μάλα γάρ τε κακοξεινότεροι ἄλλων.
Οὐ γάρ σφιν σίτοιο μελίφρονός ἐστιν ἐδωδή,
Οὐδὲ μὲν οὐδ᾽ οἶνος μεταδήμιος· ἀλλὰ γὰρ ἵππων
Αἵματι μίσγοντες λευκὸν γάλα, δαῖτα τίθενται.
Τοῖς δ᾽ ἔπι, πρὸς Βορέην, Χωράσμιοι· οἷς ἔπι γαῖα
Σογδιάς, ἧς διὰ μέσσον ἑλίσσεται [4] ἱερὸς Ὦξος,

1. Ὅτι Μάρδος ὁ ποταμός, Δερκεβίων τε καὶ ἀφνειῶν Βάκτρων ἐστὶ πόμα, εἰς Ὑρκανίαν μὲν βάλλων θάλασσαν, μέσος δὲ ἀμφοτέρων τούτων τῶν ἐθνῶν ἑλισσόμενος.

2. Ὅτι Παρνησοῦ τινος ὄρους Βακτρίου ἐνταῦθα ὁ Διονύσιος μέμνηται· καὶ ζητητέον εἴτε οὕτω γραπτέον αὐτό, ὁμωνύμως τῷ Εὐρωπαίῳ Παρνασσῷ, εἴτε καὶ Παροπαμισσὸν ὀνομαστέον αὐτό· οὕτω γὰρ πολλὰ τῶν ἀντιγράφων ἔχουσι. μεμνήσεται δέ που καὶ ὁ περιηγητὴς ὄρους Παροπαμισσοῦ.

3. Ὅτι πέραν Ἀράξου πρὸς ἀνατολὰς οἱ Μασσαγέται, ἀξικώτατοι καὶ κακοξενώτατοι· ἔθνος μέγα καὶ ἄλκιμον· παρ᾽ οἷς Κῦρος ἐτελεύτησε, βασιλευούσης Τομυρίδος· ὧν ἱστορῶν τὴν ἀγριότητα, φησίν, ὅτι αὐτοῖς οὐ σίτου ἐστὶ μελίφρονος ἐδωδή, οὐδὲ μὴν οὐδὲ οἶνος μεταδήμιος, ἤτοι ἐνδήμιος, ἀλλ᾽ ἵπποι αἵματι μίσγοντες λευκὸν γάλα, ζῶσι. διὸ καὶ εὔχεται ὁ Διονύσιος ἐνδιαθέτως, ὡς καὶ πρὸ ὀλίγου ἐῤῥέθη σαφέστερον, ὅτι μήτ᾽ αὐτὸς ἐγώ, μήθ᾽ ὅς τις ἐμοὶ ἑταῖρος ἐμπελάσαι αὐτοῖς· μάλα γάρ τε κακοξεινότεροι ἄλλων. καὶ ὅρα ὅτι τὸν ἄλλων μελίφρονα οἶνον λεγ[illegible]τος σῖτον ἔφη μελίφρονα. Σημειῶσαι δὲ καὶ ὅτι καὶ οὗτος τὸ κακοξεινότερος τὴν παραλήγουσαν ἀντὶ μακρᾶς ἐδέξατο· καθὰ καὶ ὁ Ποιητὴς ἐν τῇ Ὀδυσσείᾳ, ἔνθα καὶ ἐῤῥέθη τὰ εἰκότα. Ἰστέον δὲ ὅτι ἠδύνατο μὲν ἐκφυγεῖν τὴν κακομετρίαν ὁ Διονύσιος, σχηματίσας, ὥσπερ καὶ πρὸ τούτου ἐκ τοῦ αἰδοῖος τὸ αἰδοιέστερος Ἰωνικῶς, οὕτω καὶ ὧδε ἐκ τοῦ κακόξεινος, τὸ κακοξεινέστερος· ἀλλ᾽ ἔοικε θελῆσαι μᾶλλον συγχωλᾶναι τῷ Ὁμηρικῷ μέτρῳ, ἤπερ ἄλλως ὀρθὸν προαγαγεῖν τὸ ἔπος, καὶ ἄσφαλτον. Φασὶ δὲ ἀρε[illegible]εῖναι παρὰ τοῖς Μασσαγέταις [illegible]τον, ὅταν γηράσαντες συγκατακοπῶσι κρέ[illegible]ροβάτων, καὶ βρωθῶσι. ἀμπίσχονται δὲ [illegible]

καὶ

Aſperam habitant Caduſii. prope autem Mardi,
Hyrcaniique, Tapyrique: poſt autem ipſos tractum ſinuat
Mardus, Dercebiorumque & divitum potus Bactrorum;
Amborum namque medius in Hyrcanium mare effunditur.
Sed nimirum Bactri quidem in continente poſſident
Regionem latiorem, ſub jugis Parnaſſi:
Dercebii autem altera ex parte, ad undas Caſpias.
Hos vero poſt, orientem verſus, trans reſonantem Araxem
Maſſagetæ degunt, velocium emiſſores ſagittarum:
Viri quibus nec egomet, neque quiſquis eſt ſodalis
Appropinquet: multo namque inhoſpitaliores ſunt aliis.
Neque enim ipſis ſuavis frumenti eſt cibus,
Neque ſane vinum indigenum [*populare*:] ſed equorum
Sanguini miſcentes candidum lac, epulas apponunt.
Hos autem poſt, ad boream, Choraſmii: poſt quos terra
Sogdiana, cujus per medium volvitur ſacer Oxus.

χῶν δέρματα· καὶ Ἥλιον δεσπότην ἐπιγράφονται, καὶ ἵππον αὐτῷ θύουσιν, ὡς ταχίστῳ, φασὶ, τὸ πάντων τῶν θνητῶν τάχιστον. χρυσὸς δὲ αὐτοῖς καὶ χαλκὸς ἄπλετος. σιδήρῳ δὲ χρῶνται οὐδὲν, ὅτι μηδὲ ἔχουσιν. Ἀράξης δὲ καλεῖται ὁ ῥηθεὶς ποταμὸς, ὡς ἀπαράξας τὴν συνέχειαν τῶν ἐκεῖ ὀρῶν καὶ διεκδύς· καθάπερ καὶ ὁ Πηνειὸς, ὁ νῦν Σαλαμβρίας καλούμενος, τὴν Ὄσσαν τοῦ Ὀλύμπου ἀπέρρηξε· διὸ καὶ, κατὰ τὴν ἱστορίαν τοῦ Γεωγράφου, Ἀράξης ἐκλήθη ποτὲ καὶ ὁ Πηνειὸς, ὡς καὶ αὐτὸς ἀπαράξας τὴν Ὄσσαν τοῦ Ὀλύμπου, ὅτε σεισμῷ τὰ Τέμπη τὰ Θετταλικὰ ῥαγέντα διέστησαν. τοῦ δὲ Μασσαγετικοῦ τούτου Ἀράξου μέμνηται καὶ Αἰσχύλος, καὶ εὑρίσκεται καὶ ἐκεῖνος ἀπὸ τοῦ ἀράσσειν καλεῖσθαι αὐτόν. Ἡρόδοτος δέ φησι μείζονα μὲν αὐτὸν εἶναι τοῦ Ἴστρου, ῥέοντα ἐκ Ματιανῶν, καὶ νήσους ἔχειν μεγάλας συχνάς· στόμασι δὲ τεσσαράκοντα ἐκδιδόναι εἰς ἕλη καὶ τενάγη· ἑνὶ δὲ προσρέειν εἰς τὴν Κασπίαν.

4. Ὅτι Ὦξος ὁ ποταμὸς, ὃν καὶ ἱερὸν οὗτος καλεῖ, ἐκ τοῦ Ἠμωδοῦ ὄρους διὰ τῆς Σογδιάδος γῆς ἑλισσόμενος εἰς τὴν Κασπίδα βάλλει. καὶ ὄρη τὰ Κασπίδα, παρωνύμως καὶ αὐτὸ λεχθὲν, κατὰ τὴν τοῦ Διονυσίου συνήθειαν. ὄρος δὲ τὸ Ἠμωδὸν, Ἰνδικὸν, πρὸς ταῖς τοῦ Διονύσου στήλαις· ὅπερ τινὲς προπαροξυτόνως Ἤμωδον λέγουσι, καθὰ καὶ τὸ Ἴμαιον, ὅπερ ἐστὶ τμῆμα τοῦ Ταύρου. προϊὼν δὲ ὁ Διονύσιος πληθυντικῶς Ἠμωδὰ ὄρη ἐρεῖ τὸ αὐτό. ἡ δὲ Σογδιὰς γῆ, καὶ Σογδιανὴ λέγεται, ὅπου ἱστοροῦσι τὴν ἀναλ[illegible] πέτραν, ἣν Ἀλέξανδρος εἷλε πολλῇ σπουδῇ τῶν Μακεδόνων· ἧς πτηνοῖς στρατιώταις εἴκαζον οἱ βάρβαροι σὺν γέλωτι, ὁπηνίκα τὴν ἀρχὴν τῇ ἁλώσει ἐπέβαλλον. Ἱστέον δὲ ὅτι ἐνταῦθα [illegible] περὶ τὸν Ὦξον, ὡς ἡ ἱστορία φησὶ, στρατοπεδεύοντος Ἀλεξάνδρου, οὐ μακρὰν τῆς αὐτοῦ σκηνῆς, πηγὴ ὕδατος εὑρίσκεται, καὶ ἄλλη ἐλαίου, πλη-

Ὅς τε λιπὼν Ἠμωδὸν ὄρος, μετὰ Κασπίδα βάλλει.
Τὸν μέτ', ἐπὶ προχοῇσιν [1] Ἰαξάρταο νέμονται
Τόξα Σάκαι φορέοντες, ἃ μηκέτις ἄλλος ἐλέγχοι
Τοξευτής· οὐ γάρ σφι θέμις ἀνεμώλια βάλλειν·
Καὶ Τόχαροι, [2] Φροῦροί τε, καὶ ἔθνεα βάρβαρα [3] Σηρῶν,
Οἵτε βόας μὲν ἀναίνονται καὶ ἴφια μῆλα,
Αἰόλα δὲ ξαίνοντες ἐρήμης ἄνθεα γαίης,
Εἵματα τεύχουσιν πολυδαίδαλα, τιμήεντα,
Εἰδόμενα χροιῇ λειμωνίδος ἄνθεσι ποίης·
Κείνοις οὔτι κεν ἔργον ἀραχνάων ἐρίσειεν.
Ἄλλοι δὲ Σκύθαι εἰσὶν ἐπήτριμοι, οἵτε νέμονται
Ἐσχατιάς· [4] περὶ δέ σφι δυσήνεμος ἐκτέταται χθών,
Χειμερίοις ἀνέμοισι λελειμμένη, ἠδὲ χαλάζαις.
Τόσσοι μὲν φῶτες περὶ Κάσπια κύματ' ἔασι.
Φράζεο [5] δ' ἐκ Κόλχων καὶ Φάσιδος ἐς δύσιν ἤδη,
Εὐξείνου παρὰ χεῖλος, ἐπιλαδὸν ἔθνεα Πόντου,

σιον αὐτῆς. καὶ ὁ μάντις Ἀρίστανδρος ἔφη ὅτι πόνων τε ἐστὶ σημεῖον, τοῦ ἐλαίου ἡ πηγή (ἀθλούντων γὰρ ἄλειμμα τὸ ἔλαιον) ἀλλὰ καὶ νίκην ἐπὶ τοῖς πόνοις σημαίνει.

1. Ὅτι μετὰ τὸν Ὦξον ὁ Ἰαξάρτης ποταμός, ὅπου οἱ Σάκαι τόξα ἔχοντες, ἃ οὐκ ἄν τις ἄλλος ἐλέγχοι τοξευτής· οὐ γάρ σφι θέμις ἀνεμώλια βάλλειν. τοῦτο δὲ παρῳδία ἐστὶ τοῦ παρ' Ὁμήρῳ ἀνεμώλια βάζειν. καὶ τὸ ἐλέγχοι δέ, ἐξ Ὁμήρου ὁ Διονύσιος εἴληφεν, εἰπόντος, μὴ σύ γε μῦθον ἐλέγξῃς, ἀντὶ τοῦ, ἀργὸν καὶ ἄπρακτον ποιήσῃς. τοῦτο δὲ τὸ ἔθνος τοὺς Σάκας καὶ σακέων φασί τινες εὑρετάς, παρωνυμίαν αὐτοῖς. ἡ δὲ ἱστορία φησὶ καὶ μεγάλα ἰσχῦσαι ποτὲ τοὺς Σάκας, καὶ μέχρις Εὐξείνου κατοικήσασθαι γῆν ἀρι[illegible] τὴν Ἀρμενίαν ἀπ' αὐτῶν κληθῆναι Σακασηνήν. ἀπολέσθαι δέ φασιν ἄρδην αὐτοὺς ὑπὸ Περσῶν πανηγυρίζοντας ἀπὸ λαφύρων. τινὲς δὲ οὕτως τοῦτο ἱστόρηνται, ὅτι τὸν Κῦρον οἱ Σάκαι ἡττήσαντες, εἶτα ἐξ ὑποστροφῆς ἐκείνου ἡττηθέντες, διὰ μέθην ἀπώλοντο. καὶ διὰ τοῦτο ἀπεδείχθη πανήγυρις ἱερὰ Περσικὴ τὰ Σάκαια. καὶ Κῦρος δὲ τὴν ἡμέραν, καθ' ἣν ἐκείνους κατέκοψεν, ἀνιερώσας πατρῴῳ θεῷ, Σάκαιαν ἀπηγόρευσεν. Ἡρόδοτος δὲ λέγει ὅτι Πέρσαι πάντας τοὺς Σκύθας καλοῦσι Σάκας.

2. Ὅτι Φροῦροι Σκυθικὸν ἔθνος βαρυτόνως, πρὸς ἀντιδιαστολὴν τοῦ φρουροί, ὅπερ ὀξυνόμενον δηλοῖ τοὺς φύλακας. τινὲς δὲ Φρῦνοι γράφουσιν, ὁμωνύμως τῷ ζώῳ· φρῦνοι γάρ, (καθὰ καὶ ὁ Φίλων γράφει) οἱ βάτραχοι. τὸ δὲ Τόχαροι (ἔθνος δὲ ὅμοιον καὶ αὐτὸ) τινὲς ὀξύνουσι, τραχεῖς εἶναι λέγοντες.

3. Ὅτι Σῆρες ἔθνος βάρβαρον Σκυθικόν, ἐξ ὧν τὰ Σηρικὰ ὑφάσματα λέγονται. οὗτοι βόας μὲν (φησὶν) ἀναίνονται καὶ ἴφια μῆλα, αἰόλα δὲ ξαίνοντες ἐρήμης ἄνθεα γῆς, εἵματα τεύχουσι πολυδαίδαλα, τιμήεντα, ἐοικότα κατὰ χροιὰν

λειμω-

Qui linquens Emodum montem, in Caſpium labitur.
Quem poſt, ad fluenta Iaxartæ degunt
Arcus Sacæ geſtantes, quos nemo alius improbaverit
Sagittarius, (non enim ipſis fas eſt incaſſum jaculari)
Et Tochari, Phrurique, & gentes barbaræ Serum,
Qui boves quidem aſpernantur & pingues oves;
Varios autem depectentes deſertæ flores terræ,
Veſtes faciunt varii artificii, pretioſas,
Similes colore pratenſis floribus herbæ:
Illis nequaquam opus aranearum certaverit.
Alii item Scythæ ſunt numeroſi, qui poſſident [porrecta,
Extremitates: circum vero ipſos tellus, quam venti infeſtant, eſt
Hybernis ventis objecta, atque grandinibus.
Tot quidem gentes circum Caſpias undas ſunt.
Obſerva autem à Colchis & Phaſide ad occaſum jam,
Euxini juxta labrum [*littus*,] turmatim gentes Ponti,

λειμωνίδος ἄνθεσι ποίας· οὕτω λεπτὰ ὥστε οὐκ ἂν ἐκείνοις ἐρίσειεν ἔργον ἀραχνάων. φασὶ δὲ καὶ τὴν βύσσον ἀπὸ βοτάνης συνάγεσθαι. Σημείωσαι οὖν ὅτι ἐξ ἀνθῶν οἱ Σῆρες ποιοῦσι τὰ ὕφη· διὸ οὐδὲ τοὺς λειμῶνας ἐῶσι καταβόσκεσθαι. ὅτι δὲ ἀπροσμιγεῖς ἀνθρώποις εἰσὶ καὶ ἀνομίλητοι οἱ Σῆρες, δῆλον ἐκεῖθεν· τῶν πωλουμένων τὸ τίμημα σακκίοις ἐπιγράψαντες ὑποχωροῦσιν. εἶτα ἐλθόντες οἱ ἔμποροι, καὶ θέντες τὴν τιμὴν, ἀναχωροῦσιν· ἐφ' οἷς ἔρχονται οἱ Σῆρες, καὶ, εἰ μὲν ἀρέσκονται, λαμβάνουσι τὴν τιμήν· εἰ δὲ μήγε, τὰ ἴδια. φασὶ δὲ μακροβιωτάτους εἶναι τοὺς Σῆρας, παρατείνοντας πέρα καὶ διακοσίων ἐτῶν. Σημείωσαι δὲ ὅτι ὁμοία τῇ ἱστορίᾳ τῶν Σηρῶν γίνεται καὶ ἔξω τῶν Ἡρακλείων στηλῶν. ἔμποροι γὰρ ἐκεῖ ἀπὸ Καρχηδόνος ἐρχόμενοι, καὶ τὰ φορτία [illegible]ιόντες, ὡς φησιν Ἡρόδοτος, [illegible]φουσι καπνόν· καὶ αὐτοὶ μὲν ἀνάγονται τοῦ αἰγιαλοῦ, οἱ δὲ ἐπιχώριοι ἐγγίσαντες, σκέπτονται τὸν φόρτον, καὶ τίθενται χρυσὸν, καὶ ἀναχωροῦσιν. οἱ δὲ Καρχηδόνιοι ἐκβάντες τῶν νεῶν, λογίζονται τὴν ἀξίαν. καὶ καταλλάσσουσιν ἀπροσαύδητοι, καὶ ἐξισώσαντες τὸ καταλλασσόμενον, ἀπαλλάσσονται. δικαίως οὖν συναλλάσσουσιν αἱ ἱστορίαι καὶ τούτους καὶ τοὺς Σῆρας παραδιδόασιν.

4. Ὅτι ἐν Σκύθαις δυσήνεμος ἐκτέταται χθών, χειμερίοις ἀνέμοις λελειμμένη καὶ χαλάζαις, ὡς καὶ ἀνωτέρω γέγραπται. περίφρασι δὲ ὧδε τὸ ἀνωτέρω ῥηθέν, λείπουσι [illegible] γαῖαν [illegible]ήταις χειμερίοις, ἐν τῷ εἰπεῖν [illegible] χειμερίοις ἀνέμοις λελειμμένη.

5. Ὅτι δυτικώτεροι Κόλχων καὶ Φάσιδος, Εὐξείνου παρὰ χεῖλος, ἰλαδόν, οἱ Βύζηρες, ἀφ' ὧν καὶ λιμὴν Βυζηρικός· καὶ οἱ Βέχειρες, Ποντικὸν ἔθνος, καὶ Σκυθικόν· ἔτι δὲ καὶ οἱ Μάκρωνες, καὶ οἱ Μοσύνοικοι, καὶ οἱ Τιβαρηνοί, καὶ οἱ Χάλυβες, περὶ ὧν κάτω λελέξεται.

1. Ὅτι

Ἄχρι Θρηϊκίου στόματος, τόθι [1] Χαλκὶς ἄρουρα.
Βύζηρές τοι πρῶτα, καὶ ἀγχόθι φῦλα Βεχείρων·
Μάκρωνες [2], Φίλυρές τε, καὶ [3] οἱ μόσσυνας ἔχουσι
Δουρατέους. τῶν δ' ἄγχι [4] πολύρρηνες Τιβαρηνοί.
Τοῖς δ' ἔπι, καὶ Χάλυβες στυφελὴν καὶ ἀπηνέα γαῖαν
Ναίουσιν, μογεροῦ δεδαηκότες ἔργα σιδήρου·
Οἵ ῥα βαρυγδούποισιν ἐπ' ἄκμοσιν ἑστηῶτες,
Οὔποτε παύονται καμάτου καὶ ὀϊζύος αἰνῆς.
Τοῖς δὲ μέτ', [5] Ἀσσυρίης παρέχυσις χθονὸς ἐκτετάνυσται·

1. Ὅτι ἡ Χαλκὶς ἄρουρα κατὰ τὸ Θρᾴκιον τοῦ Πόντου κεῖται στόμα, ἤγουν ἡ γῆ τῶν Χαλκηδονίων· ἧς Χαλκίδος τὸ ἐθνικὸν, οἱ Χαλκιδεῖς. ἐρεῖ οὖν αὐτὸς ἐν τοῖς ἑξῆς, Χαλκηδεῖς περὶ στόμα γαῖαν ἔχουσιν, Οὖδας ἐς ἀντιπέραν Βυζάντιον εἰσορόωντες. τούτους τυφλοὺς ὁ χρησμὸς ἐκάλεσε, διότι οἱ τὴν Χαλκίδα κτίσαντες Μεγαρεῖς ἐνταῦθα πρῶτα πλεύσαντες, καὶ ἀφέντες κατασχεῖν τὴν περὶ τὸ Βυζάντιον γῆν, εἵλοντο τὴν λυπροτέραν παραίαν. καὶ Μεγάβυζος δὲ μαθὼν ὅτι ἑπτακαίδεκα ἔτεσιν, ὥς φησιν Ἡρόδοτος, πρότεροι Βυζαντίων Χαλκηδόνιοι τὴν χώραν ἔκτισαν, τυφλοὺς εἶπε τοῦτον τὸν χρόνον αὐτοὺς εἶναι. οὐ γὰρ ἄν, εἰ ἔβλεπον, τοῦ καλλίονος τόπου παρόντος, ἀνθείλοντο τὸν αἰσχίονα. ἔστι δὲ καὶ περὶ Εὔβοιαν, ὡς προερρέθη, Χαλκὶς, ἡ πρότερον Εὔβοια καλουμένη· ὅθεν καὶ Χαλκιδικὰ ποτήρια, παρὰ τῷ Κωμικῷ. καὶ οἱ ἐν τῇ Σικελίᾳ δὲ κώμῃ Χαλκιδεῖς τούτων ἄποικοι τῶν ἐν τῇ Εὐβοίᾳ Χαλκιδέων. ἱστορεῖ[illegible] δὲ καὶ [illegible]ήρου καὶ χαλκοῦ μέταλλα εἶ[illegible] Εὐβοϊκὴν Χαλκίδα, καὶ ὅτι ἄριστοι ἐκεῖ σιδηρουργοί· καὶ ὅτι οὐ μόνον ἐκεῖ πρῶτον ὤφθη χαλκεῖα, ἀλλὰ καὶ πρῶτοι χαλκ[illegible] ἐκεῖ ἐνεδύσαντο Κουρῆτες μετὰ Διός. [illegible] δὲ κ[illegible]λλαι, ὡς προεγράφη, Χαλκιδ[illegible]ων μία καὶ ἡ Αἰτωλικὴ, ἀφ' ἧς τὸν Ἀχελῷον ῥεῖν εἶπεν ὁ Διονύσιος.

2. Ὅτι καὶ οἱ Μάκρωνες ἔθνος Ποντικὸν, Βεχείρων νοτιώτερον. τούτους νῦν Σάννους φαμὲν, ἰδιωτικώτερον δὲ Τζάνους, ὡς καὶ τὴν Κελσηνὴν, Κελτζηνὴν· καὶ τὴν χώραν δὲ τῶν Σάννων, Τζανικὴν λέγουσιν οἱ τὴν φράσιν ἰδιωτεύοντες.

3. Ὅτι τοὺς Μοσσυνοίκους περιφράζων ἢ ἐτυμολογῶν ὁ Διονύσιος, λέγει μόσσυνας ἔχειν δουρατέους, ἤγουν ξυλίνους. οὗτοι δὲ ἀπὸ θηρίων ζῶσι σαρκῶν καὶ ἀκροδρύων. λέγει δὲ καὶ ὁ Γεωγράφος, ἀπὸ μοσσύνων, ὅ ἐστι πύργων, αὐτοὺς ὀνομάζεσθαι. Ξενοφῶν δὲ στέατι δελφίνων χρῆσθαι τοὺς Μοσσυνοίκους ἱστορεῖ, ὡς οἱ Ἕλληνες τῷ ἐλαίῳ, καὶ κάρυα πολλὰ ἔχειν τὰ πλατέα, οὐκ ἔχοντα διαφυὴν (ἤτοι χωρισμὸν) οὐδεμίαν. καὶ παῖδας αὐτοῖς εἶναί φησι σιτευτοὺς, τεθραμμένους καρύοις ἑφθοῖς, ἁπαλοὺς, καὶ λευκοὺς σφόδρα, καὶ οὐ πολλοῦ δέοντας ἴσους τὸ μῆκος καὶ τὸ πλάτος εἶναι· καὶ οἶνον παρ' αὐτοῖς λέγει εὑρίσκεσθαι, ὃς ἄκρατος μὲν, ὀξὺς ἦν ὑπὸ αὐστηρότητος· κεραθεὶς δὲ, εὐώδης τε καὶ ἡδύς. λευκοὶ δὲ πάντες, φησὶν, οἱ ἄνδρες καὶ αἱ γυναῖκες. βαρβαρώτατοι δὲ οἱ ἐκεῖ, ἐν ὄχλῳ μὲν ποιοῦντες ἅπερ ἂν τινες ἐν ἐρημίᾳ ποιήσειαν· ἐν δὲ τῷ εἶναι μόνοι, πράττοντες ἅπερ ἂν μετ' ἀλλήλων ὄντες. καὶ γὰρ (φησὶ) καὶ ἐγέλων καὶ ἑαυτοῖς διελέγοντο, καὶ ὠρχοῦντο, ἐφιστάμενοι ὅπου τύχοιεν.

4. Ὅτι οἱ Τιβαρηνοὶ (οὓς ἡμεῖς Τιβερανοὺς φαμὲν) πολύ[illegible] εἰσὶν, ὅ ἐστι πολυπρόβατοι, πολυθρέμμονες. οἰκοῦσι δὲ, καθὰ καὶ οἱ Χαλδαῖοι, μέχρι τ[illegible]

κρᾶς

Uſque ad Thracium oſtium, ubi Chalcis tellus.
Byzeres tibi primum, ac prope [*illos*] gentes Bechirum;
Macrones, Philyreſque, & qui turres habent
Ligneas. hos vero juxta, pecore abundantes Tibareni.
Poſt hos autem, etiam Chalybes duram & ſævam terram
Habitant, laborioſi edocti fabricam ferri:
Qui quidem graviſonas [*gravifremas*] ad incudes ſtantes,
Nunquam ceſſant à labore & ærumna gravi.
Hos autem poſt, Aſſyriæ aggeſtio [*aggeratio*] terræ extenta [eſt:

χώρας Ἀρμενίας, καθὰ καὶ ὁ Γεωγράφος φησὶν, ἐφ' οἷς οἱ Χάλυβες εἰσι, στυφελὴν καὶ ἀπηνέα γῆν οἰκοῦντες, μογεροὶ δεδαηκότες ἔργα σιδήρου· οἱ βαρυγδούποις, φησὶν, ἐπ' ἄκμοσιν ἑστῶτες, οὔποτε παύονται καμάτου. τούτους τοὺς Χάλυβας ἄλλοι Χαλδαίους ἐκάλεσαν (ἔθνος δὲ εἰσι Ποντικὸν, παρὰ τῷ Θερμώδοντι) ἀφ' ὧν σίδηρος, φασὶν, ἐξάγεται ὁ πρὸς τὰ στόματα ἐπαρμόμενος, ἤτοι πρὸς τὰ στομώματα. ὅθεν καὶ Χαλυβικὸς κνώδων, καὶ, πλεονασμῷ τοῦ δ, Χαλυβδικὸς παρὰ τῷ Λυκόφρονι, ὁ ἐξ ἀρίστου σιδήρου. Ἀρριανὸς δὲ οὕτω φησὶν, "Χάλυβες πρῶτοι "ἀνθρώπων αἰτίαν ἔχουσι χαλκεύσασθαι σίδηρον". ἐξαίρει δὲ καὶ Αἰσχύλος τὸν τοιοῦτον σίδηρον. Ξενοφῶν δὲ ὀλίγους τε αὐτοὺς εἶναι λέγει, καὶ τῶν Μοσσυνοίκων ὑπηκόους. καὶ τὸν βίον αὐτῶν τοῖς πλείστοις ἀπὸ σιδηρείας εἶναι. οἱ δέ φασιν ὅτι οὗτοί εἰσιν οἱ παρὰ τῷ Ποιητῇ Ἀλιζῶνες ἢ Ἀλιζᾶνες· ὧν ἦρχεν Ὀδίος καὶ Ἐπίστροφος, ὧν καὶ ἡ παράλιος μέταλλα ἔχει πολλά, ὡς καὶ Ὁμήρῳ δοκεῖ, ἔνθα ὑπεμφαίνει καὶ Ἀλύβας εἶναι αὐτοὺς, λέγων,

Τηλόθεν ἐξ Ἀλύβης· (ἢ, Τηλόθεν ἐξ
Ἀλύβων) ὅθεν ἀργύρου ἐστὶ γενέθλη.

ὡς ἢ μετατεθείσης τῆς γραφῆς ὕστερον ἐφ' Ὁμήρου, ἀπὸ τῆς ποτε Χαλύβης εἰς Ἀλύβην· ἢ ἀνάπαλιν τῶν πρότερον μὲν ἐπὶ Ὁμήρου Ἀλύβων λεγομένων, μεταπεσόντων δὲ εἰς Χάλυβας ὕστερον. ὥσπερ αὖ πάλιν οἱ τοιοῦτοι Χάλυβες ἀπὸ τῆς κλήσεως, φασὶ, ταύτης εἰς Χαλδαίους μετέπεσαν, κατά τινα λέξεως παραφθορὰν, ἢ παραποίησιν· ἀφ' ὧν καὶ τόπος Χαλδία ἐλέγετο. χώρα δὲ Ἀρμενίας ἡ Χαλδία, ἧς μέχρις ἡ Ποντικὴ βασιλεία. τοὺς δὲ ἐκεῖσε Χάλδους λέγεσθαι ἐπικρατεῖ ἡ συνήθεια δισυλλάβως, οὐ Χαλδαίους. Χαλδαῖοι γὰρ τρισυλλάβως, οἱ ποτὲ μὲν Κηφῆνες, ἀπὸ δὲ Περσέως, Πέρσαι· Χαλδαῖοι κληθέντες ἀπὸ τινος Χαλδαίου, ὃν φασι τέταρτον ἐπὶ δέκα (ἤγουν τεσσαρεσκαιδέκατον) βασιλέα μετὰ Νίνον γενόμενον, τὴν Βαβυλῶνα οἰκίσαι, καὶ τοὺς συναχθέντας καλέσαι ἀφ' ἑαυτοῦ Χαλδαίους. λέγονται μέντοι παρά τισι καὶ οἱ περὶ Χαλκίδα Χάλδοι, Χαλδαῖοι τρισυλλάβως, κατὰ Δικαίαρχον. Ἰστέον δὲ ὅτι οἱ ἐξ Ἀλύβης, ἢ ἐξ Ἀλύβων, μετατεθῆναι τὴν γραφὴν εἰς Χάλυβας λέγοντες, ἢ ἀνάπαλιν μεταποιηθῆναι ἀπὸ Χαλύβης εἰς Ἀλύβην, παρατιθέασι καὶ ἄλλα ὀνόματα ἀλλαγέντα κατὰ μεταγωγὴν κλήσεως. οἷον οἱ παρ' Ὁμήρῳ, φασὶ, Σίντιες Θρᾷκες, Σιντοὶ ἐκλήθησαν ὕστερον. εἶτα παρὰ Ἀρχ[illegible], καὶ πάλιν Σάπαι. ὥσπερ δὲ τὰ τοιαῦτα ἐθνικὰ ὀνόματα διαφόρως παρεποιήθησαν, οὕτω καὶ τὸ τῶν Φρυγῶν. Βρύγοι γὰρ, καὶ Βρύγες, καὶ Φρύγες, ἐκλήθησαν οἱ αὐτοί.

5. Ὅτι μετὰ τοὺς [illegible] ἡ τῆς Ἀσσυρίας χθονὸς πρόχυσις ἐκτέταται· ἔνθα καὶ ὁ Θερμώδων, Σκυθικὸς κατά τινας ποταμὸς, ἀπὸ τῶν Ἀρμενίων ῥέων ὄ-

ρους,

Ἔνθ' Ἀμαζονίδεσσιν ἀπ' οὔρεος Ἀρμενίοιο
Λευκὸν ὕδωρ προΐησιν Ἐνυάλιος Θερμώδων,
Ὅς ποτ' ἀλωομένην [1] Ἀσωπίδα δέκτο Σινώπην,
Καί μιν ἀκηχεμένην σφετέρῃ περενάσσατο χώρῃ,
Ζηνὸς ἐφημοσύνῃσιν. ὁ γὰρ φιλότητος ἐραννῆς
Ἰσχανόων, πατρὸς ἀπενόσφισεν οὐκ ἐθέλουσαν.
Ἐκ τοῦ καὶ πτολίεθρον ἐπώνυμον ἄνδρες ἔχουσι.
Κείνου [2] δ' ἂν ποταμοῖο περὶ κρυμώδεας ὄχθας

ρους, ταῖς Ἀμαζόσι λευκὸν ὕδωρ προΐησι. δι' ἃς καὶ Ἐνυάλιος ὁ Θερμώδων λέγεται· οὐχ ὅτι αὐτὸς τοιοῦτος, ἀλλ' ὅτι μάχιμοι αἱ τοῦτον πίνουσαι Ἀμαζόνες· περὶ ὧν εἴρηται μὲν καὶ ἀνωτέρω, καὶ μετὰ ταῦτα δὲ ῥηθήσεται. λέγει δὲ καὶ ὅτι ὁ αὐτὸς Θερμώδων καὶ τὴν Ἀσωπίδα Σινώπην πλανωμένην ἐδέξατο, ἤγουν τὴν θυγατέρα τοῦ Ἀσωποῦ τὴν Διὸς ἐρωμένην. πλανηθεῖσα γὰρ Διὸς βουλῇ, οὐχ ἑκοῦσα παρῴκησεν ἐκεῖ. ἐξ ἧς καὶ πόλις διαφανεστάτη ὁμώνυμος αὐτῇ ἡ Σινώπη, ἡ λεγομένη καὶ Σινωπικὴ χερρόνησος, κτίσμα, κατά τινας, Κελτίου, ἀνδρὸς Κώου· ἧς, κατὰ Διόδωρον, ἄποικος ἡ Τραπεζοῦς, πόλις Ἑλληνὶς, πρὸς τῇ τῶν Κόλχων χώρᾳ κειμένη. ὁ δ' αὐτὸς Διόδωρος καὶ Μιλησίων ἄποικον τὴν Σινώπην λέγει, μέγιστον ἀξίωμα ἔχουσαν· ἐν ᾗ καὶ τὰ Μιθριδάτου βασίλεια τοῦ πρὸς Ῥωμαίους διαπολεμήσαντος. Ξενοφῶν δὲ, ἱστορήσας καὶ αὐτὸς τοὺς Σινωπεῖς οἰκεῖν μὲν ἐν τῇ Παφλαγονικῇ, Μιλησίων δὲ ἀποίκους εἶναι, φησὶ καὶ ὅτι Κοτυωρῖται καὶ Κερασούντιοι καὶ Τραπεζούντιοι δασμὸν ἔφερον τοῖς Σινωπεῦσι· λέγων καὶ ὅτι Κερασοῦς πόλις Ἑλληνὶς ἐπὶ θαλάσσῃ, Σινωπέων ἄποικος ἐν τῇ Κολχίδι χώρᾳ. Ἡρόδοτος δὲ ἱστορεῖ ὅτι “Κιμμέριοι φεύγοντες εἰς Ἀσίαν τοὺς Σκύθας τὴν χερρόνησον ἔκτισαν, ὅπου νῦν Σινώπη, πόλις Ἑλλὰς οἰκεῖται.” ὁ δὲ Γεωγράφος φησὶν ὅτι ἡ Σινωπῖτις χώρα καὶ σφενδάμνον ἔχει, καὶ ὀρεοκάρυον φύει· ἐξ ὧν αἱ τράπεζαι τέμνονται. περὶ δὲ τῆς τοῦ Ἀσωποῦ θυγατρὸς τῆς ῥηθείσης Σινώπης φασὶν, ὅτι αὕτη καὶ τὸν Δία καὶ τὸν Ἀπόλλωνα ἐξηπάτησε, τὴν παρθενίαν αἰτήσασα καὶ τὴν ἐπαγγελίαν μισθὸν συνουσίας, καὶ οὕτω κατασοφισαμένη τοὺς ἐραστὰς δεξιοῦται. οἱ γὰρ ὑπισχόμενοι παρθενίαν τῇ ἐρωμένῃ, πάντως ἑαυτοὺς τοῦ γάμου ἀποκλείουσι. δόντες μὲν γὰρ, οὐ συνελεύσονται· συνελθόντες δὲ, ψεύσονται. ἢ καὶ ἑτέρως· οὔτι δόντες τὴν παρθενίαν, συνελεύσονται αὐτῇ· πῶς γὰρ ἔτι ἐᾶν δεῖ παρθένον εἶναι; οὔτε αὖ τὴν παρθενίαν αὐτῆς ἀφαιρούμενοι, συνέλθοιεν ἄν. οὐ γὰρ διδόασι τὸν μισθόν. Ἰστέον δὲ ὅτι παρὰ τῷ Διονυσίῳ Συρία μὲν λέγεται, ἡ περὶ τὸν Λίβανον καὶ τὸ Κάσιον ὄρος, καὶ τὰ ἐκείνων ἀνώτερα, ἕως τῆς περὶ Σινώπην. Ἀσσυρία δὲ διὰ τοῦ σ αὐτῷ λοιπὸν ἡ περὶ Σινώπην γῆ, ὡς καὶ ἐν τοῖς ἑξῆς φαίνονται. Ἡρόδοτος δὲ οἶδε μὲν καὶ αὐτὸς Συρίαν τὴν παρὰ τῷ Διονυσίῳ· λέγει δὲ καὶ Ἀράβων τὰ περὶ θάλασσαν Συρίους νέμεσθαι. ἱστορεῖ δὲ καὶ Παλαιστίνους τινὰς Σύρους, καὶ Συρίαν Παλαιστίνην. καὶ ἔθνη δέ τινα παρακείμενα τῷ Εὐξείνῳ οὕτως ὀνομάζει, λέγων ὅτι Σύριοι οἱ περὶ Θερμώδοντα ποταμὸν, τὸν καὶ Παρθένιον, καὶ Μάκρωνες οἱ τούτων ἀστυγείτονες. ὁ Γεωγράφος δὲ Ἀσσυρίους μὲν οἶδε τοὺς περὶ Βαβυλῶνα καὶ τὴν κύκλῳ, ἔνθα καὶ Νῖνος πόλις, καὶ Νίσιβις· ὅπου καὶ ἡ πρὸς ἀνατολὰς τῆς Μεσοποταμίας κειμένη, ἡ λεγομένη Ἀδιαβηνὴ χώρα, οὕτω καλ-

κεινη

Ubi Amazonidibus è monte Armenio
Albam [*limpidam*] aquam immittit bellicoſus Thermodon,
Quĩ quondam errabundam Aſopi filiam excepit Sinopen,
Atque ipſam mœſtam ſua collocavit in regione,
Jovis imperio. hic enim concubitus jucundi
Cupidus, à patria abduxit invitam.
A qua etiam urbem cognominem homines habent.
Illius autem fluvii circa frigidas ripas

μένη διὰ τὸ δυσδιάβατον τῶν ἐκεῖσε ὑδάτων. Σύρους δὲ ἰδίως δίχα τῶν ἄλλων, τοὺς περὶ Κιλικίαν καὶ Αἴγυπτον καὶ Φοινίκην, καὶ τοὺς περὶ Εὔξεινον· ὧν μέρος οἴδαμεν καὶ τοὺς Σινωπεῖς. διετείνετο γάρ, φησί, τὸ τῶν Σύρων ὄνομα τὸ παλαιὸν, ἀπὸ Βαβυλωνίας, μέχρι τοῦ Ἰσσικοῦ κόλπου, κἀκεῖθεν ἕως τοῦ Εὐξείνου. οἱ γοῦν Καππάδοκες ἀμφότεροι, οἵτε πρὸς τῷ Ταύρῳ, καὶ οἱ πρὸς τῷ Πόντῳ, Λευκόσυροι, φησί, λέγονται, ὡς τινῶν καὶ ἐπικεκαυμένων τὴν χρόαν. καὶ Ἡρόδοτος δὲ οὕτω βούλεται, λέγων, Οἱ Σύροι ὑπὸ Περσῶν καλοῦνται Καππάδοκαι· καὶ πάλιν, Καππάδοκαι, οὓς ἡμεῖς Συρίους καλοῦμεν. Ἀρριανὸς δὲ τοὺς περὶ Μεσοποταμίαν Ἀσσυρίους λέγει· ἐν οἷς φησι τοὺς πρὸς Εὐφράτῃ ποταμῷ Ἀσσυρίους, ἔς τε ἐπὶ Νῖνον καὶ Βαβυλῶνα, καθ᾽ ὧν Ἀμαζόνες ἐστράτευσαν, Εὐρυπύλης ἡγουμένης αὐτῶν. καὶ τοὺς Καππάδοκας δὲ οὕτω ποτὲ ἱστορεῖ λέγεσθαι, ἐν οἷς φησι Καππάδοκα παῖδα Νίνου· ἐφ᾽ ὅτῳ Ἀσσύριοι, μεταβαλόντες τὸ ὄνομα, Καππάδοκαι ὠνομάσθησαν. Ὀππιανὸς δὲ καὶ τοὺς περὶ Τίγριν Ἀσσυρίους καλεῖ, οὓς καὶ πολυγυναικὰς ἱστορεῖ.

1. Ὅτι δὲ ἄλλοι παρὰ τοὺς Σύρους οἱ Ἀσσύριοι, δηλοῖ καὶ Ξενοφῶν ἐν τοῖς Ἑλληνικοῖς. Ἡρόδοτος δὲ δοκεῖ ἄγειν αὐτοὺς εἰς ταυτὸν, ἐν οἷς φησιν, ὅτι Ἀσσύριοι ὑπὸ μὲν Ἑλλήνων ἐκαλοῦντο Σύριοι, ὑπὸ δὲ βαρβάρων Ἀσσύριοι ἐκλήθησαν· ὡς εἶναι τὸ μὲν Σύρος, καὶ τὸ Σύριος, λέξεις Ἑλληνικάς· βάρβαρον δὲ τὸ Ἀσσύριος. τοιοῦτον δέ τι βούλεται καὶ ὁ τὴν Σιδωνίαν θάλασσαν, ἤγουν τὴν ἐν τῇ Φοινικικῇ Συρίᾳ, ὀνομάσας Ἀσσυρίαν θάλασσαν. Πλούταρχος δὲ καὶ αὐτὸς ὁμοίως τῷ Γεωγράφῳ, ἐν παραλλήλῳ τινὶ, ἐν ᾧ τὰ περὶ Μιθριδάτου κεῖται, ἐμφαίνει τοὺς περὶ Σινώπην δύνασθαι Σύρους λέγεσθαι. φησὶ γὰρ ὅτι τὴν Σινώπην Σύριοι κατεῖχον, ἀπὸ Σύρου γενόμενοι τοῦ Ἀπόλλωνος, ὡς λέγεται, καὶ Σινώπης τῆς Ἀσωπίδος. Ἱστέον δὲ ὅτι κατὰ τοὺς παλαιοὺς παρὰ τῷ Ἐρατοσθένει Ἄσσυρες οἱ Ἀσσύριοι λέγονται, ὡς καὶ περὶ τούτου ἐρρέθη, ἀπὸ εὐθείας τῆς ὁ Ἄσσυρ· καὶ ὅτι πρόχυσιν ἐκάλουν οἱ παλαιοὶ κυρίως, τὴν πρόχωσιν ἢ πρόσχωσιν λεγομένην, ἔνθα δὴ ποταμὸς ἐπαγόμενος ἰλὺν ἀποτίθεται, ὡς καὶ ὁ Νεῖλος περὶ τὴν Αἴγυπτον. οἱ δ᾽ αὐτοὶ λέγουσι καὶ τὸν τόπον τὸν περὶ τὴν Σινωπαίαν Ἀσσυρίαν, τοιαύτην πρόχυσιν εἶναι τοῦ Ἅλυος· καὶ δῶρον αὐτοῦ τὴν ἐκεῖ γῆν, ὡς [illegible] Νείλου τὴν Αἴγυπτον. οὕτω δὲ καὶ ἄλλα πολλὰ πεδία, κατὰ τὸν Ἀρριανὸν, ποταμῶν εἰσι ποιήματα· οἷον τὸ Ἕρμου πεδίον, καὶ τὸ τοῦ Καΰστρου τὸ Λύδιον, καὶ Μαιάνδρου τὸ Καρικόν. καὶ ὁ Γάγγης δὲ πεδίον τι ἐν Ἰνδίᾳ προσέχωσεν· ὥστε κυκλολεκτεῖ ὁ Διονύσιος, λέγων ὅτι ἐκπιαίνουσι μετὰ Χάλυβας Ἀσσυρίης χθονὸς πρόχυσις, τουτέστιν, ἡ τῆς ἐκεῖ γῆς ἐκ τοῦ Ἅλυος πρόχωσις.

2. Ὅτι περὶ τὰς τοῦ Θερμώδοντος κρυμώδεις ὄχθας τέμνοις ἂν κρυστάλλου λίθον καθαρὸν, οἷα πάχνην χειμερίαν

Τέμνοις κρυστάλλου καθαρὸν λίθον, οἷά τε πάχνην
Χειμερίην· δήεις δὲ καὶ ὑδατόεσσαν ἴασπιν.
Ἶρις [1] δ' ἑξείης καθαρὸν ῥόον εἰς ἅλα βάλλει.
Τῷ δ' ἐπιμορμύρουσι [2] ῥοαὶ Ἅλυος ποταμοῖο,
Ἑλκόμεναι βορέηνδε, Καραμβίδος ἐγγύθεν ἄκρης,
Ἀρξάμεναι τοπρῶτον ἀπ' οὔρεος Ἀρμενίοιο.
Παφλαγόνες δ' [3] ἐπὶ τοῖσιν ἐπ' ἠιόνεσσι νέμονται,
Καὶ Μαριανδυνῶν ἱερὸν πέδον· ἔνθ' ἐνέπουσιν,
Οὐδαίου Κρονίδαο μέγαν κύνα, χαλκεόφωνον,
Χερσὶν ἀνελκόμενον μεγαλόφρονος Ἡρακλῆος,
Δεινὸν ἀπὸ στομάτων βαλέειν [4] σιαλώδεα χυλόν.

εὑρήσεις δὲ καὶ ὑδατόεσσαν ἴασπιν, ἑτέραν οὖσαν πέτραν παρὰ τὴν ἱστορηθεῖσαν πρὸ μικροῦ ἠερόεσσαν. καὶ ὅρα ὅτι λίθου εἶδος ὁ μεταλλευτὸς κρύσταλλος, καθὰ ὁ μάργαρος. κρυμώδεις δὲ τὰς τοῦ Θερμώδοντος ὄχθας καλεῖ, διότι, ὡς οἱ παλαιοί φασι, καὶ θέρους πήγνυται, τῆς ὑποθεσίας τὴν τοιαύτην ἰδέαν διεξαγούσης. διό, φασι, καὶ Κρύσταλλός ποτε ὁ Θερμώδων οὗτος ἐκλήθη.

1. Ὅτι ἐφεξῆς τῷ Θερμώδοντι ὁ Ἶρις ποταμὸς καθαρὸν ῥόον εἰς ἅλα βάλλει. περὶ τούτου ὁ Ἀρριανὸς ταῦτά φησιν. « Αἷμος βασιλεὺς Σκυθῶν, οὗ υἱὸς Ἐρίδιος· ἀφ' οὗ ὁ Ποντικὸς ποταμὸς κληθεὶς Ἐρίδιος, ὕστερον εἰς τὸ δεξιώτερον μετωνομάσθη Ἶρις ». ὁ δὲ Γεωγράφος φησὶν « …ρμώδων ἐκ πολλῶν πληροῦται ποταμῶν, ὧν πάρεισιν ἐκ Φαναροίας ῥέει Ἶρις. ῥέει δέ, φησί, καὶ δι' Ἀμασείας ὁ Ἶρις, παραλαβὼν τόν τε Σκύλακα καὶ ἄλλους ποταμούς, καὶ τὸν ἐξ Ἀρμενίας ῥέοντα Λύκον.

2. Ὅτι τῷ Ἴριδι ἐπιμορμύρουσι ῥοαὶ Ἅλυος ποταμοῦ, ἑλκόμεναι πρὸς βορρᾶν, ἀπὸ τῶν Ἀρμενίων ὀρῶν, ἐγγὺς τῆς Καραμβίδος ἄκρας Παφλαγονικῆς, περὶ ἧς εἶπε καὶ ἀλλαχοῦ. νομίζεται δὲ κληθῆναι Ἅλυς, ἀπὸ τόπου τοῦ κατὰ τὴν Ξιμηνήν, ἔνθα ὀρυκτοὶ ἅλες εὑρίσκονται. καὶ εἰ τοῦτο ἀληθές, σκοπητέον μή ποτε δασύνεσθαι ὁ Ἅλυς ὀφείλει, ὡς ἀπὸ τῶν τοιούτων ἁλῶν. οἱ μέντοι ψιλοῦντες τὴν λέξιν, παρὰ τὴν ἄλην, ὅ ἐστι τὴν πλάνην, ἐτυμολογοῦσιν αὐτόν, ὡς περὶ πολλὴν γῆν ἀλώμενον. ὁ δὲ Γεωγράφος φησὶ ῥέειν αὐτὸν μεταξὺ Παφλαγόνων καὶ Σύρων, ἤτοι Καππαδόκων. Ἡρόδοτος δέ φησιν ὅτι ὁ Ἅλυς ὥριζε μέν ποτε τὴν Μηδικὴν ἀρχὴν καὶ τὴν Λυδικήν· ῥέει δὲ ἐξ Ἀρμενίου ὄρους, διὰ τῆς γῆς τῶν Κιλίκων· παραμειβόμενος δὲ Ματιηνοὺς μὲν ἐν δεξιᾷ, ἑτέρωθεν δὲ Φρύγας, ῥέει πρὸς βορρᾶν· ἔνθεν μὲν Συρίους Καππαδόκας ἀφείς, ἐξ εὐωνύμων δὲ Παφλαγόνας. λέγει δὲ καὶ ὅτι Θαλῆς ὁ Μιλήσιος ἔσχισέ ποτε τὸν Ἅλυν τῷ Κροίσῳ διὰ βαθείας διώρυχος εἰς εὐδιάβατον.

3. Ὅτι ἐπὶ τοῖς ῥηθεῖσι ποταμοῖς οἱ Παφλαγόνες μὲν παράλιοι νέμονται, ἀπὸ Παφλαγόνος οὕτω κληθέντες υἱοῦ Φινέως· καὶ οἱ Μαριανδυνοί, ὅπου καὶ ἡ κατὰ τὸν Πόντον Ἡράκλεια, ἐπώνυμος μὲν Ἡρακλέους, Μιλησίων δὲ κτίσμα, κατὰ τὸν Γεωγράφον. Ξενοφῶν μέντοι φησὶν ὅτι ἡ ἐν τῷ Πόντῳ Ἡράκλεια, Μεγαρέων ἄποικος. ἐνταῦθα διὰ τοῦ πεδίου ῥέει ποταμός, Λύκος ὄνομα, εὖρος δύο πλέθρων. οἱ δὲ Μαριανδυνοὶ οὕτω καλοῦνται

Secabis cryſtalli nitidum lapidem, veluti glaciem
Hybernam: invenies vero & cæruleam jaſpim.
Iris autem deinceps limpidas aquas in mare mittit.
Poſt hunc vero murmurant fluenta Halyis fluvii,
Quæ trahuntur boream verſus, Carambim prope promontorium,
Exorta primum è monte Armenio.
Paphlagones autem poſt hos ad littora habitant,
Et Mariandynorum divinum ſolum: ubi perhibent,
Terreſtris Saturni ingentem canem, æneam vocem habentem,
Manibus extractum magnanimi Herculis,
Tetrum è faucibus projeciſſe ſalivæ ſimilem ſuccum:

ἀπὸ Ἴωνος Αἰολέως Μαριανδυνοὺς καλουμένους. καὶ τὸ ἐθνικὸν δὲ, Μαριανδυνὸς μὲν λέγεται προπαροξυτόνως, κατὰ τοὺς Αἰολεῖς, ὥς φησιν ὁ γράψας τὰ ἐθνικά. ἡ δὲ κοινὴ χρῆσις ὀξυνεῖ αὐτό, κατὰ τὸν τύπον τῶν εἰς νος ἐθνικῶν. οὐ παραλήγεται δὲ τῷ υ, ὡς τὰ ὅμοια ἐθνικά, διὰ τὸ ἀκολουθῆσαι τῇ γραφῇ τοῦ ὁμωνύμου Αἰολικοῦ κυρίου ὀνόματος. περὶ δὲ τὴν τῶν Μαριανδυνῶν γῆν βοτάνη φύεται δηλητηριώδης τὸ ἀκόνιτον περὶ οὗ ὁ μῦθός φησιν, ὅτι ὁ Κέρβερος ὁ χαλκεόφωνος ᾅδου κύων ἀνελκόμενος ἐξ ᾅδου ὑπὸ μεγαλόφρονος Ἡρακλέους, καὶ λυττήσας, δεινὸν ἐκεῖ ἀπὸ στόματος ἔβαλε σιαλώδη χυμὸν, ἢ χυλόν· ὃν δεξαμένη ἡ γῆ αὐτόθι πῆμα ἐφύτευσε, τὸ ἀκόνιτον. ὄνομα δὲ φαρμάκου τοῦτό ἐστι, περὶ ὃ οὐκ ἔστι κονίσασθαι, καὶ οἷον παλαῖσαι καὶ ἀντιπαλαμήσασθαι. διὰ τοῦτο γὰρ καὶ ἀκόνιτον λέγεται, οἱονεὶ ἀκαταπάλαιστον.

4. Σημείωσαι δὲ διὰ τοῦ σιαλώδεος, ὅτι οὐ μόνον σίελος λέγεται διὰ τοῦ ι, ἀλλὰ καὶ σίαλος διὰ τοῦ α, ὡς καὶ ὕελος καὶ ὕαλος. Διόδωρος δὲ οὕτω περὶ τούτου φησίν, "Ἡράκλεια Μεγαρέων ἄποικος, περὶ ἣν Ἀχερουσία χερρόνησος, ὅπου φασὶν Ἡρακλέα τὸν ἐξ ᾅδου Κέρβερον ἀναγαγεῖν. Ἀρριανὸς δὲ οὕτω γράφει περὶ τῶν τούτων, "ἐπέκεινα Σαγγαρίου ὅμοροι Παφλαγόνων Μαριανδυνοί· ἔνθα πόλις Ἡράκλεια πεπόλισται, ὅπου Κιμμέριοι, πόας φαγόντες ἀκόνιτον, ἐδυστύχησαν". ἦν γὰρ αὐτοῖς πάτριον τὸ ποηφαγεῖν. τὸ δ' ἀκόνιτον πάλαι μέν, φασίν, ἀσινὲς ἦν, ὕστερον δὲ κακὸν καὶ μέγα φάρμακον, διὰ τὸν ἰόν, ὃς τῶν ἐχιδνῶν ἀποστάξας, αἳ τῆς τοῦ Κερβέρου κεφαλῆς ἐκπεφύκασιν, ἔβλαψε τὴν πόαν. καὶ τάχα τις ἀστεϊζόμενος πρὸς τὸν μῦθον καὶ τὸν Ἡράκλειον τοῦτον ἆθλον κάτω βάλλων, ἔτι δὲ καὶ τὸν μῦθον, ἐρεῖ μηδὲν ἀγαθὸν τὸν Ἡρακλῆ ἐνταῦθα καταπράξασθαι. οὐ γὰρ τοσοῦτον ἀνθρώποις εἶναι πῆμα τὸν Κέρβερον κάτω μένοντα, ὅσον ἄνω γινόμενον. τίτι [illegible] ἐνεχείθη[illegible], ὡς καὶ [illegible] ἐστι δὶς [illegible] δὲ φανείς, καὶ τὸ ἀκόνιτον ἐκφύσας, κακὸν μέγα τοῖς ζῶσιν ἐγένετο. ὑποκεῖται δὲ τῷ λόγῳ τούτῳ καὶ σκῶμμα κατὰ τῶν Ποντικῶν Ἡρακλεωτῶν. εἰ γὰρ ἐπαινετέα ἡ σιλφιοφόρος Κυρήνη, διὰ τὴν εὔχρηστον βοτάνην τὸ σίλφιον, μωμητέοι ἐκ τοῦ ἀνάπαλιν ἄνθρωποι παρ' οἷς τὸ θανάσιμον φύεται. εἴγε καὶ ὁ θύμος μηδὲν βλάπτων, ὅμως ψεκτίαν τὴν θυμοφόρον ποιεῖ γῆν. χαλκεόφωνον δὲ τὸν Κέρβερον παρατετηρημένως καλεῖ, ὡς τῆς

Τὸν μὲν ἐδέξατο γαῖα, καὶ ἀνδράσι πῆμ' ἐφύτευσεν.
Ἄγχι δὲ [1] Βιθυνοὶ λιπαρὴν χθόνα ναιετάουσι,
Ῥήβας ἔνθ' ἐρατεινὸν ἐπιπροΐησι ῥέεθρον·
Ῥήβας, ὃς Πόντοιο παρὰ στομάτεσσιν ὁδεύει·
Ῥήβας, οὗ κάλλιστον ἐπὶ χθονὶ σύρεται ὕδωρ.
Τόσσοι μὲν Πόντοιο περικτίται ἄνδρες ἔασι·
Κεῖνα δέ τοι Σκυθίης προλελεγμένα φῦλα πέλονται.
Νῦν δ' αὖ παρραλίης Ἀσίης πόρον ἐξενέποιμι,
Ὅς ῥά τε πρὸς νότον εἶσιν, ἐφ' Ἑλλήσποντον ὁδεύων,
Καὶ ποτὶ μηκίστου νότιον ῥόον Αἰγαίοιο,
Μέσφ' αὐτῆς Συρίης τε καὶ Ἀρραβίης ἐρατεινῆς.
Χαλκιδέες [2] μὲν πρῶτα παρὰ στόμα γαῖαν ἔχουσιν,

τῶν κυνῶν ὀξείας φωνῆς ἀπηχήσεις παρεοικυίας χαλκοῦ. Ἰστέον δὲ ὅτι ἐπιχωριάζουσι τοῖς Μαριανδυνοῖς θρηνῶν αὐληταί, ὡς καὶ ἡ παροιμία δηλοῖ, Μαριανδυνοῦ μεμιμημένη θρηνητῆρος. θρηνητικοὶ δὲ καὶ οἱ Κᾶρες, ἀφ' ὧν καὶ Καρικὰ θρηνώδη αὐλήματα. τοιοῦτοι δὲ καὶ οἱ Φρύγες, ἔτι δὲ καὶ οἱ Μυσοί. διὸ καὶ Αἰσχύλος φησί, βόα τὸ Μύσιον, ἤγουν θρήνει. μυθεύεται δὲ παῖς Τιτύου ὁ Μαριανδυνός, ὃς τὴν ὀδυρτικὴν αὐλῳδίαν ηὔξησε, καὶ ἐδίδαξε τὸν Μάρσυν τὸν τοῦ αὐλητοῦ πατέρα, ἐξ οὗ καὶ Μαριανδυνοὶ αὐλοὶ ἐπιτήδειοι τοῖς θρηνοῦσιν. οὗτος κυνηγετῶν, φασίν, ἀπώλετο, καὶ οἱ Μαριανδυνοὶ ἀκμῇ θέρους ἐθρήνουν [illegible]τόν. [illegible]κειται τοὺς Μαριανδυνοὺς ἡ τῶν Βιθυνῶν λιπαρὰ γῆ, ὅπου καὶ ὁ Ῥήβας ἐρατεινὸν προΐησι ῥέεθρον, ὁδεύων παρὰ τοῖς τοῦ Πόντου στόμασιν, ἤτοι ἐγγὺς τοῦ Ποντικοῦ στόματος, οὕτω καὶ ἀνωτέρω τὸ στόμα τοῦ Κερβέρου πληθυντικῶς στόματα εἰπών· οὗπερ ποταμοῦ κάλλιστον, φησίν, ἐπὶ χθονὶ σύρεται ὕδωρ· ὃν καὶ ἐπαναλαμβάνει, ὡς εἴπερ καὶ αὐτὸς ἄξιος ἦν λόγου πολλοῦ. ῥεῖν δέ φασι καὶ αὐτὸν ἐκ τοῦ Μυσίου Ὀλύμπου, καθὰ καὶ τὸν Σαγγάριον. ὃς δὴ Σαγγάριος καὶ ναυσίπορός ἐστι, καὶ μέγιστος τῶν ἐν Βιθυνίᾳ ποταμῶν, εἰσβάλλων εἰς τὸν Εὔξεινον. τοὺς δὲ Βιθυνοὺς καὶ ναυτικωτάτους ἱστοροῦσι γενέσθαι ποτέ, καὶ τὴν αὐτῶν γῆν πάμφορόν τε καὶ εὔδενδρον εἶναί φασι, καὶ λιθοτομίας ἔχουσαν, καὶ κρυστάλλους ἐν ὄρεσι φύουσαν, καὶ ἄλλα πολλὰ ἔχουσαν ἀγαθά. Ἡρόδοτος δὲ λέγει Θρᾷκας διαβάντας εἰς Ἀσίαν, κληθῆναι Βιθυνούς, καὶ εἶναι παρ' αὐτοῖς χρηστήριον Ἄρεος. λέγεται δὲ καὶ ὅτι τὴν ἀπὸ Βοσπόρου γῆν, ἕως ἐπὶ Ῥήβαντα, Βιθυνοί ποτε κατεῖχον. τὴν δὲ αὐτοῦ ἐπέκεινα ἐπὶ Πόντον ὀρεινὴν οἱ Θυνοὶ εἶχον, ἄχρι ποταμοῦ Κάλητος· ὡς εἶναι ὁμόρους τούς τε Θυνοὺς καὶ τοὺς Βιθυνούς, οὕτω κεκλημένους ἀπὸ τινῶν ἀδελφῶν ἐπιφανῶν Θυνοῦ καὶ Βιθυνοῦ, παίδων Φινέως κατὰ ποίησιν, ἤτοι ποιητῶν καὶ θετῶν, καθά φησιν Ἀρριανός· ὃς καὶ γνήσιον παῖδα Φινέως ἱστορεῖ Παφλαγόνα, ἐξ οὗ χώρα Παφλαγονία. καὶ γῆν λέγει Ῥηβαντίαν τὴν πρὸς τῷ Ψιλλίῳ ποταμῷ, καὶ δημιουργόν τινα ἱστορεῖ παρὰ Βιθυνοῖς, Δαίδαλον καλούμενον, οὗ ἔργον ἐν Νικομηδείᾳ γενέσθαι θαυμαστὸν ἄγαλμα Στρατίου Διός. λέγει δὲ ὁ αὐτὸς Ἀρριανὸς καὶ ὅτι ἄλλοι Ὀδρύσου παῖδά φασι τὸν Θυνὸν καὶ τὸν Βιθυνόν, ὧν ἡ χώρα ὁμώνυμος. Σημείωσαι δὲ ὅτι τὸ

μὲν

Quem quidem recepit terra, & hominibus noxam procreavit.
Prope autem Bithyni pinguem terram incolunt,
Rhebas quo amabile immittit fluentum;
Rhebas, qui Ponti [*Euxini*] juxta oſtia incedit;
Rhebas, cujus pulcherrima ſuper terram trahitur unda:
Tot quidem Ponti accolæ homines ſunt:
Illæ autem Scythiæ ante memoratæ gentes ſunto.
Nunc vero maritimæ Aſiæ tractum eloquar,
Qui quidem in auſtrum abit, ad Helleſpontum tendens,
Et ad longiſſimi auſtralem gurgitem Ægæi,
Uſque ad ipſam Syriamque & Arabiam amabilem.
Chalcidenſes quidem primùm prope oſtium tèrram tenent,

μὲν γῆν Ῥηβαντίαν παρὰ τῷ Ἀρριανῷ, ἀφορμὴν δίδωσι τοῦ φανερῶς νοεῖν ὅτι περιττοσυλλάβως ὁ Ῥήβας κλίνεται, ὁμοίως τῷ Αἴαντι· τὸ δὲ Ῥηβαῖος, ἐθνικὸν, κλίσιν ὑπεμφαίνει τινὰ ἰσοσύλλαβον, παρὰ τοῖς παλαιοῖς καὶ αὐτὸ εὑρισκόμενον.

2. Ὅτι οἱ Χαλκιδεῖς, ὅ ἐστιν, οἱ περὶ τὴν Καλχηδόνα, ὡς προερρέθη (οἱ καὶ Δωριεῖς ἱστορούμενοι εἶναι ἀνέκαθεν) περὶ τὸ στόμα οἰκοῦσιν, ἤγουν περὶ τὴν Προποντίδα, ἥτις μετὰ προσθήκης μάλιστα Πόντου στόμα λέγεται. Καὶ ὅρα ὅτι οἱ Χαλκιδεῖς οὗτοι παρώνυμοί εἰσι τῆς ἐνταῦθά που Χαλκίδος, ἀφ' ἧς ἄρουραν ἀντιπέραν Χαλκίδα εἶπε τὰ περὶ Χαλκηδόνα. κατὰ δὲ τὴν Ἀρριανοῦ ἱστορίαν, ἐπώνυμός ἐστιν ἡ τῶν Χαλκηδονίων πόλις τῷ Κρόνου υἱῷ Χαλκηδόνι, ἀφ' οὗ πρῶτος μὲν ὁ ἐκεῖ που ῥέων ποταμὸς ἐκλήθη Χαλκηδών· ἔπειτα ἡ πόλις, Δωριέων ἀποικησάντων ὑστέροις χρόνοις, ὁμώνυμος γίνεται τῷ ποταμῷ. ἱστορεῖ δὲ ὁ αὐτὸς ὅτι τοῖς Χαλκηδονίοις ἀποφρὰς νομίζεται παντὸς μηνὸς φθίνοντος ἐνάτη, ἤγουν, ὡς τοῖς Ἀττικοῖς ἀρέσκει, αἱ εἰκοστὴ πρώτη τῶν ὅλων μηνῶν, ἀπαίσιοι αὐτοῖς κρίνονται· διότι ἐν ταῖς αὐταῖς ἡμέραις ἄλλας τε δυστυχίας αὐτοὶ ἔπαθον, καὶ Φαρνάβαζος δὲ ὁ Πέρσης τοὺς αὐτῶν παῖδας ἐκτεμὼν, εἰς τὸ Δαρεῖον ἀνέπεμψε. κατασκῆψαι δέ φησιν αὐτοῖς καὶ νόσον ἐκ θεομηνίας, τὸ αὐτοὺς τὰ σφῶν αὐτῶν ἀποτέμνειν αἰδοῖα, διότι θυσιῶν τινων κατημέλησαν. ἱστορεῖται δὲ καὶ τὴν ἐν ἀριστερᾷ τοῦ Εὐξείνου πόντου μεσημβρίαν, Χαλκηδονίων εἶναι κτίσμα καὶ Βυζαντίων, ἡττηθέντων ἔν τινι μάχῃ, καὶ φυγόντων ἐκεῖ. οἰκοῦσι δὲ οἱ Χαλκιδεῖς οὗτοι, καθὰ καὶ προεγράφη, ἐς ἀντιπέραν Βυζαντίου, κληθέντος οὕτω ἀπὸ Βύζαντος υἱοῦ Κεροέσσης, ἥτις ἦν θυγάτηρ Ἰοῦς. ἢ διότι Βύζης ἡγεῖτο τοῦ τῶν Μεγαρέων στόλου, οἳ καὶ ἔκτισαν τὸ Βυζάντ[illegible]σμὸν τοιοῦτον,

Ὄλβιοι οἳ κείνην πόλιν ἀνέρες οἰκήσουσιν,
Ἀκτῆς Θρηϊκίης ὑγρὸν παρ' ἄκρον στόμα Πόντου,
Ἔνθ' ἰχθῦς, ἔλαφός τε νομὸν βόσκουσι τὸν αὐτόν.

τὸν δὲ Βύζαντα, οὗ ἐπώνυμον τὸ Βυζάντιον ἄστυ, δικαιότατόν φασιν ἀνθρώπων γενέσθαι, καὶ ἐπάρξαι τῆς παραλίας ἁπάσης Θρᾴκης, ἕως καὶ εἰς Αἷμον τὸ ὄρος. εἰσὶ δὲ καὶ Λίβυες, Βύζαντες, καὶ πόλις ἐκεῖ

Βυζάν-

Οὔδας ἐς ἀντιπέρην Βυζάντιον εἰσορόωντες.
Βέβρυκες [1] δ' ἐπὶ τοῖσι, καὶ [2] οὔρεα Μυσίδος αἴης,
Ἧχί περ ἱμερόεντα Κίος προΐησι ῥέεθρα·
Τοῦ ποτ' ἐπὶ προχοῇσιν Ὕλαν ἡρπάξατο νύμφη,
Ὀτρηρὸν θεράποντα πελωρίου Ἡρακλῆος.
Ἔνθεν ἐφ' Ἑλλήσποντον ἐπιτρέχει [3] ἄσπετος ἀγκών

Βυζάντιον. τινὲς δὲ Γύζαντας ἐκείνους καλοῦσιν. ἐν δὲ τῷ Θρακικῷ Βυζαντίῳ ἱστορεῖται φυλάσσεσθαί ποτε τὸν πλοῦτον τοῖς Ἀθηναίοις, διὰ τὴν ὀχυρότητα τῆς πολίχνης. ὀνομασθῆναι δέ ποτε αὐτὸ καὶ Ἀντωνίαν, ἕως περιῆν Σευῆρος, καὶ ὁ ἐκείνου παῖς Ἀντωνῖνος· παρὰ δὲ τοῦ μεγάλου Κωνσταντίνου κληθῆναι αὐτὸ Ἄνθουσαν. κωμῳδοῦνται δὲ εἰς μέθην οἱ παλαιοὶ Βυζάντιοι. πολέμου γοῦν ἐπικειμένου ποτὲ οὐκ ἄλλως ἔσχεν ὁ στρατηγὸς ῥᾷον ἐπὶ τοῖς τείχεσιν ἔχειν αὐτούς, εἰ μὴ τὰ καπηλεῖα ἐγγὺς τῶν τειχέων ἤγαγεν. Ἱστέον δὲ ὅτι τὸ Βυζάντιον ἄστυ καὶ διὰ τῆς ει διφθόγγου ὤφειλεν ἔχειν, ὥς τινές φασι, τὴν παραλήγουσαν, τῷ λόγῳ τῶν κτητικῶν. ἀλλ' ὁ Διονύσιος, ἀποβαλὼν τὸ ε ψιλόν, διὰ μόνου τοῦ διχρόνου ἐκφέρει αὐτό, τῷ λόγῳ τῶν τοπικῶν· ὡς καὶ περὶ τούτου τὸ Κυρβάντιον ἄστυ, ἐπὶ Σαμοθρᾴκης. πολλὰ δὲ καὶ ἄλλα ὀνόματα τὸ τοιοῦτον ἔπαθον πάθος· ὥσπερ καὶ τὸ τραπέζιον σχῆμα, καθὰ προγέγραπται, καὶ τὸ Ποσειδήϊον, καὶ τὸ Ἰκόνιον, καὶ τὸ ἀλγινόεις [illegible] Ὀππιανῷ, καὶ ἄλλα παρ' ἄλ[illegible] καὶ τὸ τραπέζιον, ὡς προερρέθη, [illegible] διφθόγγ[illegible] ἔχει τὴν παραλήγουσαν· καὶ τὸ Ποσ[illegible]δήϊον δὲ καὶ τὸ ἀλγινόεις οὐκ ὤφειλον διὰ διφθόγγου μόνου ἔχειν τὴν δευτέρ[illegible] κατὰ τὴν ἀρχοῦσαν· καὶ τὸ Ἰκόνιον ἀπαιτεῖ διὰ διφθόγγου, ὡς ἀπὸ εἰκόνος, τὴν ἀρχοῦσαν γράφεσθαι. Ἱστέον δὲ ὅτι ὥσπερ τὸ Βυζάντιον δοκεῖ παραλόγως διὰ τοῦ ι γράφεσθαι, οὕτω καὶ παρὰ Ἀπολλωνίῳ τὸ Ὑάντιος Ὀγχηστὸς, ἡ τοῦ Ὕαντος πόλις. οὕτω δὲ καὶ τὸ Ἄβας Ἄβαντος, Ἀβάντιον, ἐξ οὗ καὶ τὸ Ἀβαντιὰς Μάκρις. ἀλλὰ ταῦτα μὲν ἔχει ἀπολογίαν τὸ τοπικόν· ἀληθῶς δὲ παράλογα, Αἰπύτιον παρὰ τύμβον, καὶ τὸ, Ποιάντιον ἀγλαὸν υἱόν. ταῦτα γάρ, κτητικὰ ὄντα κυρίων ὀνομάτων τοῦ Αἰπύτου καὶ τοῦ Ποίαντος, καὶ ὀφείλοντα δίφθογγον ἔχειν τὴν παραλήγουσαν, ὅμως διὰ μέτρου ἀνάγκην μονοφθόγγῳ παραλήγεται. κἀκεῖνο δὲ ἱστέον, ὅτι λέγονται μεγάλως ἰσχῦσαι καὶ οἱ Βυζάντιοι. * πτοηθῆναι δέ ποτε τοὺς Φοίνικας ἐπιπλέοντας, καὶ ἀποφυγεῖν τὴν σφετέραν· φυγόντας δὲ εἰς τὸν Εὔξεινον μετὰ τῶν Χαλκηδονίων, οἰκῆσαι τὴν μεσημβρίαν πόλιν, ὡς καὶ ἀνωτέρω εἴρηται.

1. Ὅτι μετὰ τοὺς Χαλκηδονίους Χαλκιδέας, οἱ Βέβρυκες ἱστοροῦνται μείζω δοκεῖν ἔχειν τὰ σώματα ἢ καθ' ἡλικίαν ἀνθρώπων, παρ' οἷς καὶ ὁ Βέβρυξ ἐκεῖνος Ἀρείτας, ᾧ τὸ μὲν μῆκος εἰς ὀκτὼ λέγεται πήχεις, εὖρος δέ, ὡς Ἀρριανός φησιν, ὅσον τοσῷδε μήκει ἐς κυφότητα ξύμμετρον ἦγεν, ὅσον ἦν σύμμετρόν πως τοὺς ὀκτὼ πήχεις τοῦ μήκους, εἰς τὸ κύφως βαίνειν τὸν ἄνθρωπον. κατὰ δὲ τοῦ τοιούτου ἀνδρὸς νικηφόρος γέγονεν εἰς μονομαχίαν συστὰς νεανίας ἐτῶν ιζ΄. τὴν δὲ ῥηθεῖσαν Βεβρυκίαν φασὶ κληθῆναι ἀπὸ Βεβρύκης Αἰγύπτου μὲν ἀδελφόπαιδος, μιᾶς δὲ τῶν θυγατέρων τοῦ Δαναοῦ, ἀδελφὴν τῆς Ὑπερμνήστρας. φείσασθαι δὲ λέγουσι καὶ αὐτὴν Ἱππολύτου τοῦ αὐτανεψιοῦ νυμφίου, ὡς καὶ τὴν Ὑπερμνήστραν τοῦ Λυγκέως, καὶ φυγεῖν σὺν ἐκείνῳ, καὶ πολλὰ δυνηθῆναι, διὰ τὸ διδάσκειν τοὺς βαρβάρους τὴν Αἰγυπτίαν σοφίαν. διὸ καὶ Βεβρύκην ἢ Βεβρυκίαν ἀπ'

αὐτῆς

Solum in tranſverſum Byzantium ſpectantes.
Bebryces autem poſt hos, & montes Myſiæ terræ,
Qua amœnas Cius projicit undas;
Cujus olim juxta fluenta Hylam rapuit nympha,
Strenuum famulum ingentis Herculis.
Inde in Helleſpontum procurrit immenſus flexus

αὐτῆς κληθῆναι τὴν χώραν εἰς ἣν ἔφυγε. Πίνδαρος ἐν διὰ τοῦτο μή. ἱστορεῖ τὰς Δαναΐδας, ὡς τὰς δύο μὴ συναρεσθῆναι τῶν λοιπῶν θέλων, οἷον μὴ πεισθείσας τῷ πατρί, καὶ διὰ τοῦτο ἀπαλειφθῆναι τῆς ἐκείνου πατρότητος. Ἰστέον γὰρ ὅτι, κατὰ τὴν παλαιὰν ἱστορίαν, πεντήκοντα παίδων τῶν τοῦ Αἰγύπτου πεντήκοντα νεανίσιν αὐτανεψιαῖς συνοικισθέντων θυγατράσι Δαναοῦ, ἡ Βεβρύκη μὲν καὶ Ὑπερμνήστρα μόναι τῶν συνεύνων ἐφείσαντο, αἱ δὲ λοιπαὶ τοὺς λοιποὺς διεχρήσαντο.

2. Ὅτι μετὰ τοὺς Βέβρυκας ἡ Μυσία, καὶ τὰ τῆς Μυσίδος γῆς ὄρη· ἔνθα Μύσιος ποταμὸς ὁ Κίος προϊεὶς ἱμερόεντα ῥέεθρα, καὶ πόλις ὁμώνυμος ἡ Κίος. περὶ δὲ τὸν Κίον ποταμὸν ἡ θρυλλουμένη ἁρπαγὴ τοῦ Ὕλα συνέπεσεν. ἑταῖρος δὲ Ἡρακλέους ὁ Ὕλας. νύμφη γὰρ, φησὶν, ἐκεῖ ὑδρευόμενον τὸν Ὕλαν καθήρπασεν· ὃν καὶ ἀνακαλούμενος ὁ πελώριος Ἡρακλῆς οὐδὲν ἤνυσεν, ἀλλὰ μακρὰ καὶ κενὰ βοήσας ἀπηλλάγη, ὡς καὶ Θεόκριτος ἱστορεῖ. ὅθεν καὶ παροιμία φησὶν, ἐκ τῶν ἀνακαλουμένων τοὺς μὴ ἀκούοντας, Ὕλαν καλεῖν. φασὶ δὲ καὶ τὴν Προυσιάδα πρότερον Κίον καλεῖσθαι, ἣν ὕστερον Δημήτριος κατέσκαψεν. ὁ δὲ Γεωγράφος λέγει ὅτι ὑπὲρ τὴν Προυσιάδα Κίος πόλις, ἣν ἔκτισε Κίος Ἡρακλέους ἑταῖρος καὶ σύμπλους, ἐπανελθὼν ἐκ Κολχίδος, ἔνθα τὰ κατὰ τὸν Ὕλαν μυθεύεται φασί. περὶ δὲ Μυσῶν καὶ προείρηται μὲν ἤδη, καὶ εὐθὺς δὲ κατωτέρω πάλιν εἰρήσεται.

3. Ὅτι μετὰ τὴν Ἀσίαν ἐν τῆς μικρᾶς Φρυγίας ἄπειτος ἀγκὼν (ἤγουν ἀγκάλη) ἐπιτρέχων πρὸς Ἑλλήσποντον εἰς ἑσπέραν, ὑπὸ τοὺς τῆς Ἴδης πόδας· ἐνδότερον δὲ πρὸς ἀνατολὰς ἡ εὐρυτέρα Φρυγία," ὅ ἐστιν ἡ μεγάλη, ἧς Μίδας ἐβασίλευσε, παρὰ τὸν προειρημένον Σαγγάριον ποταμὸν, οὗ περὶ αἱ πηγαὶ περὶ ἵνα λέγονται εἶναι κώμην Σαγγίαν καλουμένην. ταύτην δὲ τὴν μεγάλην Φρυγίαν καὶ ἱππόβοτον λέγει καὶ λιπαράν. ὀλβιωτάτους δὲ τοὺς Φρύγας καὶ Ἀρριανὸς ἱστορεῖ, λέγων καὶ ὅτι "λέγονται Φρύγες παλαιότατοι ἀνθρώπων γενέσθαι, καὶ ὅτι μαίνονται τῇ Ῥέᾳ, καὶ πρὸς Κορυβάντων κατέχονται, ἤγουν κορυβαντιῶσι δαιμονῶντες. ὅταν δὲ κατάσχῃ αὐτοὺς τὸ θεῖον, ἐλαυνόμενοι, καὶ μέγα βοῶντες, καὶ ὀρχούμενοι, προθεσπίζουσι τὰ μέλλοντα, καὶ θεοφορούμενοι καὶ μαινόμενοι. ἔστι δὲ, φασὶ, Φρυγία, καί τις τόπος Εὐρωπαῖος περὶ τὴν Οἴτην τὸ τῆς Τραχῖνος ὄρος, οὕτω κληθεῖσα παρὰ τὸ ἐκεῖ πεφρύχθαι τὸν Ἡρακλέα καυθέντα". τὸ δὲ, πόδας Ἴδης, ἐξ Ὁμήρου ληφθὲν, Πινδάρου μὲν δίδαχεν [illegible] ὑπορμίαν σφυρὰ ὄρους εἰπεῖν· τῷ δὲ [illegible] πτέρναν πύργου· καὶ ἄλλοις, κν[illegible]ους. Ἰστέον δὲ ὅτι Διονύσιος μὲν Ἀσιανῶν ἐνταῦθα Φρυγῶν μέμνηται· ἄλλοι δέ φασι καὶ ἑτέρους Εὐρωπαίους εἶναί ποτε Φρύγας, ἐξ ὧν περαιωθέντων ἡ κατὰ τὴν Ἀσίαν ἐγένετο· ὥσπερ καὶ Μυσοί, οὐ μόνον Εὐρωπαῖοι, οἵ γε καὶ πέραν Ἴστρου ἦσαν, ἀλλὰ καὶ Ἀσιανοί, ὧν μέρος καὶ οἱ Ὀλυμπηνοὶ Μυσοί, λεγόμενοι οὕτως, ὡς που προείρηται, παρὰ τὸν μυσόν, ὅς τις ἐστὶν ἡ ὀξύα, κατὰ τὴν Μυσῶν ἢ Λυδῶν γλῶσσαν· πολὺ γὰρ τὸ τοιοῦτον φυτὸν παρὰ

τοῖς

Βαιοτέρης Φρυγίης· ἑτέρη δέ τοι ἔνδοθι κεῖται,
Εὐρυτέρη γεγαυῖα, παρ' ὕδασι Σαγγαρίοιο.
Ἀλλ' ἤτοι μεγάλη μὲν ἐπ' ἀντολίην πεπάνυσται,
Ἱππόβοτος, λιπαρή τε· πρὸς ἑσπερίην δ' ἂν ἴδοιο
Τὴν ἑτέρην, ἣ κεῖται ὑπὸ ζαθέης πόδας Ἴδης,
Ἴλιον [1] ἠνεμόεσσαν ὑπὸ πλευρῇσιν ἔχουσα·
Ἴλιον, ἀγλαὸν ἄστυ παλαιγενέων ἡρώων·
Ἴλιον, ἣν ἐπόλισσε Ποσειδάων καὶ Ἀπόλλων·
Ἴλιον, ἣν ἀλάπαξαν Ἀθηναίη τε καὶ Ἥρη,
Ξάνθῳ ἐπ' εὐρὺ ῥέοντι καὶ Ἰδαίῳ Σιμόεντι.
Τὴν δὲ μετ' [2] Αἰολίδος παραπέπταται ἤθεα γαίης,
Αἰγαίου παρὰ χεῖλος, ὑπὲρ μέγαν Ἑλλήσποντον.
Τῇ δ' ἐπιναιετάουσιν ἀγαυῶν παῖδες Ἰώνων,

τοῖς Μυσοῖς. οὕτω δέ φασι δύσκριτον εἶναι, διορίσαι Μυσοὺς καὶ Φρύγας, διὰ τὸ ἀδιάφορον τῆς οἰκήσεως, ὥστε τάχα καὶ τὴν παροιμίαν ἐντεῦθεν διεκπεσεῖν τὴν λέγουσαν, πόῤῥω τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα. ὡσαύτως δὲ ἐγκέχυνται Λυδοὶ καὶ Μαίονες, οἱ καὶ Μῄονες παρὰ τῷ Ποιητῇ. Ἀῤῥιανὸς δέ φησιν ὅτι «Θυνὸς καὶ Μυσὸς υἱοὶ ἦσαν Ἀργανθώνης (καλόν τι χρῆμα νύμφης ἦν) ἀφ' ὧν Θυνὸς μὲν Θυνίαν οἰκίσας ἀφ' ἑαυτοῦ ὠνόμασε, Μυσοὶ δὲ ἐπὶ τῷ Μυσῷ ὠνομάσθησαν.» Ἡρόδοτος δέ φησι καὶ αὐτὸς π[illegible]ς ἀνθρώπων τοὺς Φρύγας εἶ[illegible] Κωμικὸς ἐμφαίνει, ἔνθα τὸν ἀρχ[illegible] βεκκεσέληνον λέγει, ἀπό τε τοῦ Ἀρκάδων τοῦ περὶ τῆς σελήνης μυθολογουμένου εἶναι, καὶ ἀπὸ τοῦ βέκκου· βέκκος γὰρ ὁ ἄρτος, Φρυξί.

1. Ὅτι ὑπὸ ταῖς πλευραῖς τῆς μικρᾶς Φρυγίας καὶ Ἴλιος, μεταξὺ τῆς Ἴδης καὶ τῆς θαλάσσης. ταύτην τὴν πόλιν, ἀγλαὸν ἄστυ παλαιγενέων ἡρώων λέγει. καὶ ἔργον μέν φησι γενέσθαι Ποσειδῶνος καὶ Ἀπόλλωνος κτισάντων, ὑπὸ Ἀθηνᾶς δὲ καὶ Ἥρας ἀπολέσθαι, ὅ ἐστιν, ὑπό τε φρονήσεως, καὶ τῆς ἡγεμονούσης βασιλικῆς ἀνδρώδους δυνάμεως· ἢ καὶ ἄλλως ἀστείως, ὅτι ἄνδρες μὲν τὴν πόλιν ἵδρυσαν, γυναῖκες δὲ κατέῤῥιψαν. ὅτι δὲ ἐξήλειπται ἀφανισθεῖσα ἡ παλαιὰ Ἴλιος, ὡς μηδὲ θεμελίους ὑπολειφθῆναι αὐτῆς, ἀριδήλως ἡ παλαιὰ ἱστορία φησίν. Ἱστέον δὲ ὅτι ἐπαναλαμβάνει καὶ τὴν Ἴλιον, κατὰ συνήθειαν ποιητικήν, οὐ μόνον διὰ τὸ σεμνὸν ἄλλως τῆς πόλεως, ἀλλὰ καὶ διὰ τὸ θρήνων ἄξια παθεῖν αὐτήν. διὸ καὶ ὁ Λιβάνιός που, Αἰγαίου μὲν πελάγους, καὶ ἄλλων τινῶν τόπων, πρὸς ὄνομα ψιλῶν, καὶ μόνης ἁπλῶς οὕτω μέμνηται * τῆς Τροίας οὐχ οὕτως, ἀλλὰ τὴν τὰ δεινότατα παθοῦσαν Πριάμου πόλιν, φησίν, οἰκτισάμενος ὡς ἐν παρόδῳ αὐτήν. Ἱστέον δὲ ὅτι καὶ τρεῖς ἀναγράφονται Φρυγίαι παρὰ τοῖς παλαιοῖς. μία μὲν, ἡ μεγάλη, ἧς ὁ Μίδας ἄρξαι λέγεται, περὶ ἣν καὶ Πισιδία, καὶ τὸ Ἀμμόριον, καὶ τὰ Σύνναδα. ταύτης δὲ τῆς μεγάλης ἐστὶ καὶ ἡ Πάρειος Φρυγία, περὶ ἣν τὸ Φιλομήλιον. καὶ αὕτη μὲν μία Φρυγία. δευτέρα δὲ ἑτέρα Φρυγία ἡ μικρὰ ἡ ἐν Ἑλλησπόντῳ, καὶ περὶ Ὄλυμπον. καὶ τρίτη ἡ λεγομένη

Minoris Phrygiæ: altera vero intus ſita eſt,
Latior quæ eſt, ad aquas Sangarii.
Verum magna quidem ad ortum extenta eſt,
Equorum altrix, pinguiſque. ad occaſum autem cernes
Alteram, quæ ſita eſt ſubter divinæ pedes [*radices*] Idæ,
Trojam ventoſam [*in loco edito ſitam*] ſub lateribus habens;
Trojam, inſignem urbem veterum heroum;
Trojam, quam condiderunt Neptunus & Apollo;
Trojam, quam everterunt Minervaque & Juno,
Ad Xanthum late fluentem & Idæum Simoëntem.
Hanc autem poſt, Æoliæ expanſæ ſunt ſedes terræ,
Ægæi juxta labrum [*littus*,] ultra magnum Helleſpontum.
Hanc autem poſt habitant illuſtrium liberi Ionum,

Ἐπίκτητος, ἐν ᾗ τὸ Κοτυάειον, καὶ τὸ Δορύλαιον, ὡς ὁ Γεωγράφος ἱστορεῖ, τὸ καὶ Δορυλάειον· κατὰ δὲ τὴν ὀρθογραφικὴν τέχνην, καὶ τὸ Δορύλλειον, διὰ διφθόγγου, ὥσπερ καὶ Δοκίμειον, πόλις καὶ αὐτὸ Φρυγίας. οὕτω καὶ Σύλλειον, ἐν δυσὶ λλ, ἢ καὶ δι' ἑνός. ἔστι δὲ καὶ αὐτό, κατὰ τὰ ἐθνικὰ γράψαντα, πόλις Φρυγίας, ἢ κατά τινας, ὥς φησι, Παμφυλίας. δῆλον δὲ ὅτι καὶ Σύλαιον τὸ τοιοῦτον γράφεται.

2. Ὅτι μετὰ τὴν μικρὰν Φρυγίαν καὶ τὴν Ἴλιον, ἡ τῶν Αἰολέων παρακέκταται γῆ, Αἰγαίου περὶ χεῖλος, ὑπὲρ τὸν μέγαν, ἤτοι τὸν πλατὺν, Ἑλλήσποντον, ὅ ἐστι νοτιώτερον τοῦ Ἑλλησπόντου. καὶ ἐνταῦθα γὰρ τὴν ὑπὲρ πρόθεσιν ἐπὶ τοῦ νοτιωτέρου τέθεικεν, ὡς αὐτῷ συνήθες. ἄλλως γὰρ ὑπὲρ τὴν Φρυγίαν πρὸς τὰ βόρεια κεῖνται οἱ Αἰολεῖς. ἀλλὰ κατὰ τὴν παλαιὰν ἀναγραφὴν, Φρυγῶν ἔχονται καὶ Καππαδόκων πρὸς βορρᾶν δηλαδή. τούτων δὲ πρόσοικοι Κίλικες, καθήκοντες ἐπὶ τὴν θάλασσαν, περὶ ἣν καὶ ἡ Κύπρος. τούτων δὲ ἔχονται Ἀρμένιοι, αὐτῶν δὲ Ματιανοὶ, τούτων δὲ οἱ Κισσιανοί. λέγει δὲ ὁ Διονύσιος καὶ ὅτι μετὰ τοὺς Αἰολεῖς, ὧν ἐστι καὶ ἡ Σμύρνα, ἡ τῶν Ἰώνων γῆ κεῖται, ἀγχίαλος καὶ αὐτή. ταύτης ἀρχὴ, κατὰ τὸν Γεωγράφον, ἡ Φώκαια, πέρας οὖσα τῆς Αἰολίδος. ἱστέον δὲ ὅτι ὥσπερ τὴν Ἰάδα ἐν τοῖς φθάσασιν ἔγνωμεν τὴν αὐτὴν τῇ παλαιᾷ Ἀτθίδι οὖσαν, ὡς Ἰώνων καλουμένων πάλαι ποτὲ τῶν Ἀττικῶν ἀπὸ Ἴωνος, καὶ τῆς χώρας Ἰάδος λεγομένης. οὕτω καὶ ἡ Δωρὶς ἡ αὐτὴ τῇ Αἰολίδι ἐστίν. ἐκαλοῦντο γάρ ποτε, κατὰ τὸν Γεωγράφον, Αἰολεῖς, κατ' ἐπικράτειαν ἴσως, πάντες οἱ ἐντὸς τοῦ κατὰ Πελοπόννησον ἰσθμοῦ, πλὴν Ἀθηναίων, καὶ Μεγαρέων, καὶ Δωριέων τῶν περὶ Παρνασσόν. διὸ καὶ Πίνδαρος πολλαχοῦ, καίπερ Δωριστὶ γράφων, Αἰολίδα τὴν ἑαυτοῦ λέγει μολπήν. Αἰολεῖς δὲ ἐκεῖνοι ἐλέγοντο ἀπὸ τῶν τοῦ Αἰόλου παίδων, ὥσπερ καὶ Δωριεῖς ἀπὸ τῶν τοῦ Δώρου· καὶ Ἴωνες ἀπὸ Ἴωνος τοῦ Ξούθου, ἀνδρὸς Ἀττικοῦ, ὃν καὶ Εὐριπίδης κτίστορα ἱστορεῖ Ἀσιάτιδος χθονός. οἱ δὲ περὶ τὴν Ἀσίαν Αἰολεῖς οὕτως ἐκλήθησαν, οὐ μόνον ὡς ὄντες τῶν ῥηθέντων Εὐρωπαίων Αἰολέων ἄποικοι, ἀλλὰ καὶ ὅτι ἀπὸ Αἰολέων, ὅ ἐστιν ἐκ

Ἀγχίαλοι γεγαῶτες, ἐπὶ χθονὸς [1] ἧς διὰ μέσσης
Μαίανδρος λιπαρῇσι κατέρχεται εἰς ἅλα δίναις,
Μιλήτου τε μεσηγὺ καὶ εὐρυχόροιο Πριήνης.
Τάων ἀμφοτέρων γε βορειοτέρην ἐσίδοιο
Παρραλίην Ἔφεσον, μεγάλην πόλιν Ἰοχεαίρης·
Ἔνθα θεῇ ποτε νηὸν [2] Ἀμαζονίδες τετύκοντο,
Πρέμνῳ ἐνὶ πτελέης, περιώσιον ἀνδράσι θαῦμα.

ποικίλων ζῴων καὶ μιγάδων ἀνθρώπων, ἡ αὐτόθι ἀποικία ἐκείνοις συνεκροτήθη.

1. Ὅτι διὰ μέσης τῆς τῶν Ἰώνων γῆς ὁ Μαίανδρος λιπαραῖς δίναις εἰς ἅλα κατέρχεται, μεταξὺ τῆς Πριήνης, καὶ τῆς Μιλήτου, Ἰωνικῆς πόλεως, ἀποίκου Ἀθηναίων, κατὰ Ἡρόδοτον. ὧν ἡ μὲν Πριήνη, καὶ Κάδμη ποτὲ ἐκλήθη, ἣν Αἴπυτος ὁ Νηλέως ἔκτισεν, ἀφ' ἧς τῶν ἑπτὰ σοφῶν ὁ Βίας· ἡ δὲ Μίλητος, κτίσμα Νηλέως, ἀνδρὸς Πυλίου, αὐτόθι μετοικήσαντος· κατὰ δὲ Ἡρόδοτον Νείλεως ὁ Κόδρου ἔκτισεν αὐτήν. φησὶ γάρ, « Νείλεω τοῦ Κόδρου ἐπισπομένου ἐπὶ τὴν Μιλήτου κτίσιν». ἱερὰ δὲ ὁ τόπος οὗτος φέρει ἀγαθά· ὅθεν καὶ εἰς παροιμίαν κεῖται τὰ Μιλήσια στρώματα. καὶ Θεόκριτος δὲ ζάπητας μαλακωτέρους ὕπνου εἰπὼν ἐπάγει, φαίη ἂν ἡ Μίλητος, ὡς ὁ τὴν Σαμίαν καταβόσκων· ὡς τῆς Σάμου καὶ τῆς Μιλήτου ἀγαθῶν ἴσων εἰσφερόντων φοράν. περὶ δὲ τῆς πόλεως ταύτης τοιαῦτα γέγραπται· « Μίλητος πόλις ἐπιφανής. ἐκλήθη δέ ποτε καὶ Λελεγίς, διὰ τοὺς ἐποίκους Λέλεγας· καὶ Πιτυοῦσα, ἀπὸ τῶν ἐκεῖ πιτύων, καὶ διότι ἐκεῖ πρῶτον πίτυς ἔφυ». ἐκεῖθεν ἦν Θαλῆς ὁ Μιλήσιος· καὶ ῥήτωρ Αἰσχίνης, ὃν ἡ παρρησία ἔβλαψε· καὶ Φωκυλίδης· καὶ Τιμόθεος ὁ κιθαρῳδός, εἰς ὃν ἐπίγραμμα φέρεται τόδε,

Πάτρα Μίλητος τίκτει τὸν Μούσαισι ποθεινὸν
Τιμόθεον, κιθάρας δεξιὸν ἡνίοχον.

ἦν δέ ποτε καὶ Κρητικὴ νῆσος ἡ Μίλητος. λέγεται δὲ καὶ τὴν τῆς Καλυψοῦς νῆσον Μίλητον κληθῆναί ποτε. λέγεται δὲ λόγος, καὶ μέγιστον κατασκευασθῆναι ναὸν ἐν Μιλήτῳ, χωρὶς ὀροφῆς μείναντα διὰ τὸ μέγεθος. ταύτης δὲ ἱστοροῦνται πολλαὶ ἀποικίαι, ὅπου γε καὶ περὶ τὰ Νειλῷα στόματα τεῖχος ἦν Μιλησίων λεγόμενον, ὅπερ αὐτοὶ ἐτείχισαν ναυσὶ τριάκοντα πλεύσαντες· καὶ ὅπου δὲ πελάγιος ὁ Ἴστρος περὶ τὸν Εὔξεινον Ἰστριανοὶ κατοικοῦσι Μιλησίων ἄποικοι, ὥς φησιν Ἡρόδοτος. τούτων δὲ βορειοτέρα ἡ Ἔφεσος (ἡ καὶ Τραχεῖά ποτε κληθεῖσα, καὶ Ὀρτυγία, καὶ Πτελέα) πόλις Ἰώνων, κατὰ δὲ Ἡρόδοτον Λυδίας· ἣν παραλίαν ὁ Διονύσιος λέγει, καὶ μεγάλην πόλιν Ἀρτέμιδος, καὶ ναὸν φησὶν ἐκεῖ εἶναι, ὃν αἱ Ἀμαζόνες ἐποίησαν ἐν πρέμνῳ (ὅ ἐστιν ἐν κορμῷ) πτελέας, περιώσιον ἀνδράσι θαῦμα. λέγει δὲ ἴσως τὸν περίπυστον ἐκεῖνον, τὸν ὕστερον καυθέντα παρά τινος θελήσαντος οὕτως ἑαυτὸν περιποιήσασθαι τὸ ἐπ' ὀνόματι ἀοίδιμον· κἂν οὐκ ἔσχε τυχεῖν ἐκεῖνος ὃ ἤθελεν. ἀρᾷ γὰρ ἐτέθησαν, μηδένα τῶν ἁπάντων τὸ ἐκείνου περιφέρειν ὄνομα, ὡς ἂν ἐπιλησθείη παντάπασι, καὶ μὴ ἔχοι ὃ βούλεται. λέγεται δὲ καὶ ὅτι Κροῖσος τῇ Ἐφέσῳ ἐπιθέμενος ἐπολιόρκει· ἀμηχανοῦντες δὲ οἱ πολῖται ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι, ἐξάψαντες ἐκ τοῦ ναοῦ τῆς Ἀρτέμιδος σχοινίον εἰς τὸ τεῖχος.

2. Ὅτι δὲ αἱ Ἀμαζόνες πολλοὺς ἐν Ἀσίᾳ κατέσχον τόπους ποτέ, δηλοῦσι καὶ

κρῆται

Maritimi qui ſunt, in terra quam per mediam
Mæandrus pinguibus delabitur in mare vorticibus,
Miletum inter & ſpatioſam Prienam.
Quibus ambabus magis borealem aſpicies
Maritimam Epheſum, magnam urbem Dianæ;
Ubi Deæ quondam ædem Amazonides ſtruxerunt,
In trunco [*ſtipite*] ulmi, immenſum hominibus miraculum.

κρῆναί τινες Ἀμαζόνων ὁμώνυμοι, καὶ μὴν καὶ πόλεις· οἷον ἡ Ἔφεσος, ἡ Ἀναία, ἡ Μύρρινα, ἡ Αἰολική. ἔστι δὲ καὶ Ἐλαία τόπος περὶ τὴν Κύμην * κατὰ τὸν Ἀρριανὸν, ἀπὸ Ἐλαίας Ἀμαζόνος. καὶ περὶ τὸν Πόντον δὲ Θίβα τόπος, διὰ τοῦ ι ἔχων τὴν παραλήγουσαν, ἀπὸ μιᾶς τῶν ὑφ' Ἡρακλέους ἀναιρεθεισῶν Ἀμαζόνων σχοῦσα τὴν κλῆσιν, ὧν αἱ διάφοροι, τουτέστιν αἱ ὑπερέχουσαι, καὶ ἀξιολογώτεραι, κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν εἰσὶν αὗται τὸ ὄνομα, Τράλλα, Ἰσοκράτεια, Θίβα, Τάλλα, καὶ ἄλλαι. καὶ ἡ Σμύρνα δὲ, Ἀμαζὼν οὖσα καὶ αὐτὴ, κατασχεῖν τὴν Ἔφεσον λέγεται, ἀφ' ἧς καὶ Σμύρνα τόπος Ἐφέσου. καὶ αὐτὴν δὲ τὴν Ἔφεσον Σμύρναν κληθῆναι λέγουσι. φασὶ δὲ τὴν τῆς Ἐφέσου πόλιν, ἐν κοίλῳ τόπῳ οἰκισθεῖσαν τὴν ἀρχὴν, καὶ χειμῶνι κατακλυσθεῖσαν, ὑπὸ Λυσιμάχου μετατεθῆναι ἔνθα νῦν ἐστι, καὶ Ἀρσινόην κληθῆναι ἀπὸ Ἀρσινόης τῆς ἐκείνου θυγατρός. φέρεται δὲ καὶ Δούριδος καλὸν ἐπίγραμμα εἰς τὸν τοιοῦτον κατακλυσμὸν, ἐν ᾧ καὶ ἀοιδοπόλιν τὴν Ἰάδων Ἔφεσον ἐκεῖνος λέγει· ἀρχὴ δὲ τοῦ ἐπιγράμματος αὕτη,

Ἠέριαι νεφέλαι πόθεν ὕδατα πικρὰ πιοῦσαι,
Νυκτὶ σὺν ἀστεμφεῖ πάντα κατεκλύσατε.

καὶ τὰ ἑξῆς. τὴν δὲ Ἔφεσον τὸ κύριον ὄνομα (γυνὴ γὰρ ἡ Ἔφεσος, ἀφ' ἧς ἡ πόλις ὀνομάζεται) πρόπολον Ἀρτέμιδός φασι, καὶ θυγατέρα αὐτῆς τὴν Ἀμαζὼ ἱστοροῦσιν, ἀφ' ἧς αἱ Ἀμαζόνες. οἱ δέ φασι τὰς Ἀμαζόνας ὑπὸ Ἡρακλέους διωκομένας (ὅτι, κελεύοντος Εὐρυσθέως, ἐπὶ τὸν τῆς Ἱππολύτης ἐστάλη ζωστῆρα) καταφυγεῖν ἐπί τινα βωμὸν Ἀρτέμιδος, κἀκεῖ τυχεῖν ἀφέσεως, καὶ τὸν τόπον ἐκεῖθεν Ἔφεσον κληθῆναι, κατὰ παραγραμματισμὸν, ἀντὶ τοῦ Ἄφεσον. ἔθνος δὲ γυναικεῖον αἱ Ἀμαζόνες περὶ τῷ Θερμώδοντι· διὸ καὶ ἀπὸ μητέρων ἐγενεαλογοῦντο, καθὰ καὶ Ἀρριανὸς ἱστορεῖ. ἐκαλοῦντο δέ ποτε καὶ Σαυρομάτιδες, διὰ τὸ ἐν Σαυροματικῇ ποτε Σκυθίᾳ οἰκῆσαι, καθάπερ προγέγραπται ἐν τοῖς περὶ Σαυροματῶν. ἢ οἱονεὶ Σαυροπάτιδες, διὰ τὸ σαύρας πατεῖσθαι, ὅ ἐστι γεύεσθαι· τοιούτων γὰρ ἤσθιον κρεῶν. διὸ καὶ Ἀμαζόνες ἐκαλοῦντο κατά τινας, οὐ μόνον ὡς μονόμαζοι (ἐπεκαίοντο γὰρ βρέφοθεν τὸν δεξιὸν μαζὸν, ὡς ἂν μὴ ἐπικωλύῃ τὴν τοξείαν) ἀλλὰ καὶ οἷα μὴ μάζαις, ἀλλὰ κρέασι θηρείων ἐπιτρεφόμεναι. καὶ ταῦτα μὲν τοιαῦτα. τὸν δὲ ῥηθέντα Μαίανδρον, σκολιόν φασι ῥέειν, ἀφ' οὗ καὶ τὰς τῶν ποταμῶν σκολιότητας πάσας μαιάνδρους καλεῖσθαι. ἱστορεῖται δὲ ὅτι τὴν ἀνωτέρω εἰρημένην Πριήνην πρὸς τῇ θαλάσσῃ οὖσαν τὰς ἀρχὰς, μεσόγειον ἐποίησεν ὁ Μαίανδρος μακρῷ προχώματι. φησὶ γὰρ ὁ Γεωγράφος, "Οὕτω γὰρ ὁ Μαίανδρος πολὺν χοῦν κατάγων, καὶ ὅπῃ τύχῃ τοῦ αἰγιαλοῦ προστεθεὶς, πεποίηκε τὴν Πριήνην μεσόγειον τεσσαράκοντα σταδίων προχώματι, ἐπὶ θαλάττῃ πρότερον οὖσαν.

Μῃονίη [1] δ' ἐπὶ τῇσιν ἐπ' ἀντολίην τετάνυσται,
Τμώλῳ ὑπ' ἠνεμόεντι· τόθεν Πακτωλὸς ὁδεύων
Χρυσὸν ὁμοῦ δίνῃσιν ἐφελκόμενος κελαρύζει.
Τοῦ δ' ἂν ἐπὶ πλημύρῃσι καθήμενος εἴαρος ὥρῃ
Κύκνων εἰσαΐοις λιγυρὴν ὄπα, τοί τε καθ' ὕδωρ
Ἔνθα καὶ ἔνθα νέμονται ἀεξομένης ἐπὶ ποίης.
Πολλοὶ γὰρ λειμῶνες ἐν Ἀσίδι τηλεθόωσιν·
Ἔξοχα δ' ἀμπεδίον Μαιάνδριον, ἔνθα [2] Καΰστρου
Ἥσυχα καχλάζοντος ἐπιρρέει ἀγλαὸν ὕδωρ.
Οὐ μὰν οὐδὲ [3] γυναῖκας ὀνόσσεαι, αἳ περὶ κεῖνο
Θεῖον ἔδος, χρυσοῖο κατ' ἰξύος ἅμμα βαλοῦσαι,
Ὀρχεῦνται, θητὸν ἑλισσόμεναι περὶ κύκλον,
Εὖτε Διωνύσοιο χοροστασίας τελέοιεν.
Σὺν καὶ παρθενικαί, νεοθηλέες οἷά τε νεβροί,
Σκαίρουσιν· τῇσιν δὲ περὶ σμαραγεῦντες ἀῆται
Ἱμερτοὺς δονέουσιν ἐπὶ στήθεσσι χιτῶνας.

1. Ὅτι μετὰ τοὺς Ἴωνας οἱ Μῄονες, ὧν καὶ Ὅμηρος μέμνηται, ἤγουν οἱ Λυδοὶ ἐπ' ἀνατολάς, ἔθνος χώραν ἀγαθὴν οἰκοῦν καὶ πολυαργυροτάτην, ὥς φασιν οἱ παλαιοί· ἔνθα ὁ ἠνεμόεις Τμῶλος τὸ ὄρος, ὅθεν ὁ Πακτωλὸς ῥέων χρυσὸν ὁμοῦ δίνησιν ἐφελκόμενος κελαρύζει. χρυσορρόας γὰρ ἱστορεῖται ποταμὸς ὁ Πακτωλός, ἢ ὡς αὐτὸ τοῦτο χρυσοῦ κατασύρων ψήγματα, ἢ ὡς λιπαίνων τὴν ἐγχώριον γῆν, καὶ πλουτοποιὸς τοῖς ἐκεῖ γινόμενος. καὶ ὅρα καὶ ἐνταῦθα τὸ κελαρύζειν, οὐ πάνυ προσφυὲς ὂν μεγαλειότητι ποταμοῦ ῥεύματος, οὐδὲ ἐν τοῖς περὶ τούτου τοῦ Κηφισοῦ. ὁ δὲ Πακτωλὸς καταφέρεσθαι λέγεται εἰς τὸν Ἕρμον, καθὰ καὶ Ἡρόδοτος ἱστορεῖ, λέγων, "Πακτωλὸς ψῆγμα χρυσοῦ καταφέρων ἐκ τοῦ Τμώλου εἰς τὸν Ἕρμον ποταμὸν ἐκδίδωσι. ὁ δὲ Ἕρμος ῥέων ἐκ τῆς Σαρδιανῆς ἐκδίδωσιν εἰς τὴν τῆς Φωκαίας θάλασσαν". λέων δὲ τὴν τῶν Ἰνδῶν ὁ Διονύσιος ἐξυμνεῖ, ὡς εὐδαίμονα, θεῖόν τε ἔδαφος αὐτὴν ἀποκαλῶν, καὶ λέγων κύκνων λιγυρὴν ὄπα ἔαρος ὥρᾳ ἀκούεσθαι ἐν ταῖς τοῦ Πακτωλοῦ πλημύραις, οἳ καθ' ὕδωρ ἔνθα καὶ ἔνθα νέμονται αὐξανομένης ἐπὶ πόας· καὶ ὅτι πολλοὶ μὲν λειμῶνες ἐν Ἀσίᾳ θάλλουσιν, ἔξοχα δὲ μετὰ τὸ Μαιάνδριον πεδίον. διό τινες καὶ τὸ παρ' Ὁμήρῳ, Ἀσίῳ ἐν λειμῶνι, ἐντεῦθεν νοοῦσιν, ὡς τάχα τῆς Μῃονίας, Ἀσίας λεγομένης. μεθ' ἣν καὶ ἔθνος τι οἱ Μυσοί, κατὰ τὸν Γεωγράφον, ἄλλο παρὰ τοὺς Ὀλυμπίους. φησὶ γὰρ ἐκεῖνος, "Μυσοὶ μετὰ Λυδούς, καὶ πόλις Φιλαδέλφεια". λέγει δὲ ὁ Διονύσιος καὶ τὸν Καΰστρον ἥσυχα καχλάζοντα, ἢ παφλάζοντα, ἐπιρρέειν ὕδατι εἰς τὸν Μαίανδρον.

2. Καΰστρος δὲ ὀνομάζεται ἀπὸ τοῦ παρακεῖσθαι τῇ κεκαυμένῃ χώρᾳ, ἐξ ἧς, κατὰ τὸν Γεωγράφον, οἶνος ἐλλόγιμος ἀρετῇ ἐστι κατακεκαυμενίτης. τὴν δὲ χώραν ταύτην οἱ μὲν Μυσίαν καλοῦσι,

Mæonia autem poſt has urbes ortum verſus porrecta eſt,
Tmolo ſub ventoſo: unde Pactolus means
Aurum cum vorticibus trahens ſuſurrat.
Hujus autem ad latera ſedens veris tempore
Olorum exaudires canoram vocem, qui in nemore
Hic & illic paſcuntur creſcente in herba.
Multa namque prata in Aſia virent;
Præcipue vero in campo Mæandrio, quo Cayſtri
Placide ſtrepentis influit ſplendida aqua.
Ne mulieres quidem vituperabis, quæ in illo
Divino ſolo, aureo per lumbos [*ilia*] vinculo cinctæ,
Tripudiant, mirificum ſe flectentes circum orbem,
Quando Bacchi choreas celebrant.
Simul quoque virgines, recens ablactati velut hinnuli,
Saltant: quibus circumſtrepentes venti
Elegantes agitant in pectoribus veſtes.

διὰ τοὺς ἐκεῖ ῥυέντας Μυσοὺς, οἱ δὲ Μῃονίαν, διὰ τοὺς Μῄονας· ἥτις τεφρώδης λέγεται εἶναι τὴν ἐπιφάνειαν, καὶ ἄδενδρος, πλὴν ἀμπέλου. ἀπὸ δὲ τοῦ Καΰστρου καλεῖται καὶ πεδίον Καΰστριον, τὸ καὶ Καϋστριανὸν ᾧ συνεχὲς τὸ Κιλβιανόν. λέγονται δὲ καὶ οἱ Λυδοὶ, καὶ Μαίονες καὶ Μῄονες· ὡς δηλοῖ καὶ Ἡρόδοτος, λέγων ὅτι "ὁ δῆμος Λύδιος ἀπὸ Λυδοῦ τοῦ Ἄτυος πρότερον Μῄων καλούμενος· παρ' οἷς καὶ αἱ Σάρδεις, τὸ τῶν Λυδῶν βασίλειον, ἅς φασιν Ἴδην λέγεσθαι παρὰ τῷ Ποιητῇ". ταύτας ἔχειν οἱ Κιμμέριοι λέγονται δίχα τῆς ἀκροπόλεως, ὅτε τὴν πολλὴν τῆς Ἀσίας κατέδραμον.

3. Ὅτι ἀποσεμνύνων τὴν γῆν τῶν Λυδῶν ὁ Διονύσιος, ὡς καὶ καλλιγύναικα, φησὶν, ὅτι οὐ μὴν οὐδὲ τὰς Λυδὰς μέμψαιτό τις γυναῖκας, αἳ χρυσοῦν ἅμμα κατὰ ὀσφύος βαλοῦσαι, ἤγουν ζώνῃ χρυσῇ ζωσάμεναι, κύκλῳ χοροῦ θηητοὶ ἑλίσσουσι, χοροστασίας τελοῦσαι τῷ Διονύσῳ. εἶτα ἐνθουσιῶν οἷον ὁ ποιητὴς πανηγυρικώτερον ἐπὶ τῇ τῆς χώρας εὐδαιμονίᾳ, καὶ ἀφελείᾳ λόγου γειτονῶν τὸν ἀκροατὴν, ἢ καὶ, ὡς εἰπεῖν, τοῖς ἔπεσι χορεύων καὶ ἐπορχούμενος, ἐπάγει, Σὺν καὶ παρθενικαὶ, νεοθηλέες οἷά τε νεβροὶ, σκαίρουσιν. φησὶ δὲ, ἤγουν ταύτας, περισμαραγεῦντες ἄηται ἱμερτοὺς δονέουσι περὶ στήθεσσι χιτῶνας. τὸ δὲ νεοθηλέες, τοῖς νεβροῖς συντακτέον· παρθένοις γὰρ τοιαύταις οὐ πάνυ προσφυὲς τοὔνομα. χαιρόντων δὲ τὸ σκαίρειν. τὸ μέντοι σπαίρειν, κινδυνώδης λέξις ἐστὶν, ὥσπερ καὶ τὸ ἀσπαίρειν. τὸ δὲ σμαραγεῖν ἰδοὺ καὶ ἐπὶ ἀνέμων ὀνοματοποιεῖται· ὅθεν καὶ Ζεὺς ἐρισμάραγος, ἤτοι ἀὴρ πολυηχής. ἐνταῦθα δὲ οὐ μόνον ὡς δεξιὰς χοροποιοὺς ὁ Διονύσιος, ἀλλὰ καὶ ὡς ἀγαθὰς ὑφαίνειν τὰς Λυδὰς ἐπαινεῖ. ὅτι δὲ καὶ πλούσιοι πάλαι ποτὲ οἱ Λυδοὶ, δῆλον παρ' οἷς πρώτοις καὶ νομίσματα χρυσοῦ καὶ ἀργύρου

Ἀλλὰ τὰ μὲν [1] Λυδοῖσι μετ' ἀνθρώποισι μέλονται.
Πρὸς δ' ἅλα κεκλιμένην [2] Λύκιοι χθόνα ναιετάουσι,
Ξάνθου ἐπὶ προχοῇσιν, ἐϋρρεῖτου ποταμοῖο·
Ἔνθα βαθυκρήμνοιο φαείνεται οὔρεα Ταύρου,
Παμφύλων καὶ μέχρι· Κράγον δέ ἑ φημίζουσι.
Κεῖθι δ' ἂν ἀθρήσειας ὑπειρ' ἅλιον πτολίεθρον
Ἀσπενδον, [3] ποταμοῖο παρὰ ῥόον Εὐρυμέδοντος,
Ἔνθα συοκτονίῃσι Διωναίην ἱλάονται.
Ἄλλαι δ' ἑξείης [4] Παμφυλίδες εἰσὶ πόληες,
Κώρυκος [5], Πέργη τε, καὶ ἠνεμόεσσα Φάσηλις.
Τῶν δὲ πρὸς ἀντολίην μεσσίτην χθόνα ναιετάουσιν

γὰρ ἐκείνη. καὶ τρυφὴν δὲ πολλὴν εἶχον, ὅθεν καὶ παίγνια πολλὰ ἐξεῦρον αὐτοί. λέγονται δὲ καὶ ἀνδρεῖοί ποτε γενέσθαι, καὶ ἀλκιμώτατοι, καὶ ἀγαθοὶ εἶναι ἱππεύειν. διὸ καὶ παρὰ Λυδίων ἅρμα θέειν λέγονται οἱ ἐν ἡνιοχείᾳ ἠπλωμένοι.

1. Ὅτι ὥσπερ Πάμφυλος, καὶ Παμφύλιος τὸ ἐθνικὸν, καὶ Σύρος, Σύριος, οὕτω καὶ Λυδὸς, Λύδιος. διαβάλλονται δὲ οἱ Λυδοὶ ἐπὶ πονηρίᾳ· ὅθεν καὶ παροιμία, Λυδοὶ πονηροὶ, δεύτεροι Αἰγύπτιοι, καὶ τρίτοι Κᾶρες. αἱ δὲ Λυδαὶ πορνεύειν πᾶσαι λέγονται, καὶ δῶρα πλείω διδόναι ἢ λαμβάνειν. οὕτω δέ φασι καὶ παρὰ Ἀρμενίοις παρθένους ἐπιφανεῖς ἀνιερωθείσας θεᾷ τινι λεγομένῃ Ταναΐδι καταπορνεύεσθαι, εἶτα πρὸς γάμον ἐκδίδοσθαι, μηδενὸς ἀπαξιοῦντος ταῖς τοιαύταις συνοικεῖν.

2. Ὅτι Λύκιοι τὸ ἔθνος κατά τινας καλεῖται ἀπὸ Λύκου τοῦ Πανδίονος διαβάντος εἰς τὴν Ἀσίαν. κεῖνται δὲ, φησὶν, οἱ Λύκιοι πρὸς θάλασσαν, ἔνθα καὶ ὁ Ξάνθος ποταμός ἐστιν, ἄλλος παρὰ τὸν Τρωϊκὸν, τὸν καὶ Σκάμανδρον· καὶ πόλις ὁμώνυμος. περὶ οὗ ἐρρέθη τι καὶ ἐν τῇ τῶν Πατάρων ἱστορίᾳ. περὶ δὲ Λυκίαν καὶ τοῦ βαθυκρήμνου Ταύρου οὔρεα φαίνεται μέχρι Παμφύλων, ἤτοι Παμφυλίαν (διχῶς γὰρ ἡ τοῦ ἔθνους φέρεται γραφὴ, ὡς προείρηται) οὗ Ταύρου τὰ πρὸς τὴν θάλασσαν προτομῇ ταύρου εἰκάζονται· διὸ καὶ Ταῦρον τὸ ὄρος κληθῆναι λέγουσιν. οἱ δὲ καὶ διὰ τὸ μέγεθος Ταῦρόν φασιν αὐτὸν λέγεσθαι· ταῦροι γὰρ παρὰ τοῖς παλαιοῖς, πάντα τὰ μεγάλα καὶ βίαια. ὅθεν καὶ τὸ βοῦ ἐπιτατικὸν μόριον, κατά τινας, εἴληπται ὡς ἐκ τοῦ βοός. τοῦ δὲ ἐνταῦθα Ταύρου τὸ ὄρος, καὶ Κράγον φησὶ φημίζεσθαι, ἀπὸ Κράγου τινὸς ἐπιφανοῦς ἀνδρὸς, ὃς αὐτόθι θανὼν τιμᾶται. ἐν τούτῳ δέ φασιν οἱ παλαιοὶ τοὺς Κραγίους θεῶν ἀγρίων ἄντρα εἶναι. ὁ δὲ Γεωγράφος περὶ τοῦ Κράγου καὶ ταῦτά φησιν, "Ὁ Κράγος ὄρος ἐστὶν ἔχον ἄκρας ὀκτὼ, καὶ πόλιν ὁμώνυμον, ἔνθα μυθεύεται τὰ περὶ Χιμαίρας· καὶ φάραγξ ἐκεῖ Χίμαιρα ἀπὸ τοῦ αἰγιαλοῦ ἀνατείνουσα. ὑπὸ δὲ αὐτῷ κεῖται ὁ Ἀντίκραγος". ἱστορεῖται δὲ καὶ ὄρος εἶναι περὶ Λυκίαν, τίκτον πῦρ αὐτόματον. τοῦτο δὲ μέχρι καὶ εἰσέτι φαίνεται.

3. Ὅτι ἐν Ἀσπένδῳ τῇ Παμφυλικῇ πόλει, ἔνθα ποταμὸς Εὐρυμέδων ῥέει, συῶν θυσίαις ἱλάσκεται Ἀφροδίτη, ὅ ἐστι θεραπεύεται, Μόψου τινὸς προκατάρξαντος τοῦ ἔθνους, ὃς εὐξάμενος θύσειν ὃ ἂν παραπέσῃ τῇ χώρᾳ, σῦν ἑλὼν ἔθυσεν,

Atque hæc quidem Lydos apud homines curæ ſunt.
Ad mare autem vergentem Lycii terram incolunt,
Xanthi ad fluenta, pulchriflui amnis:
Ubi alta præcipitia habentis viſuntur montes Tauri,
Ad Pamphylios etiam uſq;: Cragum vero illum vulgo appellant.
Illic etiam videre queas quod ſupra mare eſt oppidum
Aſpendum, fluminis juxta undas Eurymedontis;
Ubi ſuum mactationibus Dionæam [*Venerem*] placant.
Aliæ autem deinceps Pamphylicæ ſunt urbes,
Corycus, Pergaque, & ventoſa [*ventis expoſita*] Phaſelis.
Harum autem ad orientem mediam terram habitant

σε, κἀκεῖθεν τὸ ἔθος ἐκράτησεν. Ἀργείων δὲ κτίσμα ἡ Ἄσπενδος, εὐανδροῦσά ποτε κατὰ πολύ. εἶχε δὲ καὶ ἐλαιῶνα. φησὶ γὰρ ὁ Γεωγράφος, "Ἄσπενδος ἐλαιόφυτος, "καὶ Σίδη Παμφυλική, πόλεις κατέχουσι "χωρία γεώλοφα". ὁ δὲ Ἀρριανὸς ἱστορεῖ "κακωθῆναι τοὺς Ἀσπενδίους ὑπὸ Ἀ"λεξάνδρου, διότι δοῦναι τῇ στρατιᾷ ὑ"ποσχόμενοι πεντήκοντα τάλαντα εἰς "μισθὸν, καὶ τοὺς πεντήκοντα ἵππους οὓς "ἔτρεφον τῷ βασιλεῖ, οὐκ ἔδωκαν. ἀλ"λά τε οὖν αὐτοὺς ἐλύπησεν ὁ βασιλεὺς, "καὶ τάλαντα ἑκατὸν ἔλαβεν ἀντὶ τῶν "πεντήκοντα". Ἰστέον δὲ ὅτι Ἄσπενδος μὲν διὰ τοῦ ε, ὄνομα πόλεως· διὰ δὲ τοῦ ο Ἄσπονδος, ὁ μὴ σπενδόμενος· ἵνα μὴ συνεμπίπτῃ ἡ πόλις καὶ τὸ ἐπίθετον.

4. Ὅτι ἡ Παμφυλία χώρα ἢ ἀπὸ γυναικὸς Παμφύλης, ἢ ἀπὸ Παμφύλου τινὸς, οὗ καὶ ὁ Λυκόφρων μέμνηται. Ἡρόδοτος δέ φησιν ὅτι Παμφύλιοί εἰσι τῶν ἐκ Τροίας ἀποσκεδασθέντων μετὰ Ἀμφιλόχου καὶ Κάλχαντος.

5. Ὅτι Παμφυλίδες πόλεις, Κώρυκος, καὶ Φάσηλις προπαροξυτόνως, ἡ ποτε Φάρσηλος, ἀφ᾽ ἧς Θεοδέκτης κάλλει διαφέρων, καὶ ποιήσας τεχνικὴν ῥητορικὴν, καὶ λόγους ἀγαθοὺς γράψας, καὶ τραγῳδίας ν΄. περὶ τούτων ὁ Γεωγράφος φησὶ, "Κώρυκος καὶ Φάσηλις, Παμφύλων τόποι". ἀλλαχοῦ δέ φησι, "Κώρυκος αἰ"γιαλὸς περὶ Λυκίαν. εἶτα Φάσηλις λί"μνη, καὶ πόλις ἀξιολόγους ἔχουσα τρεῖς "λιμένας. ταύτης ὑπέρκειται τὰ Σόλυ"μα, καὶ Τελμισσὸς πόλις Πισιδική, ἐπι"κειμένη τοῖς στενοῖς τοῖς περὶ τὴν Φα"σηλίδα θάλασσαν, ἅπερ Ἀλέξανδρος "ἀνοίξας διήγαγε τὴν στρατιάν. ἐνταῦθα καὶ "Κλίμαξ ὄρος, φησὶν, ἐπικείμενον τῷ "Παμφυλίῳ πελάγει. ἐνταῦθα νηνε"μίας μὲν γυμνοῦται τοῖς παροδεύουσιν "αἰγιαλὸς, πλημμύροντος δὲ τοῦ πε"λάγους, ὑπὸ κυμάτων καλύπτεται τὸ "πολύ. μέσον δὲ Φασήλιδος καὶ Ἀττα"λείας Θήβη πόλις καὶ Λυρνησσὸς, ὁμώ"νυμοι ταῖς Τρωϊκαῖς". τὴν δὲ Ἀττάλειαν ὁμώνυμον ὁ Γεωγράφος εἶναι λέγει τοῦ κτίσαντος, ὃς καὶ Κώρυκον πολίχνιον ἔκτισεν. ἐν ἄλλοις δέ φησιν ὁ αὐτὸς ὅτι Κώρυκος ἄκρα Λυκίας, μετὰ τὴν ἄκραν τὸ Ἀνεμούριον· ὑπὲρ ἧς ἄντρον τὸ Κωρύκειον, ἐν ᾧ ἀρίστη κρόκος φύεται. Ἰστέον δὲ ὅτι ἡ παροιμία ἡ λέγουσα,

Τοῦ δ᾽ ἄρ᾽ ὁ Κωρυκαῖος ἠκροάζετο,

οὐκ ἀπὸ ταύτης τῆς Κωρύκου εἴρηται, ἀλλ᾽

ἀπὸ

Ἴδριες ἐν πολέμοισι [1] Λυκάονες ἀγκυλότοξοι.
Τοῖς δ' ἔπι, [2] Πισιδέων λιπαρὸν πέδον· ἧχι πόληες,
Τερμισσὸς, [3] Λύρβη τε, καὶ, ἣν ἐπολίσσατο λαὸς
Πρίν ποτ' Ἀμυκλαίων, μεγαλώνυμος ἐν χθονὶ Σέλγη.
Κεῖθεν [4] δ' εἰς αὐγὰς, σκολιὸν περιτέμνεται οἶμον
Πολλὸν ἔσω βεβαῶτα περίδρομος ἀμφιτρίτη,
Γείτων Εὐξείνοιο πολυκλύστοιο θαλάσσης.
Κεῖνός τοι Κιλίκων περισύρεται ἔθνεα κόλπος
Μακρὸς ἐπ' ἀντολίην· Ἀσίης δὲ στεινὰ καλεῦσι.
Καὶ τῶν μὲν πλεόνων ποταμῶν ἐπιμίσγεται ὕδωρ·

ἀπὸ ἠϊόνος τινὸς, καὶ λιμένος ὄντος πλησίον τοῦ Τέω νήσου καὶ τῶν Ἐρυθρῶν, ἔνθα λῃστήριον ἦν τῶν ἐκεῖ Κωρυκαίων, ἀναμισγόντων περιέργως τὰ κατὰ τοὺς ἐμπόρους, καὶ οὕτως ἐπιβουλεύοντο αὐτοῖς. ὅθεν καὶ ἡ παροιμία, ἐπὶ τῶν περιεργαζομένων καὶ μανθανόντων τὰ ἀπόρρητα.

1. Ὅτι τοὺς Λυκίους περὶ θάλασσαν εἶπεν εἶναι, διαστέλλων πρὸς τοὺς Λυκάονας· οὓς Λυκάονας πρὸς ἀνατολὴν λέγει ὡς ἠπειρώτας μέσην χθόνα οἰκεῖν. καὶ ἀγκυλοτόξους ὀνομάζει, καὶ ἴδριας ἐν πολέμῳ καλεῖ. τούτων τῶν Λυκαόνων ἐστὶ καὶ τὸ Εἰκόνιον, τῇ εἰκόνι τοῦ Γοργόνος παρονομαζόμενον, ἣν αὐτόθι ἀνεστήλωσεν λέγεται ὁ Περσεύς. λέγονται δὲ Λυκάονες ἀπὸ Λυκάονός τινος Ἀρκάδος, πόλιν αὐτόθι κτίσαντος κατὰ χρησμὸν, ἐπὶ ἐμφα[illegible] Λύκ[illegible]κάμαντος, φέροντος ἐν [illegible]θμοῖς ἀνδρομέην παλάμην·

— τό ῥα οἱ τέκμηρεν Ἀπόλλων.

Ἰστέον δὲ ὅτι διττοί εἰσιν οἱ Λύκιοι, ὡς καὶ Ὁμήρῳ δοκεῖ, οἱ μὲν, Τρωϊκοὶ, καθὰ καὶ ὁ Γεωγράφος φησίν· οἱ δὲ, περὶ τῇ Καρίᾳ. ἄδηλον δὲ πότεροι τοὺς ἑτέρους ἀπῴκισαν. οὕτω δέ φησιν ὁ Γεωγράφος καὶ περὶ τῶν Κιλίκων. περὶ τούτων μέντοι ἀλλαχοῦ φησιν ὁ αὐτὸς Γεωγράφος, ὅτι "οἱ Κίλικες οἱ "ἐν Τροίᾳ μεταναστάντες εἰς Συρίαν, ἀπετέ"μοντο παρὰ τῶν Σύρων τὴν νῦν Κιλικίαν".

Ἡρόδοτος δὲ τοὺς περὶ τῇ Καρίᾳ Λυκίους ἐκ Κρήτης γενέσθαι ἱστορεῖ, λέγων καὶ ὅτι Τερμίλαι ἐκαλοῦντο. ἐπὶ δὲ Λύκου τοῦ Πανδίονος ἀνδρὸς Ἀθηναίου ἐκλήθησαν Λύκιοι. εἶχον δὲ καὶ κράνεια τόξα, καὶ οἰστοὺς καλαμίνους ἀπτέρους, καὶ αἰγὸς δέρματα περὶ τοὺς ὤμους, καὶ περὶ τὰς κεφαλὰς πίλους ἐστεφανωμένους πτεροῖς.

2. Ὅτι Πισιδέων πεδίον, οὓς καὶ Σολύμους τινές φασι, λιπαρὸν λέγει· ὧν πόλις ἡ Σέλγη, ἣν καὶ κτίσμα λέγει λαοῦ Ἀμυκλαίων, καὶ μεγαλώνυμον καλεῖ. φασὶ γὰρ δισμυρίανδρον τὴν πόλιν ταύτην γενέσθαι. ἀπὸ Πισίδου δέ τινος ὀνομασθῆναι λέγονται οἱ Πισίδαι, δι' ἑνὸς σ ἐκφερόμενοι· καί ποτε μὲν ἐν συστολῇ, ποτὲ δὲ ἐν ἐκτάσει τὴν ἄρχουσαν. λέγεται δὲ ὑπὸ Κάλχαντος ἡ Σέλγη κτισθῆναι, εἶτα ὑπὸ Λακεδαιμονίων. ἀξιολογώτατοι δὲ Πισιδέων οἱ Σελγεῖς, καὶ δι' ἐρυμνότητα πόλεως, οὐδέποτε ἐπ' ἄλλοις γενόμενοι· Ἀλεξάνδρῳ δὲ πρεσβευσάμενοι, καὶ κατὰ φιλίαν εἰπόντες δέχεσθαι τὰ προστάγματα. ἱστορεῖται δὲ καὶ πάνυ ποτὲ τὴν πόλιν ταύτην εὐνομηθῆναι, Λακώνων, ὡς εἴρηται, μετοικησάντων εἰς αὐτήν. ὅθεν καὶ ἀσελγεῖς φασι κατὰ στέρησιν καλεῖσθαι τοὺς αἰσχροὺς, καὶ οὐ ζῶντας εὐνόμως, μηδὲ ἐοικότας Σελγεῦσι κατὰ ἤθους χρηστότητα. καίτοι ἄλλοι τὸ ἀνάπαλιν

Periti in bellis Lycaones, curvis arcubus utentes.
Hos vero poſt, Piſidarum pingue ſolum: ubi urbes,
Termiſſus, Lyrbaque, &, quam condidit populus [Selga.
Olim aliquando Amyclæorum, quæ eſt magni nominis in terra,
Inde autem in orientem, obliquum circumſecat tramitem
Multum introgreſſum circumfluum mare,
Vicinum Euxino undoſo æquori.
Ille ſane Cilicum trahitur circum gentes ſinus
Longus in orientem: Aſiæ vero anguſtias [*fauces*] vocant.
Atq; in hunc quidem multorum fluminum commiſcetur unda,

πάλιν φαυλοτάτους τοὺς ἐκεῖ ἱστοροῦσιν, ὅθεν κατ' ἐπίτασιν λέγεσθαι τὴν ἀσέλγειαν ἐπὶ τῶν οὐ καθαρῶς ζώντων, ἀλλὰ τοῖς Σελγεῦσιν ἐοικότων. κρείττων δὲ ἡ πρώτη ἐπιβολὴ τῆς ἐτυμότητος. τάχα γὰρ οὐκ ἂν ὁ Διονύσιος μεγαλώνυμον εἶπε τὴν Σέλγην, εἰ φαύλους τοὺς πολίτας ἔτρεφεν.

3. Ὅτι πόλις Πισιδῶν καὶ ἡ Λύρβη καὶ ἡ Τερμισσὸς, ὑποκειμένη τῆς Κιβύρης τῆς μεγίστης διοικήσεως· ἔνθα φησὶν ὁ Γεωγράφος τὸν σίδηρον ῥᾳδίως τορνεύεσθαι. ταύτην τινὲς διὰ τοῦ λ γράφουσι Τελμισσὸν, καὶ λέγουσιν ὅτι Τελμισσὸς ἡ πόλις πλεονασμὸν ἔπαθεν, ἐπιτεθέντος τοῦ λ. ἐκλήθη γὰρ ἀπὸ Τελμισσοῦ τοῦ Ἀπόλλωνος, ὡς φησιν Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν. Σημείωσαι δὲ ὅτι κρείττων ἡ διὰ τοῦ ρ προσεκτεθεῖσα γραφή. φέρεται γὰρ ἐν τοῖς ἐθνικοῖς, τὴν μὲν διὰ τοῦ λ Τελμισσὸν, πόλιν εἶναι τῆς Καρίας, ἢ Λυκίας· τὴν δὲ Τερμισσὸν, τῆς Πισιδίας. λέγει δὲ καὶ ὁ Γεωγράφος, « Τελμισσὸς, πολίχνη Λυκίων· καὶ Τελμισσὸς ἄκρα. εἶτα ὁ Ἀντίκραγος». αὕτη δὲ ἡ Τερμισσὸς καὶ μείζων λέγεται, πρὸς ἀντιδιαστολὴν ἑτέρας ἀπείκω αὐτῆς, καλουμένης μικρᾶς Τερμισσοῦ.

4. Ὅτι μετὰ τὰς Πισιδίας πόλεις, πρὸς αὐγὰς ἡ τοῦ Ἰωνικοῦ, (ἤτοι τοῦ Παμφυλίου) πελάγους ἐστὶ καμπὴ κυλιομένη, ὡς καὶ ἀλλαχοῦ προείρηται, καὶ ῥεῖον περίδρομος, ἐπὶ πολὺ ἔσω βαίνουσα, οὐκ ἀριθμουμένη δὲ οὐδὲ τῷ Εὐξείνῳ, ὡς οἱ παλαιοὶ γράφουσιν, ἀλλὰ πρὸς αὐτὸν ἐν τῷ κάμπτεσθαι νεύουσα. διὸ καὶ, ὥσπερ ὁ Τρηχίνιος, οὕτω καὶ αὐτὸς ὁ Παμφύλιος, γείτων τοῦ Εὐξείνου λέγεται, καίτοι ἄλλως ἐπὶ μακρὸν ἀφεστηκώς. Ἰστέον δὲ ὅτι μακρὸς ἐπὶ ἀνατολὴν προσουρούμενος τὴν τῶν Κιλίκων γῆν ὁ Ἰσσικὸς οὗτος κόλπος, καὶ προσκείμενον ἔχων ἔγγιστα τὸν Ταῦρον τὸ ὄρος, ἀποτελεῖ τὰ κατὰ τὸν Διονύσιον λεγόμενα τῆς Ἀσίας στενά. ταῦτα δὲ λέγεται ἀνοῖξαι Ἀλέξανδρος, εἰς εὐρυχωρίαν τῷ στρατῷ, παρέργως ἐκεῖ κάλλιόν τι καινοτομήσαντος αὐτοῦ, καὶ τῆς περὶ τὸν Ἄθω Ξερξικῆς ἀλαζονείας πάνυ τι χρησιμώτερον. Ἀρριανὸς δὲ λέγει καὶ εὐτυχῆσαι τηνικαῦτα τὸν Ἀλέξανδρον. ἄλλως γὰρ οὐκ οὔσης ὁδοῦ ἐν τῇ κατὰ Φασηλίδα θαλάσσῃ, ὅτι μὴ [illegible] ἀρκτοῦ πνεόντων ἀνέμων (εἰ γὰρ νότος κατέχοι, ἄπορος ἦν διὰ τοῦ αἰγιαλοῦ διελθεῖν Ἀλεξάνδρῳ) σκληροὶ δὲ βορέαι ἐπιπνεύσαντες οὐκ ἄνευ τοῦ θείου εὐμαρῆ τὴν ὁδὸν παρέσχον. λέγεται δὲ καὶ κατὰ τὴν Περσίδα πολλὰ εἶναι στενὰ, ἃ βίᾳ μὲν, διῆλθε δ' ὅμως ὁ Μακεδὼν Ἀλέξανδρος, ἄλλα τε ποιῶν καὶ τὰ γαζοφυλάκια δὲ κατασχεῖν, ἃ πολλοῖς χρόνοις ἐξεπεπλήρωντο. περὶ δὲ τῶν τῆς Ἀσίας στενῶν εἴρηταί τι καὶ ἐν τοῖς πρὸ μικροῦ ῥηθεῖσι περὶ Φασηλίδος.

Τηλόθεν ἐρχομένων, [1] Πυράμοιό τε καὶ Πινάροιο,
Κύδνου τε σκολιοῖο μέσην διὰ Ταρσὸν ἰόντος,
Ταρσὸν ἐϋκτιμένην, ὅθι δή ποτε Πήγασος ἵππος
Ταρσὸν ἀφεὶς χώρῳ λίπεν οὔνομα, ἦμος ἀφ᾽ ἵππου
Ἐς Διὸς ἱέμενος πέσεν ἥρως Βελλεροφόντης.
Κεῖθι δὲ καὶ πεδίον τὸ Ἀλήιον, οὗ κατὰ [2] νῶτα
Ἀνθρώπων ἀπάνευθεν ἀλώμενος ἐνδιάασκε.
Πολλαὶ δ᾽ ἑξείης [3] Κιλίκων γεγάασι πόληες,
Λυρνησσὸς[4], Μαλλός τε, καὶ [5] Ἀγχιάλεια, [6] Σόλοι τε.

1. Ὅτι ὁ Παμφύλιος (ὁ καὶ Ἰσσικὸς) κόλπος τὴν Κιλίκων γῆν, ὡς εἴρηται, περισύρεται, καὶ ὅτι εἰς αὐτὸν ὁ Πύραμός τε ποταμὸς εἰσβάλλει, καὶ ὁ Πίναρος, καὶ Κίδνος, ὁ ἀπὸ τοῦ Ταύρου ὄρους τοῦ ὑπερκειμένου τῆς Ταρσοῦ ῥέων σκολιὸς, καὶ μέσην τὴν Ταρσὸν διιών· περὶ οὗ καὶ κατωτέρω ῥηθήσεται. ψυχρὸν δὲ, φασὶ, καὶ ταχὺ τὸ ῥεῦμα τοῦ Κύδνου, καὶ ἐπικερὲς τοῖς παχυνομένοις κτήνεσι καὶ ἀνθρώποις. εἰς τοῦτον, ὡς καὶ Ἀρριανὸς ἱστορεῖ, ἔρριψεν ἑαυτὸν ὁ Ἀλέξανδρος, καὶ καύματι ἐχόμενος, ἐπιθυμήσας τοῦ ὕδατος, ὁπηνίκα καὶ σπασμῷ ἐσχέθη, καὶ θέρμαις ἰσχυραῖς, καὶ ἀγρυπνίᾳ συνεχεῖ· ὅτε καὶ ἐκάθηρεν αὐτὸν Φίλιππος ὁ Ἀκαρνὰν ἰατρὸς, τῶν ἄλλων ἰατρῶν οὐκ οἰομένων εἶναι βιώσιμα. ὁ δὲ Πύραμος σκολιός τε ῥέει, ὡς εἴρηται, καὶ καταπίπτων εἰς βαθεῖαν φάραγγα, ψόφον προβάλλει βροντῇ παραπλήσιον· καὶ χοῦν δὲ πάνυ πολὺν, ὡς ὁ Γεωγράφος φησὶ, κατάγει ἐπὶ τὴν θάλασσαν. διὸ καὶ χρησμὸς ἐξέπεσεν ἐν ὑπερβολῇ τοιοῦτος,

Ἔσσεται ἐσσομένοις, ὅτε Πύραμος εὐρυδίνης
Ἠϊόνα προχέων ἱερὴν ἐς Κύπρον ἵκηται.

Ἡ δὲ Ταρσὸς ἐν πεδίῳ μὲν ἵδρυται, Ἀργείων δὲ ἐστι κτίσμα, πλανηθέντων ἐκεῖ κατὰ ζήτησιν Ἰοῦς τῆς τοῦ Ἰνάχου θυγατρός. ἱστορεῖται δὲ ἐπιπολάσαι ποτὲ τῇ πόλει ταύτῃ πολλὴν εὐχέρειαν τοῦ ἀποσχεδιάζειν ῥήτορας πρὸς τὴν δεδομένην ὑπόθεσιν· εὐπορῆσαι δὲ καὶ πολλῶν ἀνδρῶν ἐλλογίμων, καὶ ἄλλα πολλὰ σχεῖν ἀγαθά. ὁ δὲ Διονύσιος, ἐπαναλήψει καὶ ἐνταῦθα, διὰ τὸ τοῦ τόπου ἔνδοξον, χρησάμενος, λέγει καὶ αἰτίαν δι᾽ ἣν ἡ τῶν Κιλίκων πόλις οὕτω καλεῖται· ὅτι δηλονότι ὁμώνυμός ἐστι τῷ τοῦ Πηγάσου ταρσῷ, ἐκεῖ καταρρυέντος ἄνωθεν, καὶ τὸν ἀναβάτην Βελλεροφόντην συγκατενεγκόντος, μελαγχολήσαντα πρὸς τῷ γήρᾳ, ὡς καὶ Ἀριστοτέλης ἱστορεῖ, καὶ πλανώμενον ἐκεῖ περὶ τὸ Ἀλήιον πεδίον. ὅτε γὰρ ἐς Διὸς ὁ Βελλεροφόντης ἀφικνεῖτο, ἐποχούμενος τῷ πτερῷ Πηγάσου, τότε καὶ ὁ Πήγασος κάτω ἠνέχθη, χόλῳ Διὸς, καὶ ὁ ἱππεὺς συγκατηνέχθη· καὶ ὁ ἵππος αὐτοῦ ἐνταῦθα τὸν τοῦ ποδὸς ταρσὸν ἐπαφεὶς (ἐκεῖ γὰρ ὤκλασε) τῷ τόπῳ ἔλιπε τὸ ὄνομα. ἄλλοι μέντοι τὸ ὄνομα τῆς πόλεως ὑπόμνημα τῆς τοῦ Βελλεροφόντου χωλείας εἶναί φασι * τὴν πόλιν, διὰ τὸ μετὰ τὸν κατακλυσμὸν, ἢ μετὰ τὴν πρώτην σύστασιν τῶν ὑδάτων παραχωρούντων εἰς τὴν θάλασσαν, τὰ ἐκεῖ ἀναξηρανθῆναι πρῶτα Ταυρικὰ ὄρη. διὸ καὶ τὴν πόλιν Τερσίαν τότε κληθῆναι, ὡς ἀπὸ τοῦ τέρσω τὸ ξηραίνω· ὕστερον δὲ Ταρσόν. Ἐργετοθένης δέ φησι τὴν κλῆσιν τῇ πόλει εἶναι ἀπὸ Διὸς Τερσίου τοῦ ἐκεῖ καλουμένου. οἱ δέ φασι Τερσὸν τὰ πρῶτα διὰ τοῦ ε στοιχείου ὀνομασθῆναι

Procul venientium, Pyramique & Pinari,
Cydnique flexuoſi [*ſinuoſi*] mediam per Tarſum euntis,
Tarſum bene ſtructam, ubi quondam Pegaſus equus
Ungulam amittens loco reliquit nomen, quando ex equo
Ad Jovis [*domum*] proficiſcens decidit heros Bellerophon.
Illic etiamnum campus Aleïus, cujus in dorſo [*in planitie*]
Ab hominibus ſeorſum oberrans verſabatur.
Multæ autem deinceps Cilicum ſunt urbes,
Lyrneſſus, Malluſque, atque Anchialia, Solique:

φθῆναι τὴν πόλιν, διὰ τὸ τοὺς ἐκεῖ πρώτους συναγαγόντας καρπὸν χλωρὸν περσῆναι, ὅ ἐστι ξηρᾶναι, καὶ εἰς χειμῶνος ἀποθέσθαι τροφήν. ἐκεῖ δέ πού φασιν εἶναι καὶ τὸ Αλήϊον πεδίον, οὗ καὶ Ομηρος μέμνηται· ἐν ᾧ, μετὰ τὴν κατάπτωσιν, ὡς ἐῤῥέθη, ἐπλανᾶτο Βελλεροφόντης, τοῦ τε Πηγάσου καταπεσὼν καὶ τῶν φρενῶν ἐκπεσών· ὅθεν καὶ μονιὸν εἵλετο βίον, ἀνθρώπων ἀπενδυθεὶς περὶ τὸ πεδίον ἀλώμενος, ἤγουν πλανώμενος. ὅπερ ἐκ τῆς τοιαύτης αὐτοῦ ἄλης, ὅ ἐστι πλάνης, ἐτυμολογηθὲν, ὡς καὶ Ομήρῳ δοκεῖ, ἐκλήθη Αλήϊον· ἢ ἀπό τινος πόλεως καλουμένης Αλης, ὥς τινες λέγουσιν· ἢ παρὰ τὸ ἐστερῆσθαι λήϊων. ἔστι δὲ, φασὶ, τὸ πεδίον τοῦτο μεταξὺ Κύδνου ποταμοῦ, καὶ Σινάρου. τὸν δὲ μνημονευθέντα Σίναρον, ποταμόν τέ φασιν εἶναι ἐκ μέσου πεδίου ἀνιέντα, καὶ οὕτω βιαίως τοῦ μυχοῦ ἀνατέλλειν, ὥστε τῷ καθιέντι ἀκόντιον εἰς τὸ τῆς γῆς βάθος ἀντιπράττει τὸ ὕδωρ, καὶ μόλις τὸ καθιέμενον βαπτίζεται. διττὴ δὲ ἡ γραφὴ τοῦ Ταρσοῦ, διά τε τοῦ ε, ὡς προεῤῥέθη, ἀπὸ τοῦ τέρσαι, καὶ διὰ τοῦ α, ἔταρσον, δευτέρου ἀορίστου. λέγεται δὲ ταρσὸς καὶ ἐπὶ πτέρυγος ὀρνέων, καὶ ἐπὶ εἰρεσίας τριηρῶν. καὶ ὁ τῶν τυροποιούντων δὲ καλαθίσκος ταρσὸς καλεῖται, καὶ ἀπ' αὐτοῦ ταῤῥὸς, ὡς πυρσὸς, πυῤῥός. ἄποικος δὲ Αργείων ἡ Ταρσὸς, κτίσμα Σαρδαναπάλου, ὃν καὶ ἐν αὐτῇ τεθάφθαι φασί τινες.

2. Οτι ἐὰν καὶ νῶτα γῆς, ὥσπερ καὶ θαλάσσης, οἱ ῥήτορες λέγουσι, δηλοῦντες τὴν αὐτῆς ἐπιφάνειαν, ἀλλ' αὖθίς ποτε καὶ ὑπτίαν κειμένην κεῖσθαί φασιν, ὅτε περὶ πεδιάδων λέγουσι. δηλοῖ δὲ ὅτι καὶ λαγόνας γῆς καὶ κενεῶνα φασιν, ὅτε μὴ τὸ φαινόμενον αὐτῆς, ἀλλὰ καὶ τὸ ἐν βάθει δηλῶσαι βούλονται.

3. Οτι Κίλικες τὸ ἔθνος, καθά φησιν Αῤῥιανὸς, ἀπὸ Κίλικος τοῦ Αγήνορος, ὃς ἐκ Φοινίκης κατὰ ζήτησιν Εὐρώπης σταλεὶς, καὶ πολλὴν γῆν πλανηθεὶς, οὐδενὶ μὲν ἴχνει τῆς παιδὸς ἐνέτυχε, τὴν δὲ πολλὴν τῆς Φοινίκων γῆς κατασχὼν, ἀφ' ἑαυτοῦ τὴν ἐπωνυμίαν ἔδωκε τῇ χώρᾳ. Ηρόδοτος δέ λέγει ὅτι πρὸ τούτου Αχαιοὶ ἐκαλοῦντο οἱ Κίλικες. πειρατικοὶ δὲ οἱ Κίλικες, οἳ καὶ τὸ κατὰ Σαμοθρᾳκῶν ἱερὸν ποτε περισυλήσαντες ταλάντων πλείω χιλίων ἀπήνεγκαν. ὁ δὲ Γεωγράφος φησὶν, ὅτι "Κιλικία, ἡ μὲν "τραχεῖα, ἧς ἡ παραλία στενὴ μέχρι "καὶ περὶ Ισαυρίαν καὶ Πισιδίαν, καὶ οἱ "αὐτὴν οἰκοῦντες Τραχειῶται λέγονται· "ἡ δὲ πεδιὰς, ἀπό τε Σόλων καὶ Ταρ-"σοῦ, μέχρι καὶ Ισσοῦ.

4. Οτι Κιλίκων ἐστὶ πόλις καὶ ἡ Λυρνησσὸς, ἄλλη παρὰ τὴν Τρωϊκὴν, ὀνομαζομένη καὶ Ομαλή· ἐφ' ὕψους μὲν κειμένη, κληθεῖσα δὲ οὕτως ἀπό τινος Μαλλοῦ κτίσαντος αὐτήν· ἢ ἀπὸ μαλλῶν, ἤγουν στεμμάτων, ἃ κόρακος ἁρ-

Αἱ μὲν ἐν ἠπείρῳ, αἱ δ' αὐτῆς ἄγχι θαλάσσης.
Τῆς δ' ἔπι, [1] Κομμαγηνῶν ἔδος, Συρίης τε πόληες,
Θινὸς ἔπι στρεπτῆς περιμήκεες. ἀμφὶ γὰρ ὁλκὸς
Ἐς δύσιν ἐστράπται πολιῆς ἁλός, ἄχρι κολώνης
Οὔρεος ἀγχιάλοιο, βαθυκρήμνου Κασίοιο.
Ῥηϊδίως δ' ἄν τοι λοιπὸν πόρον αὐδήσαιμι
Γαιάων [2] Ἀσίης· ὁ δέ τοι λόγος ἐν φρεσὶν ἔστω,
Μηδ' ἀνέμοις φορέοιτο πονηθέντων χάρις ἔργων.
Εἰ γάρ μοι σάφα τήνδε καταφράσσαιο κέλευθον,
Ἦ τάχα κ' ἂν ἄλλοισιν ἐπισταμένως ἀγορεύοις
Καὶ ποταμούς, πολίων τε θέσιν, καὶ γαῖαν ἑκάστην.
Σχῆμα μὲν οὖν πισύρεσσιν ἐπὶ πλευρῇσι τετύχθω,
Πεπταμένον δολιχοῖσιν ἐπ' ἀντολίην πεδίοισιν.
Οἶσθα γὰρ [3] ἐν πρώτοισιν ἐμεῦ εἰπόντος ἀκούσας,
Πᾶσαν ἕως Ἰνδῶν Ἀσίην ὄρος ἄνδιχα τέμνειν.
Κεῖνό τοι [4] ἐν πλευρῇσι βορειότερον τελέοιτο·
Νεῖλος δ' ἑσπέριον πλευρὸν πέλοι· αὐτὰρ ἑῷον,
Ἰνδικὸς ὠκεανός· νότιον δ' ἁλὸς οἶδμα τ' Ἐρυθρῆς.

πλάσαντες ποθεν, καὶ καταθέντος ἐνταῦθα, ἐκλήθη ἡ πόλις κατὰ χρησμόν, ὑπὸ Μόψου καὶ Ἀμφιλόχου τῶν ὑμνουμένων μάντεων, οἳ καὶ Μαλλὸν ἐκάλεσαν τὴν πόλιν ἐκ τῶν τοιούτων μαλλῶν. Ἱστέον δὲ καὶ ὅτι ἔθνος ἐστὶ μαχιμώτατον Ἰνδικὸν οἱ Μαλλοί, π[illegible]ικῶς λίθῳ παρὰ βραχὺ ἐκινδύνευσεν εἰς ζωὴν ὁ μέγας Ἀλέξανδρος.

5. Ὅτι πολλαὶ πόλεις Κιλίκων, αἱ μὲν ἐν ἠπείρῳ, αἱ δὲ ἀγχίαλοι· ὧν μία καὶ ἡ Ἀγχιάλη, κτίσμα τῆς Ἰαπετοῦ θυγατρός, ὅπου καὶ ὁ ποταμὸς Ἀγχιαλεύς. ταύτης τῆς Ἀγχιάλης υἱὸς Κύδνος· ἀφ' οὗ Κύδνος ὁ ἐν Ταρσῷ ποταμός, οὗ ἐκβολαὶ μετὰ τὴν Ἀγχιάλην πόλιν. τινὲς δὲ Σαρδαναπάλου κτίσμα καὶ αὐτὴν τὴν Ἀγχιάλην φασίν, ἐπιγράφοντες ὅτι Σαρδανάπαλος Ἀγχιάλην καὶ Ταρσὸν ἔκτισεν ἐν μιᾷ ἡμέρᾳ. ὁ δὲ Διονύσιος Ἀγχιάλειαν ταύτην λέγει· ὡς καὶ ὁ Γεωγράφος τὴν Θεσσαλονίκην, Θεσσαλονίκειαν. ἔστι δὲ καὶ Θρᾳκικὴ Ἀγχιάλη, κατὰ τὸν Γεωγράφον.

6. Ὅτι πόλις Κιλικίας καὶ οἱ Σόλοι, ἡ νῦν Πομπηϊοῦ πόλις. λέγονται δὲ Σόλοι, κατά τινας, ἀπὸ Σόλωνος. οἱ δέ φασι Ῥοδίων καὶ Ἀχαιῶν κτίσμα τὴν τοιαύτην πόλιν. τούτων οἱ πολῖται οὐ Σόλοι, ἀλλὰ Σολεῖς. φασὶ δὲ καὶ τὸν σολοικισμὸν ἐντεῦθεν λαβεῖν τὴν ἀρχήν, ὡς ἀνδρῶν ποτε Ἀττικῶν οἰκησάντων ἐκεῖ, καὶ τὴν εὐγενῆ παρακουσάντων Ἀττικὴν γλῶτταν, καὶ ἐξαγροικισθέντων διὰ τὸν ἐν Σόλοις οἰκισμόν· ὅθεν καὶ πάντας τοὺς τοιούτους, σολοίκους λέγεσθαι, οἵ εἰσι βαρβάρους, κατὰ τοὺς ἐν Σόλοις οἰκήσαντας. εἰσὶ δὲ Σόλοι καὶ ἐν Κύ-

πρῳ,

Aliæ quidem in continente, aliæ vero ipſum prope mare.
Poſt has autem, Commagenum ſolum, Syriæque oppida,
Littore inflexo longe protracta. circum namque tractus
In occaſum converſus eſt cani maris, uſque ad jugum
Montis maritimi, alta habentis præcipitia Caſii.
Facile autem tibi reliquum curſum eloquar
Terrarum Aſiæ: verum hæc tibi verba in mente hæreant;
Neque à ventis feratur elaboratorum gratia operum.
Etenim ſi mihi plane hanc perceperis viam,
Profecto etiam aliis perite memorare poſſis
Et fluvios, & urbium ſitum, & regionem unamquamque.
Figura igitur quatuor in lateribus eſto,
Expanſa ſpatioſis in ortum campis.
Scis enim te inter prima dicentem me audiiſſe,
Totam uſque ad Indos Aſiam montem bifariam ſcindere.
Ille mons tibi inter latera magis aquilonaris fiat:
Nilus autem occidentale latus ſit: at orientale,
Indicus oceanus: auſtrale vero, maris undæ rubri.

περὶ, ὧν οἱ πολῖται Σόλιοι λέγονται.

1. Ὅτι μετὰ τὴν Κιλικίαν καὶ ἡ Κομμαγηνὴ Καππαδοκία ἐστί, καὶ μὴν καὶ περὶ τὴν στρεπτὴν ὄψιν τοῦ Ἰσσικοῦ κόλπου Συρία, τουτέστιν ἡ Φοινίκη, διήκουσα ἄχρι καὶ εἰς τὸ Κάσιον ὄρος· ὅπερ ὄρος ἐστὶν αἰγιαλὸν φησὶ καὶ βαθύκρημνον, περὶ ὃ ἡ τοῦ Ἰσσικοῦ κόλπου περιφέρεια εἰς δύσιν ἐστραμμένη παύεται τοῖς ἐκ τῶν βορείων δηλαδὴ ἕως ἐπὶ τὰ ἐκεῖσε ἥκουσιν. Ἰστέον δὲ ὅτι τὴν Κομμαγηνήν, Κομμαγεννὴν λέγει, κατὰ πλεονασμὸν τοῦ ν, διὰ μέτρου ὀρθότητα. Σημείωσαι δὲ ὅτι περὶ τὴν Κομμαγηνὴν Καππαδοκίαν καὶ ἡ Μελιτηνὴ κεῖται, καὶ τὸ λεγόμενον Ἀμανὸν ὄρος. τοῦ Ταύρου δὲ κόμμα καὶ αὐτό. κἀκεῖνο δὲ σημείωσαι, ὅτι ἀξιόλογος ἡ Κομμαγηνὴ χώρα, ὅπου τινὲς εἰς πέντε διαιροῦντες τὴν ὅλην Συρίαν, μέρη αὐτῆς ἐτίθεντο τὴν Κομμαγηνήν, καὶ τὴν Σελευκίδα, καὶ τὴν Κοίλην Συρίαν· καὶ πέμπτον τὴν παραλίαν Φοινίκην, καὶ τὴν Ἰουδαίαν ἐν μεσογείᾳ.

2. Ὅτι χώρας γαίας λέγει ἐν τῷ, γαιάων Ἀσίης· περιηγητὴς δὲ φησὶ γαίας καὶ ἄλλας Μακεδονικὰς πόλεις.

3. Ὅτι τό, ἐν ἀρχῇ λόγου, καί, περὶ ὀλίγου δέ, ἐν πρώτοις λέγει. φησὶ γοῦν, οἶσθα ἐμοῦ ἐν πρώτοις ἀκούσας.

4. Ὅτι πλευρὰν εἶπεν θηλυκῶς, καὶ πλευρὸν οὐδετέρως. λέγει καὶ πέζαν, τὴν αὐτὴν πλευράν, ἀπορῶν ἑτέρου καιρίου ὀνόματος· τὴν δ᾽ αὐτὴν καὶ κρηπῖδα ἔφη ἐν τοῖς περὶ τούτων. ἔστι δὲ πλευρά, γραμμὴ ἐν σχήματι ἀγώνιος.

1. Ὅτι

Φράζεο δ᾽ ὡς ὑπὸ πέζαν ἐπ᾽ αὐγὰς ἵξομαι ἤδη,
Ἀρξάμενος Συρίηθεν, ὅθεν λίπον· οὐδ᾽ ἄν ἔμοιγε
Μύθου ἄπο ψευσθέντος ἀνὴρ ἐπιμωμήσαιτο.
Ἀλλ᾽ ἤτοι Συρίη μὲν ὑπεὶρ ἁλὸς ἐγγύθεν ἕρπει
Ἐς νότον, ἀντολίην τε, πολύπτολιν αἶαν ἔχουσα·
Ἣν [1] Κοίλην ἐνέπουσιν ἐπώνυμον, οὕνεκ᾽ ἄρ᾽ αὐτὴν
Μέσσην καὶ χθαμαλὴν ὀρέων δύο πρῶνες ἔχουσιν,
Ἑσπέριος Κασίοιο, καὶ ἠῷος Λιβάνοιο.
Καὶ τὴν μὲν πολλοί τε καὶ ὄλβιοι ἄνδρες ἔχουσιν,
Οὐχ ἅμα ναιετάοντες ὁμώνυμοι, ἀλλὰ διαμφίς·
Οἱ μὲν ἐπ᾽ ἠπείρῳ, τοίπερ Σύριοι καλέονται·
Οἱ [2] δ᾽ ἁλὸς ἐγγὺς ἐόντες, ἐπωνυμίην Φοίνικες,
Τῶν δ᾽ ἀνδρῶν γενεῆς οἱ Ἐρυθραῖοι γεγάασιν,
Οἳ [3] πρῶτοι νήεσσιν ἐπειρήσαντο θαλάσσης,

1. Ὅτι τὴν Κοίλην Συρίαν ἐπώνυμον οὕτω καλεῖσθαί φησι, τουτέστι Κοίλην φερωνύμως λέγεσθαι, διότι αὐτὴν μέσην καὶ χθαμαλὴν κειμένην ἔχουσιν ὄρη δύο· τό, τε ἑσπέριον Κάσιον παρὰ τῇ θαλάσσῃ κείμενον, καὶ ὁ ἠῷος Λίβανος, ὑφ᾽ ὧν περιέχεται. οὕτω καὶ Ὅμηρος τὴν Λακεδαίμονα κοίλην λέγει, διὰ τὸ περιειλῆφθαι κυκλόθεν ὄρεσιν. ὁ μέντοι Γεωγράφος οὕτω φησί· « Λίβανος καὶ Ἀντιλίβανος ὄρη δύο ὡς ἂν παράλληλα, « ποιοῦντα τὴν Κοίλην καλουμένην Συρίαν, « τελευτῶντα ἐγγὺς τῶν Ἀραβικῶν ὀρῶν, τῶν « ὑπὲρ τῆς Δαμασκηνῆς χώρας, εἰς ἄλλα ὄ« ρη γεώλοφα καὶ καλλίκαρπα, μικρὸν ὕ« περθεν τῆς θαλάσσης ἀρχόμενα, Λίβανος « μὲν τῆς κατὰ Τρίπολιν, Ἀντιλίβανος δὲ « τῆς κατὰ Σιδῶνα». καὶ ὁ μὲν Γεωγράφος ταῦτα. ὁ δὲ Διονύσιος ὁ τὴν Κοίλην Συρίαν καὶ πολύπολιν λέγει, καὶ πολλοὺς καὶ ὀλβίους ἄνδρας ἔχουσαν. καὶ χρῆται ἐπαναλήψει, ἐπ᾽ αὐτῆς εἰπὼν ἐς νότον ἕρπει, ἐς νότον, ἀντολίην τε. ὁ δὲ Γεωγράφος λέγει καὶ ὅτι πᾶσα ἡ ὑπὲρ Σελευκίδα καὶ Αἴγυπτον καὶ Ἀραβίαν ἀνήκουσα χώρα, Κοίλη Συρία λέγεται, ἰδίως δὲ ἡ τῷ Λιβάνῳ καὶ Ἀντιλιβάνῳ ἀφορισμένη. Συρία δὲ ἀπὸ Σύρου κέκληται. φασὶ γὰρ ὅτι Λιβύης υἱὸς Ἀγήνωρ, οὗ καὶ Τυρεύς, Φοῖνιξ, καὶ Σύρος, καὶ Κίλιξ, ἀφ᾽ ὧν καὶ αἱ χῶραι· καὶ Κάδμος, οὗπερ ἡ Καδμεία ἐπώνυμος.

2. Ὅτι τῆς Κοίλης Συρίας οἱ μὲν ἐπ᾽ ἠπείρου, ἤγουν οἱ ἠπειρωτικοί, οὗτοι Σύριοι, τουτέστι Σύροι καλοῦνται· οἱ δὲ παραθαλάσσιοι Σύροι ὄντες καὶ αὐτοί, ὅμως καὶ Φοίνικές εἰσι τὴν ἐπωνυμίαν, γένος Ἐρυθραίων. Λέγει δὲ καὶ Ἡρόδοτος τούτους ἐκ τῆς Ἐρυθρᾶς καλουμένης θαλάσσης ὑπερβάντας οἰκεῖν τῆς Συρίας τὰ παρὰ θαλάσσης, καὶ τοῦτο τὸ χωρίον μέχρις Αἰγύπτου Παλαιστίνην καλεῖσθαι. ὅθεν καὶ δοκοῦσιν, ὡς ὁ Διονύσιος παραδηλοῖ, ἐπωνύμως ἤτοι φερωνύμως οὕτω λέγεσθαι, ὡς ταὐτὸ ὂν Φοίνικάς τε καὶ Ἐρυθραίους εἰπεῖν, ὥσπερ καὶ φοινικοῦν χρῶμα καὶ ἐρυθρόν. Καὶ μὴν ἄλλοι Φοίνικας αὐτοὺς καλεῖσθαί φασιν ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος, ὡς εἴρηται ἤδη. Λέγεται δὲ κατὰ τοὺς παλαιοὺς Φοινίκη πᾶσα

ἡ

Obſerva autem quomodo ſub ultimam oram in orienten· per-
Orſus à Syria, unde digreſſus ſum; neque me, [veniam jam,
Sermo tanquam ſit confictus, quiſquam poſſit reprehendere.
Sed nimirum Syria quidem ſuper mare prope ſerpit
Ad auſtrum, orientemque, urbibus abundantem terram:
Quam Cavam perhibent cognomine, quandoquidem ipſam
Mediam ac depreſſam montium duo cacumina cingunt,
Occidentalis Caſii, & orientalis Libani.
Et hanc quidem multique & divites homines tenent,
Non ſimul habitantes cognomines, ſed ſeorſum.
Alii quidem ſuper continente, qui ſane Syrii vocantur:
Alii autem prope mare ſunt, cognomento Phœnices,
Eorum hominum ex genere qui Erythræi fuerunt,
Qui primi navibus periculum fecerunt maris,

ἡ ἀπ' Ὀρθωσίας μέχρι Πηλουσίου παραλία στενὴ καὶ ἀλιτενής. Ἱστέον δὲ ὅτι ἡ Κοίλη Συρία πρὸς διαστολὴν ἑτέρας λέγεται· διότι καὶ ἐν τοῖς ἑξῆς ὁ Διονύσιος ἐρεῖ ὅτι Κοίλην Συρίαν διαδέχεται ἡ ἑτέρα Συρία ἑλκομένη μέχρι Σινώπης, ὅπου, ὡς προγέγραπται, τοὺς Ἀσσυρίους εἶναί φησιν. Ὅρα δὲ, ὅτι ὥσπερ τοὺς τῆς Φρυγίας κατοίκους οὐ μόνον Φρύγας ἀλλὰ καὶ Φρυγίους ἄνδρας φαμὲν, ὅθεν καὶ ἄστυ Φρύγιον, καὶ τοὺς ἐν Λυδίᾳ Λυδοὺς καὶ Λυδίους, καὶ τοὺς ἐν Ἀραβίᾳ Ἄραβάς τε καὶ Ἀραβίους, οὕτω καὶ τοὺς τῆς Συρίας Σύρους τε καὶ Συρίους λέγομεν. τὸ δὲ Σύρος ἐστὶ καὶ θηλυκὸν εἰς ρα· λέγεται γὰρ ἡ Σύρα γλῶσσα.

3. Ὅτι Φοίνικες πρῶτοι νήεσσιν ἐπειράσαντο θαλάσσης, καθὰ φησὶ καὶ Ὅμηρος ναυσικλειτοὺς αὐτοὺς ἱστορῶν. πρῶτοι δὲ τῆς κατὰ θάλασσαν ἐμπορίας ἐμνήσαντο, καὶ βαθὺν οὐρανίων ἀστέρων πόρον ἐφράσαντο· οὐχ ὅτι αὐτοὶ τὸν οὐρανὸν πόλοις ὅ ἐστι κύκλοις ἔταμον. τοῦτο γὰρ Αἰγυπτίων εὕρημα, ὡς προείρηται, διὰ ἀστρονομίαν· ἀλλ' ὅτι τοῖς ἠστροθετημένοις ἤδη καὶ παρὰ Αἰγυπτίων ἠστρολογουμένοις προσέσχον δι' ἐμπορίαν οἱ Φοίνικες. ναυτικώτατοι δὲ Φοινίκων Σιδώνιοι. ὁ δὲ Γεωγράφος οὕτω καὶ περὶ τούτων φησίν· "ὥσπερ Αἰγυπτίων εὕρημα ἡ γεωμετρία "ἐκ τῆς χωρομετρίας, ἣν ὁ Νεῖλος ἐργάζεται συγχέων τοὺς τῆς γῆς ὅρους ἐν ταῖς "ἀναβάσεσιν, οὕτως ἐκ Φοινίκων εἰς Ἕλληνας ἡ Ἀστρονομία ἥκειν πεπίστευται καὶ "ἡ Ἀριθμητική. φιλόσοφοι γὰρ περὶ Ἀστρολογίαν καὶ Ἀριθμητικὴν οἱ Σιδώνιοι, "ὡς ἐμπορικοί τε καὶ ναύκληροι ἀπὸ λογιστικῆς καὶ νυκτιπλοΐας [illegible]ώμενοι," τυπέσιν λογαριάζοντες μὲν τοὺς φόρτους, ἄστροις δὲ σημαινόμενοι τὸν ἐν νυκτὶ πλοῦν, ἀρχὴν ἐντεῦθεν ἔχειν εἰς Ἀριθμητικὴν καὶ Ἀστρονομίαν. Ἀρριανὸς δὲ ἐν τοῖς περὶ Ἀλέξανδρόν φησιν, ὅτι Φοίνικες μὲν πρὸς τὴν ὀλίγην ἄρκτον μελετῶσι τὰς πορείας, οἱ δὲ ἄλλοι ἄνθρωποι πρὸς τὴν μείζω. Λέγει δὲ ἐκεῖνος ὀλίγην μὲν τὴν κυνόσουραν, μεγάλην δὲ τὴν ἑλίκην, ἀφ' ἧς καὶ οἱ Ἀχαιοὶ ἑλίκωπες, ὡς οἴονταί τινες. Ἡρόδοτος δὲ στοχάζεται καὶ τὰ γράμματα μὴ ὄντα πρὸς τοῖς Ἕλλησιν, ἐκεῖθεν

Πρῶτοι δ' ἐμπορίης ἁλιδινέος ἐμνήσαντο,
Καὶ βαθὺν οὐρανίων ἄστρων πόρον ἐφράσαντο·
Οἵ τ' [1] Ἰόπην, καὶ [2] Γάζαν, [3] Ἐλαΐδα τ' ἐνναίουσι,
Καὶ [4] Τύρον ὠγυγίην, Βηρυτοῦ τ' αἶαν ἐραννήν,
Βύβλον τ' ἀγχίαλον, καὶ [5] Σιδόνα ἀνθεμόεσσαν,
Ναιομένην χαρίεντος ἐφ' ὕδασι Βοστρηνοῖο,
Καὶ [6] Τρίπολιν λιπαρήν, [7] Ὀρθωσίδα τε, Μάραθόν τε;

θεν παραδοθῆναι ὑπὸ τῶν μετὰ Κάδμου εἰς τὴν Ἑλλάδα ἐλθόντων Φοινίκων, καὶ Φοινίκεια καλεῖσθαι.

1. Ὅτι πόλις Φοινίκης Ἰόπη, κληθεῖσα οὕτω ἢ ἀπὸ τῆς Ἰοῦς, ἢ ἀπὸ τῆς Ἰόπης θυγατρὸς μὲν Αἰόλου, γυναικὸς δὲ Κηφέως, ἀφ' οὗ καὶ Κηφῆνες οἱ Αἰγύπτιοι.

2. Ὅτι Γάζα μὲν Φοινίκης, νῦν δὲ Παλαιστίνης. ἐκλήθη δὲ πάλαι καὶ Ἄζα, ἢ ἀπὸ Ἄζονος υἱοῦ Ἡρακλέους, ἢ ὅτι Ζεὺς, κτίσας αὐτὴν, κατέλιπεν αὐτόθι τὴν ἑαυτοῦ ἄζαν· καλοῦσι δὲ οὕτως οἱ Πέρσαι τὰ χρήματα.

3. Ὅτι Ἐλαΐς πόλις Φοινίκης οὕτω λέγεται, διὰ τὸ ἐλαιοφόρον εἶναι.

4. Ὅτι νῆσός ποτε ἦν ἡ Τύρος, ἣ νῦν ἐστὶ χερσόνησος. ὠνόμασται δὲ ἀπὸ Τύρου τοῦ Φοίνικος, ἢ ἀπὸ γυναικὸς Τυροῦς, ἧς καὶ Ἀγήνορος ἡ Εὐρώπη, ἧς ἡ χώρα ἐπώνυμος. συνῆπται δὲ ἡ Τύρος χώματι πρὸς τὴν ἤπειρον, ὃ κατεσκεύασε πολιορκῶν Ἀλέξανδρος, ὅτε καὶ ἐνύπνιον Σάτυρος ὁραθεὶς ἐνυπνιάσαντι τῷ βασιλεῖ κατ' ὄνειρον λοξότητα ὅτι σὰ Τύρος, τουτέστι σὴ Δωρικῶς, καὶ ὑπὸ τὴν σὴν ἐξουσίαν ἔσται ἡ Τύρος. τιμῶσι δὲ τὸν Ἡρακλέα ὑπερβαλλόντως οἱ Τύριοι, καί εἰσι πολύτεχνοι. ἔστι δὲ, φασὶ, καὶ πορφύρα καλλίστη ἡ Τυρία. ὁ δὲ Γεωγράφος φησὶ καὶ ὅτι μεγίστη ἐστὶ μετὰ Σιδῶνα ἡ Τύρος, καὶ ὅτι ἀρχαιοτάτη, καὶ δύο λιμένας ἔχει, καὶ ὅτι σεισμοί ποτε γενόμενοι μικρὸν ἀπέλιπον τοῦ ἄρδην αὐτὴν ἀφανίσαι. καὶ ὅτι ἀτυχήσασα ὑπὸ τῆς τοῦ Ἀλεξάνδρου πολιορκίας, ὅμως ὕστερον καὶ αὐτὴν ἀνέλαβε διὰ τῆς ναυτιλίας, καθ' ἣν ὑπερέβαλον πάντων οἱ Φοίνικες. ἔστι δὲ καὶ περὶ τὸν Περσικὸν (κόλπον) νῆσος Τύρος ὁμώνυμος καὶ Ἄραδος. Λέγεται δὲ ὅτι ἱερὸν Ἡρακλέους ἐν Τύρῳ ἦν πλουσίως κατεσκευασμένον, καὶ στῆλαι δύο κατὰ τὸν Ἡρόδοτον, ἡ μὲν χρυσοῦ ἀπέφθου, ἡ δὲ σμαράγδου λίθου λάμποντος τὰς νύκτας.

5. Ὅτι περὶ Φοινίκην πόλεις μετ' ἐπιθέτων ἐκφράζει οἷον εὐπόρως ἔχων τοῦ ὀνομάζειν· λέγει γὰρ Τύρον ὠγυγίην, Βηρυτὸν ἐρατεινὴν, Βύβλον ἀγχίαλον, Σιδῶνα ἀνθεμόεσσαν, Τρίπολιν λιπαράν. περὶ μὲν οὖν τῆς Τύρου εἴρηται τὸ ἀρκοῦν. ἡ δὲ Σιδὼν, περὶ ἣν χαρίεντα λέγει ποταμὸν ῥέειν τὸν Βοστρηνὸν, πολυτέχνους ἔχει πολίτας καὶ καλλιτέχνους. ὅτι δὲ τοιοῦτοί εἰσιν οἱ Σιδώνιοι, δηλοῦσι καὶ οἱ παρὰ τῷ Ποιητῇ παμποίκιλοι πέπλοι Σιδονίων ἔργα γυναικῶν, καὶ ὁ τοῦ Εὐνέου γοῦν κρατὴρ, ὃς κάλλει ἐνίκα πᾶσαν ἐπ' αἶαν. τούτους δὲ Σιδονίους ἀποίκους εἶναί τινές φασι Σιδονίων τῶν ἐν Περσικῷ κόλπῳ. οἱ δὲ παλαιοὶ ἐναντιολογίας ἱστοριῶν αἰτιῶνται ἐνταῦθα. οἱ μὲν γὰρ τοὺς καθ' ἡμᾶς Φοίνικάς τε καὶ Σιδονίους ἀποίκους φασὶ τῶν πρὸς τῷ ὠκεανῷ Σιδονίων τε καὶ Φοινίκων, προσεπιθέντες καὶ διὰ τί Φοίνικες λέγονται. διότι, φασὶ, καὶ ἡ θάλασσα Ἐρυθρὰ, ὡς ταυτὸν ὂν Φοινικόν τι εἰπεῖν καὶ Ἐρυθραῖον. οἱ δὲ ἀνάπαλιν ἀποίκους ἐκείνους τούτων τῶν καθ' ἡμᾶς ἱστόρησαν. περὶ δὲ τοῦ Σιδῶνος ταύτης, τοῦ περὶ τὴν Συριακὴν Φοινίκην, φέρεται ἱστορία. ὅτι θυγάτηρ Ἰοῦς ἡ Λιβύη, ταύτης δὲ καὶ Ποσει-

Ποσει-

Primi item mercaturam marivagam excogitarunt,
Atque profundam cœleſtium ſiderum viam deprehenderunt:
Qui Iopen, & Gazam, Elaïdemque incolunt,
Et Tyrum vetuſtam, Berytique terram amœnam,
Byblumque maritimam, & Sidonem floridam,
Habitatam venuſti ad fluenta Boſtreni,
Et Tripolim pinguem, Orthoſidaque, Marathumque,

Ποσειδῶνος [illegible] Ἀγήνωρ, Βῆλος καὶ Ἐνυάλιος· Βήλου [illegible] εἴδη καὶ Αἴγυπτος καὶ Δανα[illegible]ίδης μὲν παρώνυμος ἡ Σιδὼν, [illegible] Αἰγύπτου δὲ ἡ χώρα ὁμώνυμος· ἐκ Δαναοῦ δὲ οἱ Ἕλληνες, Δαναοί. προείρηται δὲ πῶς καὶ ὅτι ὁ Διονύσιος Ὁμήρῳ ἀκολουθῶν τοῦ Σιδῶνος τὴν μὲν ἀρχοῦσαν ἐκτείνει, τὸ δὲ ο τῶν πλαγίων συστέλλει, κἂν οἱ ὕστερον αὐτὸ διαφοροῦντες ἐκτείνουσιν. Ὅτι δὲ καὶ σοφοὶ τὰ εἰς Ἀστρονομίαν καὶ Ἀριθμητικήν εἰσιν οἱ Σιδώνιοι, ὡς ἐμπορικοὶ καὶ ναυκληρικοί, ἀνωτέρω εἴρηται. λέγεται δὲ ψάμμος ὑαλίτης εἶναι τοῖς Σιδωνίοις ἐπιτήδεια εἰς χύσιν. ἡ δὲ Βηρυτὸς κτίσμα ἐστὶ Κρόνου, ἐκ μικρᾶς μεγάλη γενομένη καὶ ἰσχυρά, διὸ καὶ οὕτως ἐκλήθη· βηρυτὶ γὰρ τὴν ἰσχὺν οἱ Φοίνικες λέγουσιν. οἱ δέ φασι διὰ τὸ εὔυδρον οὕτω κληθῆναι αὐτήν· βὴρ γὰρ παρὰ τοῖς ἐκεῖ καλεῖται τὸ φρέαρ. φασὶ δὲ αὐτὴν ὑπὸ τοῦ τυράννου Τρύφωνος κατασπασθεῖσαν ἀναληφθῆναι ὑπὸ Ῥωμαίων, ἤτοι ἀνασταθῆναι καὶ καινισθῆναι. ὀξύνεται δὲ Βηρυτὸς, ὡς παρισύλλαβον, κατὰ καὶ τὸ Καρυτὶς καὶ Ταρυτός. μακρὸν ἔχει τὸ υ παρὰ Διονυσίῳ. ἡ δὲ Βύβλος κτίσμα καὶ αὐτὴ Κρόνου, Ἀδώνιδος ἱερά, Κινύρου βασίλειον ἀρχαιότατον, ἀπὸ Βύβλου τινὸς στρατηγοῦ, ἢ ἀπὸ Βύβλου γυναικὸς οὕτω κληθεῖσα, ἢ διὰ τὸ πάσης ἀρχαίας βύβλου κατὰ τοὺς παλαιοὺς τὴν κεφαλὴν ἀσπίδα ἐν αὐτῇ γίνεσθαι, ἢ καὶ ὅτι Ἶσις τὸν Ὄσιριν κλαίουσα ἐκεῖ τὸ τῆς κεφαλῆς ἀπέθετο διάδημα ἐκ βύβλου ὂν Αἰγυπτίας. φυτὸν δὲ ἡ βύβλος, κατὰ τοὺς παλαιοὺς φυόμενον ἐν τοῖς Αἰγυπτιακοῖς ἕλεσι, μάσσος ψιλή, ὥς φασιν ἐκεῖνοι, ἐπ' ἄκρῳ χαίτην ἔχουσα, φυομένη πολλὴ καὶ ἐν τοῖς κάτω μέρεσι τοῦ Δέλτα, ἧς κρείττων, φασὶν, ἡ λεγομένη ἱερατική. τῆς δὲ βύβλου τὸ κάτω ἐστὶν ἐπὶ πῆχυν τρώγεται, ὥς φησιν Ἡρόδοτος, πνιγὲν μάλιστα ἐν κλιβάνῳ διαφανεῖ. Ζητητέον δὲ μήποτε ἀπὸ τῆς τοιαύτης βύβλου ὡς πεφυκυίας ὑφαίνεσθαι, ἢ πλέκεσθαι, ἢ ἄλλως πῶς συντίθεσθαι, καὶ αἱ τῶν γραμμάτων φύλακες τοιαύτην ποτὲ κατασκευάζεσθαι, καὶ [illegible]λῆσαι παρέμεινε καὶ εἰς ἡμᾶς, ἐναγ[illegible]ιτος [illegible] υ εἰς τὸ συγγενὲς δίγαμμα. ἐγίνετο δὲ καὶ πέδιλα ἐκ τοῦ φυτοῦ τῆς βύβλου. οἱ γοῦν Αἰγύπτιοι ἱερεῖς βύβλινα λέγονταί ποτε φορεῖν ὑποδήματα. καὶ πλοῖον δὲ ναυπηγουμένων αἱ Ἁρμονίαι βύβλῳ παρελύοντο, καὶ ἱστία δὲ πλοίοις ἐγίνοντο βύβλινα, καὶ τὴν ἐν Ἀβύδῳ δὲ τοῦ Ξέρξου γεφύραν, ὡς Ἡρόδοτός φησι, Φοίνικες μὲν λευκολίνῳ ἐγεφύρουν, Αἰγύπτιοι δὲ βύβλῳ. Αἴλιος δὲ Διονύσιος, ἐν τοῖς περὶ Ἀττικῶν λέξεων, ὑπογράφει σαφέστερον τὴν τοῦ φυτοῦ φύσιν τῆς βύβλου, ἔνθα περὶ φιλύρας φησὶν, ὅτι φυτὸν ἡ φιλύρα φλοιὸν ἔχον βύβλῳ, παπύρῳ ὅμοιον, ἐξ οὗ καὶ τοὺς στεφάνους πλέκουσι. καὶ ταῦτα μὲν περὶ βύβλου.

6. Ἡ δὲ Τρίπολις, ἣ ἦν συνεχὴς κεῖσθαι εἴρηται τὸ τοῦ Θεοῦ λεγόμενον πρόσωπον, οὕτω καλεῖσθαι διὰ τὸ ἔχειν ἀποικίαν ἐκ τῶν πόλεων Τύρου, καὶ Σιδῶνος, καὶ

Λαοδίκην[1] θ', ἣ κεῖται ἐπ' ἠιόνεσσι θαλάσσης,
Καὶ[2] Ποσιδήια ἔργα, καὶ ἱερὰ[3] τέμπεα Δάφνης,
Ηχί περ Αντιόχοιο ἐπώνυμος Αντιόχεια.
Αὐτὰρ[4] ἐνὶ μέσσῃσιν, Απαμείης πτολίεθρον.
Τῆς δὲ πρὸς ἀντολίην κατασύρεται[5] ὑγρὸς Ορόντης,

Αράδου· περὶ ἧς ἐν τοῖς περὶ νήσων εἴρηται. εἰσὶ δὲ καὶ ἄλλαι Τρίπολεις διάφοροι.

7. Ὅτι πόλις Φοινίκων καὶ ἡ Ορθωσὶς καὶ ἡ Μάραθος. Ιστέον δὲ ὅτι τὴν Ορθωσίδα, Ορθωσίαν οὕτως ἄλλοι φασίν, καὶ ἴσως τῷ τοιούτῳ τρόπῳ ὁ Διονύσιος, ὥσπερ τὸν πορθμὸν εἶπε πορθμίδα, καὶ τὰς Αμαζόνας Αμαζονίδας, καὶ τὴν Ασίαν Ασίδα, καὶ τοὺς τῶν ὀρῶν κνημοὺς κνημῖδας, καὶ τὴν Κασσίαν Κασσίδα, οὕτως καὶ τὴν Ορθωσίαν Ορθωσίδα φησί. Μάραθος δὲ οὐ μόνον ἡ περὶ Φοινίκην αὕτη πόλις, περὶ ἣν καὶ ποταμὸς ῥέει Μαραθίας λεγόμενος, ἀλλὰ καὶ Εὐρωπαία ἑτέρα ἐν τῇ τῶν Ακαρνάνων γῇ, ἐξ ἧς ὁ μουσικὸς Διόδωρος.

1. Ὅτι ἡ Λαοδίκεια ἡ τῆς Φοινίκης ἀπὸ Λαοδίκης ὠνόμασται ἀδελφῆς Αντιόχου, ὡς μικρὸν κατωτέρω [illegible]. ἔστι δὲ καὶ ἑτέρα Λαοδίκεια Λυδίας, ἣν Αντίοχος ἔκτισε παῖς Αντιόχου τῆς Στρατονίκης, χρησμοῦ δοθέντος ἐν ὀνείροις τῇ γυναικὶ αὐτοῦ ποιῆσαι τοῦτο. τὴν δὲ ἐν Φοινίκῃ Λαοδίκειαν, Λευκὴν ἀκτὴν φασί ποτε κληθῆναι καὶ Ραμάνθαν, διότι ποιμήν τις βληθεὶς κεραυνῷ ἀνεβόα Ραμανθάς, ἀφ' ὕψους ὁ Θεός· Ραμὰν γὰρ ἐγχωρίως, τὸ ὕψος, ἀθὰν δὲ ὁ Θεός. διάφοροι Λαοδίκειαι, ὧν εὐοινοτάτη αὕτη ἡ Συριακή. Διαφορεῖται δὲ ἡ πόλις αὕτη· καὶ γὰρ τετρασύλλαβον Λαοδίκη λέγεται, καὶ κατὰ παραγωγὴν Λαοδίκεια, ὡς Απάμη, Απάμεια, Εὐρώπη Εὐρώπεια, καὶ ὅσα τοιαῦτα.

2. Ὅτι ὥσπερ παρὰ τῷ Ομήρῳ ἐν Οδυσσείᾳ τὸ ἐν Φαίαξι Ποσιδήιον διὰ τοῦ ι ἔχει τὴν τετάρτην ἀπὸ τοῦ τέλους, ἤγουν τὴν σι συλλαβήν, οὕτω καὶ ἐνταῦθα παρὰ τῷ Διονυσίῳ λέγοντι περιφραστικῶς ὅτι Ποσιδήια ἔργα, ἤγουν Ποσιδήιόν ἐστι περὶ τὰ ἐν Αντιοχείᾳ ἱερὰ τέμπεα, ὅ ἐστι περὶ τὰ τῆς Δάφνης ἀλσώδη φυτὰ καὶ κοιλώματα, περὶ ἧς [illegible] λέγεται [illegible]. Ποσείδιον λέγεται [illegible] κατὰ τὸ ἐντελὲς τὸ τοῦ Ποσειδῶνος τέμενος, τὴν μὲν ἄρχουσαν ἔχον διὰ διφθόγγου τῷ λόγῳ τῆς ὑπεροχῆς, τὴν δὲ παραλήγουσαν διὰ τοῦ ι, τῇ ἁπλώσει τοῦ τῆς διφθόγγου ἑνὸς στοιχείου, ᾧ λόγῳ καὶ Οππιανὸς τοὺς ἀλγεινοὺς ἀπηχωνάσας τὴν δίφθογγον εἰς μονόφθογγον διὰ τοῦ ι γράφει, ὡς προερρέθη, τὴν παραλήγουσαν. Διαλυθὲν δὲ ἐκ τετρασυλλάβου τὸ τοιοῦτο ἐντελὲς Ποσείδειον εἰς πεντασύλλαβον γέγονεν. ἐν οἷς καὶ ὁ λιμὸς ἐκ τοῦ λέλειμμαι, καὶ ἡ ἰδέα ἐκ τοῦ εἴδους, καὶ αἱ χαράδρες ἐκ τῶν χειρῶν ῥαγάδες, καὶ τὰ χίμετλα τὰ ἐν τῷ χειμῶνι ὡς ἐπὶ τὸ πολὺ γινόμενα ἀπὸ καύματος.

3. Ὅτι κατὰ τὴν ἱστορίαν ὑπέρκειται τῆς Αντιόχου μ΄. στάδια ἡ Δάφνη, κατοικία μὲν μετρία, ἄλσος δὲ μέγα ἔχουσα συνηρεφὲς, οὗ κύκλος ὀγδοήκοντα σταδίων, διαρρεόμενον πηγαίοις ὕδασιν. ἔνθα ἐπανηγύριζον οἱ ἐγχώριοι, ὅπου καὶ τέμενος ἄσυλον. Αρριανὸς δὲ περὶ τούτων οὕτω γράφει· "ἐν Δάφνῃ τῇ πρὸς Αντιόχειαν ἄλσος ἦν ἱερὸν Απόλλωνος, καὶ αὐτὴ ἐκείνη ἡ Δάφνη Λάδωνος, ἣ φυγοῦσα τὸν ἐραστὴν Απόλλωνος, ηὔξατο τὸν ὑπὸ γῆν ἀφανισμὸν, καὶ ἔτυχε τῶν εὐχῶν". Αλλοι δὲ περὶ αὐτῆς οὕτω φασί· "Δάφνη ἐπ' Αντιοχείᾳ, ἥ ποτε πόλις Ηρακλείας, εἰς ἣν πολλοὺς κυπαρίττους ἐφύτευσε Σέλευκος ὁ Νικάτωρ, ὡς ἐγγὺς τὸ τοῦ Επιφανοῦς Αντιόχου βουλευτήριον. ταύτην

"στρατὸς

Laodicenque, quæ ſita eſt ad littora maris,
Et Neptunia opera, & ſacra tempe Daphnes,
Ubi quidem Antiochi de nomine dicta Antiochia. [dum.
Ceterum in mediis [*mediterraneis urbibus*] Apameæ oppi-
Hujus autem ad ortum delabitur liquidus Orontes,

σεισμὸς ἐκάκωσεν ἐπὶ τριαίνης, ὥστε τοὺς Ἀντιόχους ἐγχαράψαι, Οἱ ζήσαντες ἀνίσχουσιν ἐν [illegible]ξιᾷ σωτῆρι". Σημειῶσαι δὲ ὅτι αὕτη [illegible] ἡ Δάφνη ἑνικῶς λέγεται. περὶ [illegible] Πηλουσιακῷ τοῦ Νείλου στόματ[illegible] ἡ πληθυντικῶς Δάφναι λέγεται [illegible] παρὰ τῷ Ἡροδότῳ. ὁ δὲ τὰ ἐθνικὰ γράψας, προάστειον ἐπισημότατον τῆς ἑῴας Ἀντιοχείας τὴν Δάφνην ταύτην εἰπὼν, λέγει καὶ "ἄλλην εἶναι Δάφνην, χωρίον Λυκίας, καὶ λιμένα Δάφνην ἐν τῷ στόματι τοῦ Πόντου, ἐν δεξιᾷ ἀναπλέοντι· καὶ προάστειον δὲ αὐτόθι που ἐν ἀριστερᾷ ἐπὶ τὸν ἀνάπλουν ἀνιοῦσιν.

4. Ὅτι ἐν μέσαις ταῖς περὶ Φοινίκην πόλεσίν ἐστι καὶ ἡ Ἀπάμεια, ποτὲ μὲν κώμη οὖσα, καὶ Φαρνάσκη καλουμένη, πόλις δὲ ὕστερον γενομένη, ἐν μεσογαίᾳ κειμένη, πρὸς νότον Ἀντιοχεῦσιν· ἥτις καὶ Χερρόνησος ποτὲ ἀπὸ τῆς περιοχῆς τῶν ἐκεῖ ὑδάτων ἐκλήθη. καὶ Πέλλα δὲ ὠνομάσθη παρὰ τῶν αὐτόθι Μακεδόνων, διὰ τὴν ἐν Μακεδονίᾳ Πέλλαν, τὴν τοῦ Φιλίππου πατρίδα. ἐν ταύτῃ δὲ ἐλέφαντας πεντακοσίους ὁ Σέλευκος ἔτρεφε, καὶ τὸ πλέον τῆς στρατιᾶς. φασὶ δὲ καὶ ἐν Μήδοις Λαοδίκειαν εἶναι, καὶ Ἀπάμειαν, καὶ ἄλλας Μακεδονικὰς πόλεις. ὥσπερ δὲ ἡ Ἀπάμεια, ἣν ὁ ἐπιφανὴς Νικομήδης ἔκτισεν, ὠνομάσθη ἀπό τινος γυναικὸς Ἀπάμης, οὕτω καὶ ἡ παρὰ τῷ Διονυσίῳ αὕτη Ἀπάμεια. ἱστοροῦσι γὰρ τοιαῦτα οἱ παλαιοί. Ἀντιόχεια ἡ ἐπὶ Δάφνῃ, καὶ Ἀπάμεια ἡ ἐν Συρίᾳ πρὸς νότον Ἀντιοχείας ἐν μεσογαίᾳ κειμένη, ἔτι δὲ Λαοδίκεια καὶ Σελεύκεια κτίσματα Σελεύκου εἰσὶ τοῦ Νικάτορος· αἵτινες καὶ ἀδελφαὶ διὰ τὴν πρὸς ἀλλήλας ὁμόνοιαν ἐκαλοῦντο. καὶ ἡ μὲν μεγίστη, φασὶ, τῷ τοῦ Σελεύκου πατρὶ τῷ Ἀντιόχῳ ἐπωνομάζετο· ἡ δὲ ἐρυμνοτέρα, αὐτοῦ ἐπώνυμος ἦν. Ἀπάμεια δὲ τὸ τῆς γυναικὸς ἔφερεν ὄνομα· Λαοδίκεια δὲ τὸ τῆς μητρός. περὶ δὲ Ἀντιοχείας ἄλλοι καὶ οὕτω φασίν, "Ἀντιόχου τοῦ Σελεύκου τρεῖς ἐπιφάνησαν κατ' ὄναρ γυναῖκες, κτίσαι πόλιν ἑκάστῃ θέλουσαι. ὁ δὲ, ὑπολαβὼν αὐτὰς εἶναι τὴν γυναῖκα, τὴν μητέρα, καὶ τὴν ἀδελφὴν, κτίζει ἀπὸ μὲν τῆς ἀδελφῆς Λαοδίκης, Λαοδίκειαν· ἀπὸ δὲ τῆς γυναικὸς Νύσσης, Νύσσαν· ἀπὸ δὲ τῆς μητρὸς Ἀντιοχίδος, Ἀντιόχειαν". ἔτι δὲ περὶ Ἀντιοχείας καὶ ταῦτα λέγεται, ὅτι "καὶ Θεούπολις ἤρξατο καλεῖσθαι ἀπὸ Ἰουστινιανοῦ, ἀνεψιοῦ Ἰουστίνου τοῦ Θρᾳκός· καὶ ὅτι περὶ τὸ Σίλπιον ὄρος κεῖται, ὅπου καὶ τεῖχος ἐστὶν ἡ Ἰώπολις, ἀπὸ τῆς Ἰοῦς τελευτησάσης ἐκεῖ· ἥτις καὶ Ἶσις ὕστερον ἐκλήθη, ὡς καὶ ὁ υἱὸς αὐτῆς Ἔπαφος, Ἄπις. καὶ ὅτι τετραπόλεως αὐτῆς οὔσης, καὶ τετειχισμένης τείχει κοινῷ τε καὶ ἰδίᾳ κατὰ ἕκαστον κτίσμα, τὸ μὲν πρῶτον Σέλευκος ὁ ἐπικαλούμενος Νικάτωρ συνῴκισεν, εἰς ὃν τότε τὸ τῆς Ἀσίας περιελήλυθε κράτος· τὸ δεύτερον δὲ οἱ οἰκήτορες ἔκτισαν· τὸ δὲ τρίτον, Σέλευκος ὁ Καλλίνικος· καὶ τὸ τέταρτον, ὁ Ἐπιφανὴς Ἀντίοχος". εἰσὶ δὲ Ἀντιόχειαι περί που τὰς ιη'. ὡς οἱ ἱστοροῦντες ἐκτίθενται· ἐξ ὧν αὕτη ἡ τῆς κοίλης Συρίας προκαθημένη, οὐ πολὺ, κατὰ τὸν Γεωγράφον, ἐλείπετο δυνάμει καὶ μεγέθει Σελευκείας τῆς ἐπὶ τῷ Τίγρει, καὶ Ἀλεξανδρείας τῆς πρὸς Αἰγύπτῳ.

5. Ὅτι πρὸς ἀνατολὰς τῆς Ἀπαμείας καταφέρεται ὑγρὸς Ὀρόντης, ἄπειτος,

Ἄσπετος, Ἀντιόχοιο μέσην διὰ γαῖαν ὁρίζων.
Πᾶσα [1] δέ τοι λιπαρή τε καὶ εὔβοτος ἔπλετο χώρη,
Μῆλά τε φερβέμεναι, καὶ δένδρεσι καρπὸν ἀέξειν.
Τῆς δ' ἂν ἴδοις προτέρω, νοτιώτερον οἶμον ὁδεύων,
Ἀρραβικοῦ [2] κόλπου μύχατον πόρον, ὅς τε μεσηγὺ
Εἰλεῖται Συρίης τε καὶ Ἀρραβίης ἐρατεινῆς,
Τυτθὸν ἐπ' ἀντολίην τετραμμένος, ἄχρι Σελανῶν.
Κεῖθεν δ' [4] ὀλβίστων Ἀράβων παρακέκλιται [illegible]α,
Πολλὸν ἀνερχομένη, διστῇ ζωσθεῖσα θαλά[illegible]
Περσίδι τ', Ἀρραβίῃ τ'. ἄνεμον δέ τοι ἔλλαχ[illegible]
Ἀρραβίη, ζέφυρον· Περσὶς δ', εὐρείο κελεύθους.
Πέζα δέ οἱ νοτίη, τετραμμένη ἀντολίηνδε,
Κλύζετ' ἐρυθραίοις ὑπὸ κύμασιν ὠκεανοῖο.

ὃς ἐκ Κοίλης Συρίας ἔχων τὰς ἀρχὰς, καὶ ὑπὸ γῆν ἐνεχθεὶς, εἶτα τὸ ῥεῦμα ἀναδοὺς, καὶ διὰ τῆς Ἀπαμέων γῆς προελθὼν εἰς Ἀντιόχειαν, καὶ πλησιάσας τῇ πόλει, μέσην ὁρίζει τὴν Ἀντιοχίαν γῆν· οὐχ ὅτι μέσην τέμνει τὴν πόλιν, ὡς τὴν Ταρσὸν ὁ Κύδνος, ἀλλ' ὅτι τὰ ἐκεῖ παραρρέει. ὁ δὲ Γεωγράφος φησὶν ὅτι Ὀρόντης ἐν Συρίᾳ καταδὺς εἰς τὸ μεταξὺ Ἀπαμείας καὶ Ἀντιοχείας χάσμα, ὃ καλοῦσι Χάρυβδιν, ἀνατέλλει πάλιν ἐπὶ τεσσαράκοντα σταδίοις, καὶ καταφέρεται πρὸς θάλασσαν τὴν κατὰ Σελεύκειαν, Τυφὼν μὲν καλούμενος πρότερον, διὰ τὸν ἐπὶ τῷ Τυφῶνι μῦθον, ὃς ἐν Ἰλιάδι γέγραπται· μεταβαλὼν δὲ, καὶ τὸ τοῦ γεφυρώσαντος αὐτὸν μεταλαβὼν ὄνομα, ὃς Ὀρόντης ἐκαλεῖτο· οὐ τάχα πρὸς ἀντιδιαστολὴν, ὑγρὸν Ὀρόντην ὁ Διονύσιος τὸν ποταμὸν ἐπωνόμασεν· ἢ καὶ ἄλλως ἁπλούστερον, ὡς καὶ τὸν ἐν Πελοποννήσῳ ποταμὸν Ἰάονα, ὑγρὸν εἶπεν. ἄλλοι δέ φασιν ὅτι Καῖσαρ Τιβέριος ἐκ δράκοντος αὐτὸν Ὀρόντην μετωνόμασεν, ὃ σημαίνει Ῥωμαϊστὶ τὸν ἀνατολικόν.

1. Ὅτι πᾶσα ἡ περὶ Ἀντιόχειαν χώρα λιπαρά τε καὶ εὔβοτος, καὶ ἀγαθὴ μῆλα τρέφειν, καὶ δένδρεσι καρπὸν αὔξειν. μητρόπολις δὲ ἦν αὕτη Συρίας, καὶ ἐν αὐτῇ τὸ βασίλειον ἦν τοῖς ἄρχουσιν. ἦν δὲ καὶ αὐτὸ τῆς Σελευκίδος μοίρας. Ἰστέον δὲ ὅτι μερίς ἐστι Συρίας ἀρίστη, ἡ λεγομένη Σελευκὶς, καὶ καλουμένη Τετράπολις, διὰ τὰς ἐν αὐτῇ ἐξεχούσας τέσσαρας πόλεις, αἵ εἰσιν Ἀπάμεια καὶ Λαοδίκεια· περὶ ὧν ἀνωτέρω εἴρηται· καὶ Ἀντιόχεια αὕτη, καὶ Σελεύκεια, ἡ ἐν Πιερίᾳ ὄρει, ὃ προσεχές τῷ Ἀμανῷ ἐστιν. ἣν Σελεύκειαν ἡ ἱστορία ἔρυμά φησιν εἶναι ἀξιόλογον, καὶ βίας κρεῖττον. ὅτι δὲ πολλαὶ Ἀντιόχειαι, καὶ εἴ τι ἄλλο ἴδει ῥηθῆναι, ὡς ἐν συνόψει προγέγραπται.

2. Ὅτι νοτιώτερον τῆς Συρίας ἡ Ἀραβία, καὶ ὅτι ὁ Ἀράβιος κόλπος μέσος εἰλεῖται Συρίας καὶ Ἀραβίας, τυτθὸν ἐπὶ τὴν ἀνατολὴν τετραμμένος, ἤτοι παρεκκλίνων καὶ παρεκνεύων ἄχρι Σελανῶν· οὕς τινες ὀξύνουσιν ὁμοίως τῷ Ἀλανοί, Γερμανοί, καὶ τοῖς τοιούτοις ἐθνικοῖς. ἔθνος γὰρ καὶ οἱ Σελανοὶ Ἀράβιον. καὶ ὅρα ὡς τὸ παρατείνειν βούλεται τὴν Συρίαν, ἣν καὶ φθάσας ἔφη ἐς νότον ἕρπειν.

διὸ

Immenſus, Antiochi mediam regionem dirimens.
Porro tota pinguiſque & paſcua eſt regio,
Oves ad paſcendas, & ad augendum arboribus fructum.
Hanc autem videbis ultra, magis auſtralem viam pergens,
Arabici ſinus intimum meatum [*curſum,*] qui inter
Volvitur Syriamque & Arabiam amœnam,
Paulum ad orientem converſus, uſque ad Selanos.
Inde vero ditiſſimorum Arabum adjacet terra,
Multum aſcendens, duplici circumdata mari,
Perſicoq;, Arabicoque. ventum autem ſortitum eſt utrumque:
Arabicum, zephyrum; Perſicum vero, euri vias.
Limes autem illi auſtralis, converſus ad orientem,
Alluitur rubris fluctibus oceani.

διὸ καὶ τοὺς Ἀραβίας, Σύρους ἐκάλουν τινές, διὰ τὴν ἐκ τοῦ ὁμορεῖν ἐπιμιξίαν αὐτῶν. συναφὴς γὰρ τῇ Ἀραβίᾳ τὸ νότιον πέρας τῆς Συρίας ἐστίν.

3. Ὅτι περὶ Ἀραβίαν, ἣν καὶ ἐρατεινὴν καλεῖ, οἱ ὄλβιστοι Ἄραβες, τουτέστιν οἱ εὐδαίμονες· ὄλβος γὰρ ἡ εὐδαιμονία. ἡ τοιαύτη δὴ χώρα καὶ εὐδαίμων Ἀραβία λέγεται. ταύτην δὲ ἡ γῆ διοσσή, φησί, θάλασσα ἔζωσται, Περσίς τε, Ἀραβίη τε, ὧν μέση κεῖται ἡ τῶν Ἀράβων γῆ. Σημειώσαι δὲ ὅτι τὸ ἐζῶσθαι καὶ ἐν ἄλλοις φθάσας εἶπεν ἐπὶ ὁμοίας σημασίας· καὶ ὅτι ἐν τῷ, ὀλβίστων Ἀράβων, φανερῶς διʼ ἑνὸς ρ ἡ τοῦ Ἄραψ ἐστὶ γραφή, ὡς καὶ ἐν τῷ, ἀφροσύνην Ἀράβων· εἰ καὶ ἐν ἄλλοις τόποις πολλὰ τῶν ἀντιγράφων πολλῷ τοῦ ῥοῖζον ἐκ τοῦ ἀμεταβόλου ἐξηχοῦσι διπλώσεως. εἴποι δʼ ἄν τις τάχα, διὰ τὸ μέτρον ἐκπεσεῖν ἄρτι τὸ ἓν ἀμετάβολον, ὅθεν καὶ συσταλῆναι τὴν ἀρχουσαν. βούλονται γὰρ πολλοὶ ἀναδιπλοῦν τὸ ρ, ὡς ἀπὸ τῆς στερήσεως, καὶ τοῦ ῥάπτω ῥάψαι· καὶ ἑρμηνεύειν τὴν τῶν Ἀράβων κλῆσιν οἷον συῤῥάπτουσιν, ὡς μὴ ῥαπτομένων ἱματίων, περιτυλισσομένων δὲ ὑφάσματι· καὶ διὰ τοῦτο κατʼ ἀνάγκην φασὶν ἐν τῷ Ἄραψ κεῖσθαι τὸν τοῦ ρ ἀναδιπλασιασμόν, ὡς καὶ ἐν τῷ ἄῤῥηκτος, καὶ ἄῤῥητος, καὶ ἀῤῥαγής, καὶ ἐν τοῖς ὁμοίοις. Ἡσίοδος μέντοι ἐν τῷ, κούρην Ἀράβοιο (ἐξ οὗ καὶ ἡ Ἀραβία κεκλῆσθαι δοκεῖ) διʼ ἑνὸς ἀμεταβόλου, καὶ συστολῆς τῆς ἀρχούσης, καὶ αὐτὸς ἐμφαίνει δεῖν γράφειν τοὺς Ἄραβας. καὶ ὁ τὰ ἐθνικὰ δὲ γράψας, ἐν ἑνὶ ἀμεταβόλῳ γράφει αὐτούς. τυχὸν δὲ ἀντιγράφων αὐθάδεια τὴν τοῦ ρ διπλόην ἐξ αὐτονομίας παρεισήνεγκεν, ὅτι καὶ τὴν ἀρχουσαν τῆς παρὰ προθέσεως παρὰ τούτῳ τῷ ποιητῇ πολλὰ τῶν παλαιῶν ἀντιγράφων διὰ δύο ἀμεταβόλων προήγαγον· ὡς καὶ ἐν τῷ, παῤῥαλίην Ἔφυραν· ὡς εἴπερ μὴ εἶχε καὶ χωρὶς τῆς τοῦ ἀμεταβόλου διπλόης ἐκτείνεσθαι ἡ τῆς παρὰ προθέσεως παραλήγουσα, καθάπερ καὶ παρʼ Ὁμήρῳ ἐν τῷ, Αἴσιμα παρειπών.

4. Ὅτι καὶ ἐνταῦθα τὸ ἑκάστη ἀντὶ τοῦ ἑκατέρα τέθεικεν, εἰπὼν περὶ τῆς Περσίδος καὶ Ἀραβίας θαλάσσης, ἄνεμον δὲ ἔλαχεν ἑκάστη, Ἀραβία ζέφυρον, Περσὶς εὖρον. τὸ δὲ ὀρθὸν

Καὶ τὰ τοι θέσιας μυθήσομαι. [1] ἔξοχα γάρ μιν
Πασάων πολύολβα καὶ ἀγλαὰ φῦλα νέμονται.
Ἄλλο δέ τοι καὶ θαῦμα μέγ' ἔξοχον ἔλλαχ' ἐκείνη·
Αἰεὶ κηώεσσα θύοις ὕπο λαρὸν [2] ὄδωδεν
Ἢ θύου, ἢ σμύρνης, ἢ εὐόδμου καλάμοιο,
Ἢ καὶ θεσπεσίοιο πεπαινομένου λιβάνοιο,
Ἢ κασίης. ἐπεὸν γὰρ [3] ἀνὰ χθόνα λύσατο κείνην

θεν ἦν ἑκατέρα εἰπεῖν, εἰ μὴ τὸ μέτρον ἐκώλυσεν.

1. Ὅτι πολὺ καταχέει τοῦ εὐδαίμονος Ἀραβίας ἐγκώμιον, ἐνδιατρίψας αὐτῇ· καὶ τούς τε Ἄραβας ἀφνειοὺς καλεῖ, ὡς καὶ παρ' ὀλίγου ὀλβίστους, καὶ αὐτὴν μεγίστην λέγει, καὶ ἀγλαά φησι καὶ πολύολβα φῦλα νέμεσθαι αὐτήν. ἄλλο δέ, φησί, μέγα θαῦμα ἔξοχον ἔλαχε. ποῖον ἐκεῖνο; ἀεὶ ὑπὸ θύοις λαρὸν ὄδωδεν, ἢ σμύρνης, ἢ εὐώδους καλάμου, ἢ θεσπεσίου πεπαινομένου λιβάνου, ἢ κασίας, ἢ θύου, ὅπερ ἐστί, φασίν, εἶδος δένδρου εὐώδους· καὶ μὴν ἄλλως θύον γενικῶς ἅπαν ἄρωμα λέγεται. διὸ καὶ αὐτὸς φράσας ἔφη, κηώεσσα θύοις ὕπο, τουτέστι τοῖς ἀποπνέουσιν εὐωδίαν θυμιάμασιν. Ἰστέον δὲ ὅτι ὁ τοῦ λιβάνου δένδρου καρπός, λιβανωτὸς λέγεται παρὰ τοῖς παλαιοῖς· καὶ ὅτι οὕτω πολὺς αὐτόθι λιβανωτός, ὥστε χίλια τάλαντα λιβανωτοῦ οἱ Ἀράβιοι ἦγον τῷ βασιλεῖ ἑκόντες· οὐ γὰρ κατήκουσαν τοῖς Πέρσαις, ὥς φησιν Ἡρόδοτος, ἐπὶ δουλοσύνῃ, ἀλλὰ ξένοι ἐγένοντο. λέγει δὲ ὁ αὐτὸς καὶ ἐν μόνῃ τῇ Ἀραβίᾳ φύεσθαι λιβανωτόν, καὶ σμύρνην, καὶ κασίαν, καὶ κινάμωμον, καὶ λήδανον, ὅπερ, φησίν, Ἀράβιοι καλοῦσι λάδανον.

2. Ὅρα δὲ ὅπως γενικῇ συντάσσει τὸ ὄζειν, εἰπὼν ὄδωδε θύου, ἢ σμύρνης, καὶ τὰ ἑξῆς. σκοπητέον δὲ εἴτε ὁ ἐνταῦθα εὐώδης κάλαμος ὁ αὐτός ἐστι ταῖς παρὰ τῷ Γεωγράφῳ Ἰνδικαῖς καλάμοις, ἃς μελιτοποιεῖν ἐκεῖνός φησιν· εἴτε καὶ διαφέρει μάλιστα ἐκείνων οὗτος, ὡς εὐώδης, μὴ τοιούτων. Ἰστέον δὲ ὅτι κατὰ [illegible] παλαιὰν ἱστορίαν, Ἀλέξανδρος διε[illegible] ἐξ Ἰνδῶν ἐπάνοδον, βα[illegible] τὴν Ἀραβίαν ποιῆσαι. καὶ ὅτι εἰσὶ καὶ [illegible]νιῆται Ἄραβες περὶ τὰ πέραν Εὐφράτου, ἕως Κοίλης Συρίας.

3. Ὅτι ὁ Διονύσιος ἐπιτόμῳ ἐγκωμίῳ τὴν Ἀραβίαν σεμνύνας κατὰ τὸ προσεχές, ἐπάγει μῦθον, ὅτι ὄντως ἐκεῖ Ζεὺς τὸν Διόνυσον ἐλύσατο παρὰ μηροῦ εἰραφίου· ἀφ' οὗ καὶ Εἰραφιώτης, ὡς προερρέθη, ἐκλήθη κατά τινας. τοῦτο δὲ ὁ Ἀρριανὸς ἐπὶ Σαγγαρίῳ μυθοπλαστεῖ, λέγων ὅτι "περὶ ταῖς ὄχθαις τοῦ Σαγγαρίου ἔρρηξε τοὺς δεσμοὺς τοῦ Διὸς ὁ Διόνυσος, ἤδη τρόφιμος ὤν". ὁ δὲ Διονύσιος ὡς εἶπον ἀκολούθως ἐπάγει γενεθλιακὴν διασκευήν, λέγων ὡς ἐν ἐκφράσει, οἷα εἰκὸς ἦν τότε τοῦ τοιούτου τόκου ἐπισυμβῆναι. πάντα γάρ, φησίν, ἦσαν εὐώδη τηνικαῦτα, μῆλα δὲ λασίοις ἐσκιρτῶντο μαλλοῖς· αὐτομάτῳ δὲ κατέρρεον ὕδατι λίμναι· ὄρνιθες δὲ ἀοικήτων ἀπὸ νήσων (τῶν περὶ τὸ Ἐρυθραῖον τάχα πέλαγος) ἦλθον φῦλα φέρουσαι ἀκηρασίων κινναμώμων. καὶ πολὺς ὄλβος τοῖς ἐκεῖ· διόπερ εἰσέτι νῦν λιβάνῳ μὲν κομῶσιν αἱ ἄρουραι, τὰ δὲ ὄρη χρυσῷ, οἱ δὲ ποταμοὶ θυηλαῖς. οἱ δὲ ἐνοικοῦντες μάλα πίονα δῆμον ἔχουσι, χρυσέοις πέπλοις ἀγαλλόμενοι μαλακοῖς. λέγει δὲ καὶ ὅπως νεβρίδι τε ἐζωνύσατο κατωμαδίην, ἢ ἐπωμαδίην, ὁ Διόνυσος, καὶ κισσῷ ἐστέψατο. ἀκροχάλιξ δὲ οἴνῳ μειδιόων, οἷα φιλομειδής, καὶ αὐτὸς πλεκτοὺς ἀνεσείσατο θύρσους, ὁ

ἐστι

Etiam hujus tibi ſitus eloquar. eximie enim ipſum
Inter omnes valde opulenti & inſignes populi colunt.
Aliud quinetiam mirandum valde magnum obtigit illi:
Semper fragrans aromatis ſuaviter ſubolet
Vel thus, vel myrrham, vel bene odoratum calamum,
Aut etiam divinum matureſcens thus,
Vel caſiam. revera enim in terra ſolvit illa

ἐστι κλάδους [illegible] οἱ καὶ αὐτὰ Διονύσου φόρημα ἦσαν [illegible] μείωσαι δὲ ὅτι εἰπὼν ὁ περιηγητὴς [illegible] ἀοικήτων νήσων ἄγεσθαι [illegible] τὸ κινάμωμον, ἐμφαίνει καὶ αὐτὸς μὴ γινώσκειν τὴν γῆν τὴν φέρουσαν τὸ κινάμωμον, ὥσπερ φησὶ καὶ Ἡρόδοτος. ἐκεῖνος δὲ ἀφηγεῖται καὶ ὅπως οἱ μὲν ὄρνιθες τὰ κάρφη τοῦ κιναμώμου φέρουσιν εἰς τὰς οἰκείας νεοσσιάς, καὶ πηλὸν προσαπλάττουσιν ἐν ἀβάτοις κρημνοῖς. οἱ δὲ Ἄραβες κρέα μεγάλα παραρρίπτουσι, καὶ οἱ ὄρνεις ἀνάγουσιν αὐτά, καὶ αἱ νεοσσιαὶ βαρυνόμεναι κάτω φέρονται, καὶ τὸ κινάμωμον συλλέγεται. παρὰ δὲ Ἀριστοτέλει φαίνεται ὁμωνύμως τοῖς φερομένοις κάρφεσι λέγεσθαι κινάμωμα καὶ τὰ ὄρνεα τὰ φέροντα τὰ τοιαῦτα κάρφη, ἐξ ὧν καὶ τὰς νεοττίας αὐτὰ ποιοῦνται ἐν τόποις ἀβάτοις, ἃς οἱ ἐγχώριοι καταβάλλουσι, μολυβδίδας οἰστοῖς προσαρτῶντες, καὶ τοξεύοντες· καὶ οὕτω συνάγουσιν ἐκ τοῦ φορυτοῦ, φησί, τὸ κινάμωμον. τὸ δὲ, ἐπίεσσε νεβρίδα, οὐκ ἀντὶ τοῦ ἐνεδύσατο νοητέον, ἀλλ' ἀντὶ τοῦ ἐφόρησεν, ἐξεκρέμασεν, ἤτοι ἐνήψατο· ἐνάπτεσθαι δὲ καὶ καθάπτεσθαι λέγομεν τὰ μὴ ζώνῃ διαλαμβανόμενα, μηδὲ τὸ σῶμα ὅλον ἐνδύοντα, ἀλλὰ μέρος τι σκέποντα, καὶ ἄφετα ἐξαρτώμενα, οἷον πήραν, λεοντῆν, ἢ παρδαλῆν. Ἀρριανὸς δὲ καὶ διφθέρας καθάπτεσθαι λέγει. οὕτω γοῦν καὶ νεβρίδα, ὅ ἐστι δέρμα νεβροῦ, ἤτοι νεογνοῦ ἐλάφου, πολύστικτον, ὁ Διόνυσος ἐνάπτεται τοῖς ὤμοις. ποιεῖ δὲ τοῦτο, ἢ διὰ τὸ τῶν μεθυόντων πολύτροπον (ὡς φθάσαντες εἴπομεν) οὗ σύμβολον τὸ πολύστικτον· ἢ διὰ τὸ τῶν σταφυλῶν πολύχροον· ἢ καὶ διὰ τὴν ἐκ τῆς μέθης ἀσθένειαν. καὶ γὰρ καὶ ὁ νεβρὸς ἀπόλεμον, καὶ εἰς φυγὴν ἑτοιμότατον. τὸ δὲ ἀπὸ κισσοῦ στεφάνωμα τὸ τοῦ οἴνου συμβολικῶς κισσητόν, ἤτοι ἐπιθυμητόν, αἰνίττεται· εἴ γε τὸ κισσᾶν ἐπὶ τοῦ ἐπιθυμεῖν τίθεται. οἱ δὲ θύρσοι τὸ τῶν μεθυόντων ἕτοιμον εἰς πληγὰς ὑπεμφαίνουσι, πλεκτοὶ λεγόμενοι παρωνύμως τῇ τῶν διαμαχομένων συμπλοκῇ. ἀκροχάλιξ δὲ οἶνος, ὁ ἄκρως κεχαλασμένος· ἢ ὁ τῷ ἀκράτῳ χαλασθεὶς τοῦ φρονεῖν, ὁποῖον ἦν καὶ ὁ χαλίφρων παρὰ τῷ Ποιητῇ· ἢ ὀρθοῦσθαι μὴ ἔχων, ἀλλὰ κάτω χαλώμενος, ὁποῖοι οἱ ἔξοινοι. τοῦ δὲ κινναμώμου τὴν βλάστην (φρύγανον δὲ, ὥς φησιν ὁ Πορφύριος, ἐστὶν Ἀραβικὸν) ὁμοίαν φασὶν εἶναι ἀμπέλῳ, ὅπερ ὁ ὀσφραινόμενος κλαυθμυρίζεται ὑφ' ἡδονῆς. φιλοῦσι δὲ αὐτὸν αἱ κατὰ χώραν αἶγες· διὸ καὶ ἡ παροιμία ἐπὶ τῶν λίαν φιλίως πρός τι διακειμένων, ἡ αἲξ τὸ κινάμωμον. Ἰστέον δὲ ὅτι ἀπὸ τοῦ τῶν Ἀράβων ἔθνους, μὴ πάνυ, ὡς ἔοικεν, εὐδοκιμούντων τὰ εἰς ᾠδήν, πεπαροιμίασται τὸ Ἀράβιος αὐλητής· ὃς κατὰ τὴν παροιμίαν,

Δραχμῆς μὲν ηὔλει, τεττάρων δὲ ἐπαύετο.

λέγεται δὲ τοῦτο ἐπὶ τῶν ἀπαύστως διαλεγομένων, καὶ ἀδολεσχούντων, καὶ μόλις παυομένων τοῦ πολυλογεῖν· ἢ ἐπὶ τῶν ἀμούσων καὶ βαρβάρων ἐν τῷ αὐλεῖν.

Ζεὺς αὐτὸν Διόνυσον ἐϋῤῥαφέος παρὰ μηροῦ·
Τῷ καὶ γειναμένῳ κηώδεα φύετο πάντα.
Μῆλα δὲ καὶ τῆμος λασίοις ἐβαρύνετο μαλλοῖς
Ἐν νομῷ, αὐτομάτοις δὲ κατέῤῥεον ὕδασι λίμναι.
Ὄρνιθες δ' ἑτέρωθεν ἀοικήτων ἀπὸ νήσων
Ἦλθον, φύλλα φέροντες ἀκηρασίων κινναμώμων.
Αὐτὰρ ὁ μὲν νεβρῖδα κατωμαδίην ἐπέννυσε,
Κισσῷ δ' ἱμερόεντι καλὰς ἔστεψεν ἐθείρας,
Ἀκροχάλιξ δ' οἴνῳ πλεκτοὺς ἀνεσείσατο θύρσους
Μειδιόων, καὶ πολλὸν ἐπ' ἀνδράσιν ὄλβον ἔχευε.
Τοὔνεκεν εἰσέτι νῦν λιβάνῳ κομόωσιν ἄρουραι,
Οὔρεα δὲ χρυσῷ, ποταμοὶ δ' ἑτέρωθι θυηλαῖς.
Αὐτοὶ δ' ἐνναέται μάλα πίονα δῆμον ἔχουσι,
Χρυσείοις πέπλοισιν ἀγαλλόμενοι μαλακοῖσι.
Ἀλλ' ἤτοι [1] πρῶτοι μὲν ὑπὲρ κλιτὺν Λιβάνοιο
Ἀφνειοὶ ναίουσιν ἐπωνυμίην Ναβαταῖοι.
Ἄγχι δὲ Χαβλάσιοί τε καὶ Ἀγρέες· οἷς ἔπι γαῖα
Χατραμὶς ἐνναίει, κατεναντία Περσίδος αἴης.
Αὐτὰρ Ἐρυθραίης πλευρὸν ναίουσι θαλάσσης
Μινναῖοί τε, Σάβαι τε, καὶ ἀγχίγυοι Κλεταβηνοί.
Τόσσα μὲν Ἀρραβίην περιώσια φῦλα νέμονται.
Ἄλλα δέ τοι καὶ πλεῖστα· περίπρο γὰρ ἐστὶ μεγίστη.
Τῆς δὲ πρὸς ἀντιπεραίαν, ὑπαὶ ῥιπὴν Ζεφύροιο,
Λυπρὸν [2] ὀρεσκῴων παραφαίνεται οὖδας Ἐρεμβῶν,

1. Ὅτι Ἀράβων πρῶτοι ὑπὲρ κλιτὺν Λιβάνου, τουτέστι πρὸς νότον τοῦ Λιβάνου, ἀφνειοὶ Ναβαταῖοι, ἀπὸ τινὸς Ναβάτου καλούμενοι. Ναβάτης δὲ, φασὶν, Ἀραβιστὶ, ὁ ἐκ μοιχείας γινόμενος. μετὰ δὲ Ναβαταίους, Χαβλάσιοι καὶ Ἀγρέες, οὓς ὁ τὰ ἐθνικὰ γράψας Ἀγραίους λέγει. μεθ' οὓς ἡ Χήτραμις γῆ, κατὰ δὲ ἄλλους, Χατραμῖτις, κατέναντι Περσίδος γῆς. καμηλοκόμοι δὲ καὶ οὗτοι, καὶ οἱ περὶ τὸ πλευρὸν τῆς Ἐρυθρᾶς θαλάσσης κείμενοι Σάβαι· ὅπου καὶ οἱ Μιναῖοι, ἔθνος καὶ αὐτὸ παράλιον. τοὺς δὲ Σάβας, καὶ Σαβαίους ἄλλοι φασὶ, λέγοντες ὅτι Ναβαταῖοι καὶ Σαβαῖοι τὴν εὐδαίμονα Ἀραβίαν νέμονται, καὶ ὅτι εὐδαιμονεστάτη ἐστὶν ἡ τῶν Σαβαίων γῆ ἔθνους μεγίστου, παρ' οἷς καὶ σμύρνα καὶ λίβανος καὶ κιννάμωμον καὶ βάλσαμον. καὶ ὅτι τεσσάρων ἐθνῶν μεγίστων κατοικούντων τὴν Ἀραβίαν, ἐν ἐκείνῃ ἐστὶ καὶ τὸ τῶν Μιναίων πρὸς Ἐρυθρὰν· ὧν πόλις μεγίστη, Κάρνα. ἐχόμενοι

Jupiter ipſum Dionyſum [*Bacchum*] bene ſuto à femore:
Proinde nato odorata naſcebantur omnia.
Oves quinetiam tunc denſis onerabantur velleribus
In paſcuis, ſubitis item delabebantur aquis lacus.
Volucres inſuper aliunde non habitatis ab inſulis
Venerunt, folia ferentes non vitiatorum cinamomorum.
1 At vero ille hinnuli pellem in humeros extendit,
Et hedera jucunda pulchras ornavit comas,
Ebrius autem vino implexos quaſſavit thyrſos
Blande ridens, & magnas hominibus illis divitias ſuperfudit.
Quare ad hunc uſque diem thure gloriantur arva,
Montes autem auro, flumina item alia ex parte odoramentis.
Ipſi autem incolæ valde pinguem populum habent,
Aureis veſtibus gloriantes mollibus.
Verum enimvero primi quidem ultra declivitatem Libani
Divites habitant cognomento Nabatæi.
Prope autem Chablaſiique & Agrei: quos juxta tellus
Chatramitica incolitur, è regione Perſicæ terræ.
Ceterum rubri latus habitant maris
Minnæique, Sabæque, & vicini Cletabeni.
Tot quidem Arabiam ingentes gentes tenent. [ma.
Aliæ vero inſuper & plurimæ: circumquaque enim eſt maxi-
Hujus autem ad ulteriorem regionem, ſub flatu zephyri,
Sterile monticolarum apparet ſolum Eremborum,

μένοι δὲ Σαβαῖοι. ἡ δὲ Ναβαταίων χώρα πολύανδρος, φασί, καὶ εὔβοτος. μητρόπολις δὲ Ναβαταίων ἡ Πέτρα. λέγονται δὲ καὶ σώφρονες οἱ Ναβαταῖοι, καὶ κτητικοί. ὥστε ὁ μὲν τὴν οὐσίαν μειώσας, δημοσίᾳ ζημιοῦται· τῷ δὲ αὐξήσαντι κεῖνται τιμαί. εἰσὶ δὲ καὶ ὀλιγόδουλοι, καὶ διακονοῦνται τὸ πλέον ὑπὸ συγγενῶν, καὶ εἰσὶν αὐτοδιάκονοι καὶ ἀντιδιάκονοι. ὁ δὲ τῶν ἐθνικῶν ἀναγραφεὺς λέγει ὅτι καὶ Δαχαρηνοὶ τὸ τοιοῦτον ἔθνος ἐκλήθη, ὅ ἐστιν ἀρσενικοί.

2. Ὅτι ἀντιπέραν τῆς εὐδαίμονος Ἀραβίας πρὸς ζέφυρον, λυπρὰν οὖδας Ἐρεμβῶν, ἤτοι τῶν ἐν ἀρχῇ τοῦ βιβλίου ῥηθέντων Τρωγλοδυτῶν· οἳ (φησὶν) οὐχ ὡς οἱ ἀντιπαρακείμενοι ἁβρόβιοι Ἄραβες ζῶσιν, ἀλλὰ τὸν βίον ὑπὸ πέτραις καταωρυχέεσσι (μᾶλλον δὲ καταρρωγέσι) τίθενται, γυμνοὶ καὶ κτεάνων ἐπιδεεῖς, καὶ αὐαλέοι τὸν χρῶτα, διὰ τὸ καύματι θάλπεσθαι, οἷα θῆρες ἀλώμενοι, ἄλγεα ἔχοντες. καὶ ἐπάγει γνωμικόν, Οὐ γὰρ ἐν

Οἳ βίον ἐν πέτρῃσι καταρυχέεσσιν ἔθεντο,
Γυμνοὶ, καὶ κτεάνων ἐπιδευέες· ἀμφὶ δ' ἄρα σφὶν
Ἰδεῖ θαλπομένοισι μελαίνεται αὐαλέος χρώς·
Αὔτως δ' οἷά τε θῆρες ἀλώμενοι, ἄλγε' ἔχουσιν.
Οὐχ ὡς ἀβροβίων Ἀράβων γένος· οὐ γὰρ ἐν ὄλβῳ
Ἴσην μοῖραν ἅπασιν ἐπ' ἀνδράσι θήκατο δαίμων.
Αὐτὰρ [1] ὑπὲρ Λιβάνοιο, πρὸς αὐγὰς ἠελίοιο,
Τῆς ἑτέρης Συρίης δολιχὴ μηκύνεται αἶα,
Ἑλκομένη καὶ μέχρις ἁλικλύστοιο Σινώπης.
Τῆς δ' ἤτοι μέσσης μὲν ἐπ' ἠπείροιο βαθείης
Καππαδόκαι ναίουσι, δαήμονες ἱπποσυνάων.
Ἀσσύριοι δ' ἁλὸς ἄγχι, παρὰ στόμα Θερμώδοντος.
Τῆς δὲ [2] πρὸς ἀντολίην, ὀρέων ἀπὸ παιπαλοέντων

ὄλβῳ ἴσην μοῖραν ἐν ἀνδράσι θήκατο θεός. ὅπερ ὅμοιόν ἐστι τῷ, Οὐ πᾶσι πάντα δέδωκε θεός.

1. Ὅτι πρὸς αὐγὰς τοῦ Λιβάνου, ὡς πρὸς Μεσοποταμίαν, ἡ ἑτέρα Συρία μηκύνεται, ἤγουν περὶ τὴν Κοίλην Συρίαν· ἑλκομένη καὶ μέχρι Σινώπης· ἣν ἁλίκλυστον λέγει, διὰ τὸ χερρόνησον εἶναι. ἐφ' ἧς ἑτέρας ταύτης Συρίας οἱ Καππαδόκαι μεσήπειροι, (οὓς προπαροξυτόνως Καππάδοκας ὁ Γεωγράφος λέγει, ὡς ἀπὸ εὐθείας τῆς, ὁ Καππάδοξ) οἵ, ὡς προϊστόρηται, καὶ Λευκόσυροι λέγονται πρὸς ἀντιδιαστολὴν τῶν ἑτέρων μελαγχρόων Σύρων. ὁ δὲ Διονύσιος τοὺς Καππαδόκας καὶ ἐπιστήμονας ἱπποσύνης φησίν· ὃς καὶ τοὺς ἁλὸς ἄγχι τῆς τοῦ Εὐξείνου, περὶ τὸν Θερμώδοντα, οὐ Σύρους, ἀλλὰ Ἀσσυρίους φησίν, ὡς καὶ ἐν τοῖς περὶ Σινώπης προγέγραπται. Καὶ ὅρα ὅτι ἐνταῦθα σαφέστατα ὁ Διονύσιος ἐφάνη δοξάζων δύο Συρίας· ὧν τρίτην ἑτερώνυμον ἔχει τὴν Ἀσσυρίαν, ἥν, ὡς ἔκ τινων προλαβόντων ἐδηλώθη, καὶ ὡς ἐκ τῶν ἄρτι λεχθέντων φαίνεται, μετὰ τοὺς Χάλυβας εἶναι ἱστορεῖ, καὶ ἐμπεριγράφει αὐτὴν περὶ τὴν θάλασσαν τοῦ Εὐξείνου πόντου, περὶ τὸ στόμα τοῦ Θερμώδοντος. ὡς εἶναι κατ' αὐτὸν μίαν μὲν Συρίαν τὴν Κοίλην, ὑπερεκπίπτουσαν πρὸς νότον, καὶ ἕως Ἀραβίας, ὡς καὶ αὐτὸς ἱστόρησεν· (ἧς μέρος καὶ ἡ παραλία Φοινίκη, κατὰ τὸν αὐτὸν Διονύσιον, εἰπόντα ὅτι τῶν Σύρων οἱ μὲν ἐν ἠπείρῳ, οἱ δὲ ἁλὸς ἐγγύς, ἐπωνυμίην Φοίνικες) ἑτέραν δὲ, δευτέραν Συρίαν, τὴν ὑπὲρ Λιβάνου ἕως Σινώπης, περὶ ἣν μέση ἡ Καππαδοκία. τρίτους δ' ἐκεῖθεν περὶ τὴν τοῦ Εὐξείνου θάλασσαν κεῖσθαι τοὺς Ἀσσυρίους. φησὶ γὰρ, Ἀσσύριοι ἁλὸς ἄγχι παρὰ στόμα Θερμώδοντος. εἰ μὴ ἄρα τις καὶ τούτους Σύρους βούλεται λέγειν, ἀδιάφορον ἡγούμενος τὸ τῶν Ἀσσυρίων καὶ Σύρων ὄνομα, κατά τινας. ὅτι δὲ περὶ Ἀσσυρίων ἄλλοις ἄλλα ἱστόρηται, ἱκανῶς ἀλλαχοῦ προείρηται. καὶ ὅτι δὲ ὑπό τινων εἰς πλείους μοίρας ἡ Συρία διῃρεῖτο, προεγράφη καὶ αὐτὸ ἐν τοῖς περὶ τῆς Κομμαγηνῆς χώρας. ἄλλοι δὲ εἰς τρία διῄρουν αὐτήν, Κοιλοσύρους, καὶ Σύρους, καὶ Φοίνικας. καὶ τοιαῦτα μὲν καὶ ταῦτα. ἐν δὲ Καππαδοκίᾳ ἱστορεῖται μάγους εἶναι, οἱ Πύραιθοι ὠνομάζοντο.

ὡς

Qui vitam in petris ſuffoſſis poſuerunt,
Nudi, & poſſeſſionibus carentes. quinetiam ipſis
Sudore [*æſtu*] nigrum redditur aridum corpus:
Temere vero more ferarum oberrantes, moleſtias habent.
Non ſicut delicate viventium Arabum genus: non enim in fe-
Æquam ſortem omnibus hominibus attribuit deus. [licitate
At ultra Libanum, ad ortum ſolis,
Alterius Syriæ longa producitur terra,
Quæ protrahitur etiam uſque ad Sinopem quæ mari alluitur.
Atque hujus media quidem in continente vaſta
Cappadoces habitant, periti equitationis [*artis equeſtris*:]
Aſſyrii vero mare juxta, ad oſtium Thermodontis.
Hujus autem ad orientem, montibus ab excelſis,

ὡς πῦρ αἴθοντες, καὶ δι' αὐτοῦ μελαινόμενοι. ὅτι δὲ ἀπό τινος Καππάδοκος οἱ Καππάδοκαι οὕτω καλοῦνται, προείρηται καὶ αὐτό. ὁ δὲ Γεωγράφος λέγει καὶ ὅτι "τὴν Καππαδοκίαν Πέρσαι "μὲν εἰς δύο σατραπείας διεῖλον, Μα"κεδόνες δὲ ὕστερον εἰς δύο βασιλείας· ὧν "τὴν μὲν ἰδίως Καππαδοκίαν ὠνόμα"σαν, καὶ μεγάλην Καππαδοκίαν, καὶ "πρὸς τῷ Ταύρῳ Καππαδοκίαν· τὴν "δὲ ἑτέραν, πρὸς τῷ Πόντῳ Καππαδο"κίαν ἐκάλεσαν.

2. Ὅτι πρὸς ἀνατολὰς τῆς Καππαδοκίας ὁ Εὐφράτης ποταμὸς ἀπειρέσιος ἀπὸ τοῦ Ἀρμενίου ὄρους ῥεῖ μακρὸς, ἐπὶ νότον τὰ πρῶτα· εἶτα ἑλίξας ἀγκῶνας πρὸς ἀνατολὰς, καὶ μέσην τὴν Βαβυλῶνα περάσας, εἰς τὴν Περσίδα θάλασσαν ἀπερεύγεται, καὶ περὶ τὴν Τερηδόνα, πόλιν Περσικὴν, ῥέων διὰ τῆς μεγάλης Ἀραβίας ἕως τῆς μικρᾶς. μετὰ δέ γε τὸν Εὐφράτην εἰς αὐγὰς, ὁ Τίγρις ῥόον ἶσον ἐλαύνων, κατὰ δὲ ἄλλους, καὶ αὐτὸς ὁμοίως ἀγκωνιζόμενος, καὶ οὕτω μετ' οὐ πολὺ διάστημα εἰς ἴσον τῷ Εὐφράτῃ γινόμενος, κοινοῦται τὸ ῥεῦμα, καὶ συγκαταδύει εἰς θάλασσαν. τὸ δὲ μέσον τούτων διάστημα, μέσην, φησὶ, καλοῦσι ποταμῶν, ὅ ἐστι Μεσοποταμίαν. ὡς καὶ τὴν ἀκρόπολιν διαλελυμένως ἡ ποίησις ἄκραν πόλιν φησὶν, καὶ τὴν Λευκόπετραν, Λευκὴν πέτραν, καὶ τὴν Νεάπολιν, Νέαν πόλιν. διΐστανται δὲ ἀλλήλων οἱ ποταμοὶ οὗτοι, ὅσον ἂν, φησὶν, εἰς ἑβδόμον ἦμαρ ἴφθιμος καὶ κραιπνὸς ἀνὴρ, ὅ ἐστι ταχὺς ὁδίτης, ἀνύσειεν· ἑπτὰ γὰρ, φησὶν, ἡμερῶν ἡ μέση τῶν ποταμῶν ὁδός ἐστιν εὐζώνῳ ἀνδρὶ, τουτέστιν ἀπερίττῳ καὶ ἐλαφρῷ εἰς ὁδόν. φασὶ δὲ οἱ παλαιοὶ, τὴν συναγωγὴν τῆς Μεσοποταμίας ἐπὶ συχνὸν προσπίπτουσαν μῆκος, πλοίῳ πως ἐοικέναι. τὰς δὲ τῶν δύο τούτων ποταμῶν πηγὰς διέχειν ἀλλήλων φασὶ περὶ αφ΄. στάδια. ὤκιστος δὲ, φησὶ, ποταμῶν ὁ Τίγρις, καὶ οὐκ ἂν ἐκείνου ἐν πᾶσι ποταμοῖς θοώτερον, ὅ ἐστιν ὀξύτερον, ἴδοις. διὸ, φασὶ, καὶ Τίγρις καλεῖται, ἤγουν ταχὺς ὡς βέλος· Μῆδοι γὰρ τίγριν καλοῦσι τὸ τόξευμα. οὕτω δὲ καὶ Ἄκις ποταμὸς Σικελικὸς παρὰ Θεοκρίτῳ· διότι, φασὶν, ἀκίδι τὸ τάχος τοῦ ῥεύματος ἐκείνου ἔοικε. κατὰ δέ τινας, παρὰ τὴν τίγριν τὸ ζῶον ἡ κλῆσίς ἐστι

Φαίνετ' ἀπειρεσίου ποταμοῦ ῥόος Εὐφρήταο·
Ὃς δή τοι πρῶτον μὲν ἀπ' οὔρεος Ἀρμενίοιο
Μακρὸς ἐπὶ νότον εἶσι, πάλιν δ' ἀγκῶνας ἑλίξας
Ἀντίον ἠελίοιο, μέσην Βαβυλῶνα περήσας,
Περσίδος εἰς ἁλὸς οἶδμα θοὴν ἀπερεύγεται ἄχνην,
Ὑστατίης προχοῇσι Τερηδόνος ἐγγὺς ὁδεύων.
Τὸν δὲ μετ', εἰς αὐγὰς, ποταμῶν ὤκιστος ἁπάντων
Τίγρις ἐϋρρείτης φέρεται, ῥόον ἶσον ἐλαύνων,
Τόσσον ἄνωθεν ἰὼν, ὅσον ἕβδομον ἦμαρ ὁδεύσας
Ἴφθιμος καὶ κραιπνὸς ἀνὴρ ἀνύσειεν ὁδίτης.
Ἔστι δέ τις κατὰ μέσσα περίτροχος ὕδασι λίμνη,
Οὔνομα [1] Θωνῖτις, ἧς ἕλκεται ἐς μυχὰ [2] Τίγρις
Δινῶν πολλὸν ἔνερθε· πάλιν δ' ἐξαῦθις ἀναχῶν

τούτῳ τῷ ποταμῷ, οὗ ἡ γενικὴ Τίγριος, παρὰ τῷ Ἀριστοτέλει. μυθεύεται γὰρ ὅτι Σύλαξ ποτὲ καλούμενος οὗτος ὁ ποταμὸς, ὅ ἐστι κατωφερὴς, ὕστερον ἐκλήθη Τίγρις, δι' αἰτίαν τοιαύτην. μαίνεται Διόνυσος Ἥρας προνοίᾳ, καὶ φοιτῶν ὅποι τύχοι, γίνεται καὶ πρὸς τῷδε τῷ ποταμῷ, καὶ θέλων εἰς τὸ πέραν διαβῆναι, ἀπόρως ἔχει. οἰκτίζεται δὲ αὐτὸν ὁ πατὴρ Ζεὺς, καὶ πέμπει ζῶον τίγριν, ὃς τοῦ πόρου τῷ Διονύσῳ καθηγησάμενος, αὐτῷ μὲν ποιεῖ τὸ θυμῆρες, τῷ δὲ ποταμῷ ἀφ' ἑαυτοῦ καλεῖσθαι ἀφίησι. καὶ ἄλλως δὲ δίχα τῆς μυθικῆς ταύτης ἐπιβολῆς, τὴν πρὸς τὸ ζῶον ὁμωνυμίαν ὁ ποταμὸς ἔχει, διὰ τὸ τοῦ ῥεύματος ὀξύ. θηρίον γὰρ ὁ τίγρις, οὐ μόνον ἐλέφαντος πολὺ ἀλκιμώτερος, ἀλλὰ καὶ τὴν ὠκύτητα οὐ ῥᾳδίως εἰκασθῆναι. διὸ καὶ ὁ τῷ Ἰουλιανῷ δοθεὶς ἀπατηλὸς χρησμὸς παρὰ Θηρὶ ποταμῷ ὑπέσχετο ποιῆσαι τὰ θρυλλούμενα, ἤγουν παρὰ τῷ θηριωνύμῳ Τίγρει. ὅτι δὲ διὰ τοῦ ι ἔχει τὴν γραφὴν ἡ λήγουσα, ἡ κλίσις δηλοῖ· Τίγριος γάρ ἐστι καὶ παρὰ τῷ Διονυσίῳ ἡ γενικὴ, ὡς τοῦ ὄφιος· ὡς δηλοῖ ἐντεῦθεν εἶναι τὴν Ἀττικὴν γενικὴν Τίγρεως, ὡς θύμβρεως. ὁ μέντοι Ἀρριανὸς διὰ τοῦ δ κλίνει Τίγριδος, καθὰ καὶ ὁ γράψας τὸ δρᾶμα τὸ Σωσαίνιδες, οἶμαι ὁ Δαμασκηνὸς, ὡς ἐκ τῆς ἐπιγραφῆς φαίνεται. οὕτω δὲ καὶ τὸ Ἆπις τὸ κύριον ἐν τοῖς περὶ Ἀρκάδων λόγοις οἱ μὲν διὰ τοῦ δ ἔκλιναν, Ἄπιδος, ὡς Πάελδος· οἱ δὲ κατὰ τὴν τοῦ ὄφιος κίνησιν αὐτὸ μετεχειρίσαντο, κλίνοντες Ἄπιος· τινὲς δὲ διὰ τοῦ η κλίνουσι, Τίγρης Τίγρητος, τῷ λόγῳ τῶν εἰς ης ἰαμβικῶν· ἄλλοι δὲ καὶ τὴν ἄρχουσαν μετὰ τοῦ π γράφουσι. καὶ εὕρηται τοιαύτη γραφὴ παρά τε τῷ Ἰουλιανῷ, καὶ παρὰ τῷ Ἀρριανῷ δὲ ἐν τοῖς περὶ Ἀλεξάνδρου· πολλὰ γὰρ τῶν παλαιῶν ἀντιγράφων ἔχουσιν οὕτω, "Τῶν ποταμῶν τοῦ Εὐφράτου καὶ τοῦ Τίγρητος, οἳ τὴν μέσην σφῶν Ἀσσυρίαν ἀπείργουσιν, (ὅθεν καὶ Μεσοποταμία πρὸς τῶν ἐπιχωρίων κλήζεται) ὁ μὲν Τίγρης ταπεινότερός ἐστι τοῦ Εὐφράτου". ἔστι δὲ Τίγρις καὶ Παφλαγονικὸς ποταμὸς, περὶ οὗ φησι Ξενοφῶν, "πρῶτον μὲν Θερμώδοντα, εὖρος τριῶν πλέθρων· δεύτερον δὲ Τίγριν, τρίπλεθρον ὡσαύτως· τρίτον δὲ, Ἅλυν". κλίνει δὲ καὶ αὐτὸς τοῦτον διὰ καθαροῦ τοῦ ο. καὶ Ἡρόδοτος δέ φησιν ὅτι οὐχ εἷς μόνος Τίγρις, ἀλλὰ καὶ δεύτερος καὶ τρίτος,

Cernitur immenſi fluvii fluxus Euphratæ:
Qui ſane primum quidem è monte Armenio [torquens
Longus in auſtrum progreditur; rurſum vero anfractus con-
Contra ſolem, mediam Babylonem præterlapſus,
Perſici in maris fluctum rapidam evomit ſpumam,
Extremis fluentis Teredonem juxta means.
Hunc autem poſt, in orientem, fluviorum celerrimus omnium
Tigris pulchrifluus fertur, fluentum æquabile agens,
Tantum procul labens, quantum ſeptem diebus incedens
Robuſtus & celer conficere poteſt viator.
Eſt autem quædam in medio circumflua undis palus,
Nomine Thonitis, cujus trahitur in intima Tigris
Seſe condens ſubter: rurſum vero denuo emergens

τρίτος, οὐχ ὁ αὐτὸς μὲν, οὐδὲ ἐκ τοῦ αὐτοῦ ῥέων, ὁ αὐτὸς δὲ ὀνομαζόμενος.

1. Ὅτι ἡ Θωνῖτις, λίμνη ἐστὶ νιτρώδης κατὰ μέσου τοῦ Τίγριος, εἰς ἣν αὐτὸς μετὰ πολλοῦ φερόμενος τοῦ ψόφου, καὶ κατὰ μυχὸν τῆς λίμνης, ὡς οἱ παλαιοί φασιν, εἰς βέρεθρον ἐμπεσὼν, καὶ ἐπὶ πολὺ ἐνεχθεὶς ὑπόγειος, καὶ αὖθις ἀνίσχων, καὶ διασώσας τὸ ῥεῖθρον ἀμιγὲς, διὰ τὴν ἄγαν ὀξύτητα, παραῤῥεῖ τὸ σῆμα τῆς Σεμιράμιδος, καὶ ἐν δεξιᾷ ἔχων τὴν Μεσοποταμίαν, ἐξίησιν εἰς τὸν Περσικὸν κόλπον. ὁ δὲ Γεωγράφος φησὶ καὶ Ἀρσηνὴν καλεῖσθαι τὴν νιτρῖτιν ταύτην Θωνῖτιν, καὶ πολλοὺς ἔχειν ἰχθύας· ῥύπτειν δὲ τὰς ἐσθῆτας, καὶ διαξεῖν, καὶ ἄποτον ἔχειν τὸ ὕδωρ. λέγει δὲ καὶ οὕτω σφοδρῶς διαβάλλειν αὐτόθι τὸν Τίγριν, ὥστε τὴν λίμνην, ἁλμυρὰν οὖσαν καὶ ἄνιχθυν, γλυκεῖαν ἐν τούτῳ τῷ μέρει γίνεσθαι, καὶ ἰχθύων πλήρη.

2. Ὅτι διαπρεύουσι μετὰ τοὺς Ἰνδικοὺς ποταμοὺς Εὐφράτης καὶ Τίγρις· καὶ ὅτι μείζων Εὐφράτης Τίγριος ῥέοντος ἀπὸ Νιφάτου ὄρους, καὶ πλείω διέξεισι χώραν. ἐνεχθεὶς δὲ ἐπὶ Σελεύκειαν τὸ τῶν βασιλέων χειμάδιον (ἐν Ἐκβατάνοις γὰρ θερίζειν ἐκεῖνοι λέγονται) συνάπτει τῷ Εὐφράτῃ πλησίον, καὶ ποιεῖ τὴν ῥηθεῖσαν Μεσοποταμίαν πρὸς αὐτόν. μετὰ δὲ τὸν ῥηθέντα Νιφάταν Ἄβος ὄρος, ἐξ οὗ ὁ Εὐφράτης τε ῥέει, καὶ ὁ προειρημένος Ἀράξης. ῥέειν δέ φησιν ὁ αὐτὸς Γεωγράφος τὸν Εὐφράτην διὰ μέσης τῆς Βαβυλῶνος, ἐν ᾗ καὶ θαυμαστὸς κρεμαστὸς κῆπος, περὶ οὗ ῥηθήσεται. καὶ Ἡρόδοτος δέ φησιν ὅτι τὸ μέσον τῆς Βαβυλῶνος ὁ Εὐφράτης διείργει, ὃς ῥέει μὲν ἐξ Ἀρμενίου μέγας ὢν, καὶ βαθὺς καὶ ταχὺς, ἐξίησι δὲ εἰς τὴν Ἐρυθρὰν θάλασσαν. ὁ δὲ αὐτὸς καὶ ναυσὶ περατὸν τὸν Εὐφράτην ἱστορεῖ, καὶ ὅρον αὐτὸν εἶναι Κιλικίας καὶ Ἀρμενίας φησί. τὴν δὲ εἰρημένην Βαβυλῶνα μεγάλην ποτὲ γενομένην, ὕστερον ἐρημωθῆναί φασι. φασὶ δὲ καὶ τὴν παρὰ τῷ Τίγρει Νῖνον, πολὺ μείζω τῆς Βαβυλῶνος οὖσαν, ἀφανισθῆναι καὶ αὐτὴν, καταλυθεῖσαν ὑπὸ Περσῶν· ἧς τοῦ μεγέθους σημεῖον τὸ τῆς κτίσεως ἐργῶδες. λέγεται γὰρ Νῖνος οἰκοδομῆσαι αὐτὴν ὁ τῶν Ἀσσυρίων βασιλεὺς, μυριάδων δεκατεσσάρων συνεχῶς αὐτὴν ἐργαζομένων ἐπὶ ἔτη ὀκτώ. σοφοὶ δὲ οἱ Βαβυλώνιοι, καὶ, ὡς Ἡρόδοτος λέγει, παρ᾽ αὐτῶν οἱ Ἕλληνες ἔμαθον πόλον, καὶ γνώμονα, καὶ τὰ δώδεκα μέρη τῆς ἡμέρας.

1. Ὅτι

Ὀξύτερον προθέησι κάτω ῥόον. οὐκ ἂν ἐκείνου
Ἐν πάσιν ποταμοῖσι θοώτερον ἄλλον ἴδοιο.
Ὅσση [1] δ' Εὐφρήτου καὶ Τίγριος ἔνδοθι γαῖα,
Τὴν δὲ περικτίονες μέσσην ποταμῶν ἐνέπουσιν.
Οὐ μὲν τοι [2] κείνης γε νομοὺς ὠνόσσατο βούτης,
Οὐδ' ὅστις, [3] σύνεγγι κερώνυχα Πᾶνα γεραίρων,
Μήλοις ἀγραύλοισιν ἐφέσπεται· οὐδέ μὲν ὕλην
Παντοίην φυτοεργὸς ἀνὴρ ἀθερίσσατο καρπῶν.
Τοίη ἐπὶ κείνης ἄροσις πέλει, ἐν μὲν ἀέξειν
Ποίην, ἐν δὲ νομοὺς εὐανθέας, ἐν δὲ καὶ ἀνδρῶν
Φύτλην, καλλίστην τε καὶ ἀθανάτοισιν ὁμοίην.
Τῆς μὲν πρὸς Βορέην, λιπαρὴν χθόνα ναιετάουσιν
Ἀνέρες Ἀρμένιοί τε, καὶ ἀγχέμαχοι Ματιηνοὶ,
Οὔρεσι κεκλιμένοι, ποταμοῦ πρόπαρ Εὐφρήταο,
Πίονες, ἀφνειοί τε, καὶ Ἄρεος εὖ δεδαῶτες.
Πρὸς δὲ νότον [4] Βαβυλὼν, ἱερὴ πόλις· ἥν ῥά τε πᾶσαν

1. Ὅτι καινὸν σχῆμα τὸ, ὅση δὲ Εὐφράτου καὶ Τίγρεως ἐντὸς, ταύτην μέσην φασὶ ποταμῶν. ἦν γὰρ τὸ ἀκόλουθον οὕτως εἰπεῖν, ὅση δέ ἐστι Εὐφράτου καὶ Τίγρεως ἐντὸς, αὕτη λέγεται μέση ποταμῶν. Σημείωσαι δὲ ὅτι ὁ Γεωγράφος ἱστορεῖ καὶ Εὐρωπαίαν Μεσοποταμίαν εἶναι, ἣν Κελτοὶ νέμονται καὶ Λυσιτανοί.

2. Ὅτι ἐπαινῶν τὴν Μεσοποταμίαν γῆν, φησὶν ὡς οὔτε τοὺς νομοὺς ἐκείνης ἀνὴρ βουκόλος μέμψεται, ἢ μήλοις ἀγραύλοις ἐφεπόμενος. ἀλλ' αἱ δὲ πάντως νομαὶ βουσὶν ἀγαθαὶ, καὶ ἄλλαι μήλοις, ὡς καὶ ἡ τῶν Λαιστρυγόνων γῆ δηλοῖ, παρὰ τῷ Ποιητῇ. λέγει δὲ καὶ ὅτι ἐδέμιαν ὕλην παντοίην φυτοεργὸς ἀνὴρ ἀθερίσσεται. ἄροσίς τε γὰρ, φησὶν, ἐκεῖ ἀγαθὴ, καὶ πόαν αὔξει πολλήν· καὶ οἱ νομοὶ εὐανθεῖς, καὶ ἡ τῶν ἀνδρῶν φύτλη καλλίστη, καὶ ἀθανάτοις ὅμοια. ταυτὶν δὲ εἰπεῖν θεοειδῆς, διὰ τὸ ἀξιοθέατον καὶ εὔδαιμον. καὶ τὴν τῶν Ἀρμενίων δὲ καὶ Ματιηνῶν χθόνα, πρὸς βορέαν τῆς Μεσοποταμίας οὖσαν, καὶ ὄρεσι περιειλημμένην, λιπαρὰν καλεῖ, καὶ τοὺς ἐκεῖ δὲ ἄνδρας ἀφνειούς τε λέγει, καὶ Ἄρεος εὖ δεδαῶτας, καὶ πίονας· ὡς καὶ τὸν Ἀραβικὸν δῆμον πίονα εἶπεν. ἐξ Ὁμήρου δὲ ἡ τοιαύτη ἀφορμὴ, λιπαροὺς πόδας τοὺς τῶν ἡρώων λέγοντος. τὸ δὲ ἀθερίσσεται, Ὁμηρικὴ λέξις ἐστὶ, καὶ ἐρρήθη ἐν τοῖς εἰς τὸν Ὅμηρον. δηλοῖ δὲ τὸ ἀποδοκιμάσαι καὶ ἀπορρίψαι.

3. Ὅτι τὸν ποιμένα περιφράζων, οὕτω φησὶ, ὃς σύνεγγι κερώνυχα Πᾶνα γεραίρων, μήλοις ἀγραύλοισιν ἐφέσπεται. κερώνυχα δὲ τὸν ὀξυκερῶν φασιν οἱ παλαιοί, ὡς τοῦ ὄνυχος ἐνταῦθα τὴν ὀξύτητα δηλοῦντος, καθὰ καὶ ὅτι ἀκρωνυχίαν ὄρους φαμέν. οὐ φιλοῦσι δὲ ἐκεῖνοι τὴν ἐπίθετον ταύτην λέξιν, ὡς καὶ σκληρὰν, καὶ οὐδὲν ἀστεῖον ἔχουσαν.

4. Ὅτι πρὸς νότον τῆς Μεσοποταμίας ἡ Περσικὴ μητρόπολις Βαβυλὼν, ἱερὰ πόλις, τεῖχος περιβεβλημένη χαλκοῦν,

κατά

Velociorem projicit infra in undam. non illo
Inter omnes fluvios velociorem alium conſpexeris.
Quæcunque vero Euphratem & Tigrim intra tellus eſt,
Eam accolæ mediam amnium perhibent.
Non certe illius paſcua vituperabit bubulcus, [lebrans,
Vel quicunque, fiſtula corneam habentem ungulam Panem ce-
Oves in agro ſtabulantes ſequitur : neque ſane ſylvam
Omnigenam fructuum vituperarit is qui operam ponit circa
Talis in illa aratio [*cultura*] ad producendam [plantas.
Herbam, & paſcua florida, atque etiam hominum
Stirpem, pulcherrimamque & immortalibus ſimilem.
Hujus quidem ad boream, pingue ſolum habitant
Homines Armeniique, & cominus habitantes Matiani,
In montibus ſiti, fluvium ante Euphratem,
Pingues, opulentique, & Martis bene gnari. [totam
Auſtrum autem verſus Babylon, ſacra urbs : quam quidem

κατά τινας, καὶ ποταμῷ περιῤῥεομένη. ταύτην, φησὶ, πᾶσιν τείχεσιν ἀῤῥαγέσι Σεμίραμις ἐστεφάνωσεν. ὅπου γε ἦν ἴσως, ὡς εἴρηται, καὶ χαλκοῦν αὐτῇ τεῖχος ἱστόρησαν, καὶ ἄλλα πολλὰ θαυμάσια, δίχα τῶν ἀνωτέρω ἐκτεθειμένων, περὶ αὐτῆς ἐξέθεντο. καὶ ἐπὶ τῇ ἀκροπόλει δὲ, φησὶ, βωμὸν τοῦ Βήλου ἡ Σεμίραμις ἵδρυσε, χρυσῷ καὶ ἐλέφαντι καὶ ἀργύρῳ ἀσκήσασα. Βῆλος δὲ ἦν βασιλεὺς Βαβυλῶνος, υἱὸς Διὸς, (ἀφ' οὗ καὶ πύλαι Βαβυλῶνος Βηλίδες) ἢ καὶ ὁ Ζεὺς αὐτὸς, κατά τινας· διὸ καὶ Ἡρόδοτος ἱερὸν εἶναι αὐτόθι λέγει Βήλου Διός. ὁ αὐτὸς δὲ τῇ Βαβυλωνίων χώρᾳ τοσαύτην προσμαρτυρεῖ δύναμιν, ὥστε αὐτὴν μὲν, φησὶ, τέσσαρας μῆνας τοῦ ἐνιαυτοῦ τρέφει τὸν μέγαν βασιλέα· ἡ δὲ λοιπὴ πᾶσα Ἀσία τοὺς λοιποὺς ὀκτὼ μῆνας. Θεόκριτος δὲ ἀσφάλτῳ δείμασθαι τὴν Σεμίραμιν τὸ τῆς Βαβυλῶνος τεῖχός φησιν. ἕτεροι δὲ Σελεύκειάν ποτε καλεῖσθαι τὴν τοιαύτην Βαβυλῶνά φασι, καὶ κτίσμα εἶναι Βαβυλῶνος ἀνδρὸς σοφωτάτου, παιδὸς Μήδου. καὶ ἀρχαιοτέραν τὴν πόλιν ταύτην τῆς Σεμιράμιδος λέγουσιν ἔτεσι χιλίοις ὀκτακοσίοις. Ἱστέον δὲ ὅτι συνετὴν μὲν γυναῖκα καὶ τὴν Σεμίραμιν ἡ ἱστορία ἔχει, συνετωτέραν δὲ αὐτῆς τὴν Νίτωκριν, Βαβυλῶνος καὶ αὐτὴν βασιλεύσασαν. τοὺς δὲ Πέρσας, ὧν μητρόπολις ἡ Βαβυλὼν, Κηφῆνάς ποτέ φησι καλεῖσθαι ὁ Ἀῤῥιανός. ἄλλοι δὲ καὶ τοιαῦτά τινα ἱστοροῦσιν, ὅτι Νίνου τοῦ Σύρων βασιλέως τὴν Νινευὶ κτίσαντος, ἡ τούτου γυνὴ, τὸν ἄνδρα ὑπερβαλλομένη, Βαβυλῶνα ἐν τῷ πεδίῳ κτίζει ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, καὶ λίθων λαξευτῶν, τρισπήχεων μὲν τὸ πλάτος, ἑξαπήχεων δὲ τὸ μῆκος· καὶ περίμετρον αὐτῇ διεγράψατο σταδίων τ' π' ε'. τὸ δὲ τεῖχος εἰς ὕψος ἀνέτεινεν ι'. πήχεων· οὗ τὸ πάχος εἰς τριάκοντα πήχεις διέστησεν, ὡς καὶ τέθριππα ἐπ' αὐτοῦ ἐναντιοδρομεῖν ἀλλήλοις· καὶ πύργους ταῖς πύλαις

ἐπέστησεν

Τείχεσιν ἀρραγέεσσι Σεμίραμις ἐστεφάνωσεν·
Αὐτὰρ ἐπ' ἀκροπόληϊ μέγαν δόμον εἵσατο Βήλῳ,
Χρυσῷ τ' ἠδ' ἐλέφαντι καὶ ἀργύρῳ ἀσκήσασα.
Καὶ τῆς τοι πεδίον περιώσιον, ἔνθα τε πολλοὶ
Ἀκρόκομοι [1] Φοίνικες ἐπηρεφέες πεφύασι.
Ναὶ μὴν καὶ χρυσοῖο φέρει χαριέστερον ἄλλο,
Ὑγρῆς [2] βηρύλλου γλαυκὴν λίθον, ἣ περὶ χῶρον
Φύεται ἐν προβολῇς, ὀφιήτιδος ἔνδοθι πέτρης.
Αὐτὰρ ὑπὲρ Βαβυλῶνος, ἐπὶ πνοιὴν βορέαο,
Κισσοὶ, Μεσσαβάταί τε, Χαλωνῖταί τε νέμονται.
Ἀλλ' ὁπότ' [3] Ἀρμενίων ὀρέων προπάροιθεν ὁδεύσῃς
Εἰς αὐγὰς, τότ' ἔπειτα τὰ [4] Μηδικὰ τέμπεα δήεις.

ἐπίστησεν ὑψηλὰς, χαλκᾶς τε πύλας ποιήσασα, εἰς ὕψος τε ἀνατεινομένας πολὺ καὶ εἰς πλάτος ἀξιόλογον. ἔκτισε δὲ καὶ δεξαμενὴν μεγάλην, καὶ κήπους ἐπήγειρε θαυμαστοὺς, ἐπιλεγομένους κρεμαστούς· ὃς τετράπλευρος μὲν ἦν, ἑκάστην δὲ πλευρὰν εἶχε τετράπλεθρον. καὶ ἦν ἓν καὶ αὐτὸς τῶν ἑπτὰ κοσμικῶν θεαμάτων. ἔστι δὲ καὶ ἄλλη Βαβυλὼν Λιβυκή. Ἡρόδοτος δὲ περὶ τῆς Περσικῆς Βαβυλῶνος καὶ ταῦτά φησιν· ὅτι "τὸ Ἀσσυρίας ὀνομαστότατον "πόλισμα, καὶ ἰσχυρότατον, ἡ Βαβυλὼν, "ἔνθα καὶ τὰ βασίλεια. ἔστι δὲ τετράγω-"νος κεῖται ἐν μεγάλῳ πεδίῳ, καὶ μέ-"τωπον ἕκαστον αὐτῆς εἴκοσι καὶ ἑκατὸν "σταδίων". ὥστε εἶναι κατ' αὐτὸν τὴν περίοδον τῆς πόλεως, στάδια τετρακόσια ὀγδοήκοντα. πύλαι δὲ πέριξ τοῦ τείχους ἑκατὸν, χάλκεαι πᾶσαι, ὥσπερ καὶ οἱ σταθμοὶ, καὶ τὰ ὑπέρθυρα. Καὶ σημείωσαι ὅτι οὐ μόνον ἑκατόμπυλοι Θῆβαι, ἀλλ' ἰδοὺ τοιαύτη καὶ ἡ Βαβυλών.

1. Ὅτι ἡ Περσικὴ Βαβυλὼν πολλὰς ἀκροκόμους ἐπηρεφέας φέρει φοίνικας. ἰδιότης δέ ἐστι τοῦτο τοῦ φυτοῦ. καὶ λέγονται ἐπηρεφεῖς μὲν, οἷα ἐπικλίνοντες τὰς κλάδους εἰς ὄροφον. ἀκρόκομοι δὲ, ὡς οὐ κάτωθεν, ἀλλ' ἐν ἄκρῳ ἄνω κομῶντες. τοιοῦτον γὰρ τὸ δένδρον. Καὶ ὅρα ὅτι τῶν Καρῶν ἀκροκόμων λεχθέντων παρὰ τῷ Ποιητῇ, οὗτος ἐπὶ φοίνικος τοῦ φυτοῦ τὴν λέξιν ἔθετο, παραξιώσας αὐτὴν, κατὰ λόγον δριμύτητος. φέρει δὲ, φησὶν, ἡ Βαβυλὼν καὶ χρυσοῦ τι χαριέστερον ἄλλο. ποῖον ἐκεῖνο; ὑγρᾶς βηρύλλου γλαυκὴν λίθον, φυομένην ἐκεῖ ἐν προβολαῖς, ὀφιήτιδος ἔνδοθι πέτρης. τόπος γάρ τις ἐκεῖ ὀφίτης ἐκβάλλων μάρμαρον λίθον, ᾧ ἡ βήρυλλος ἐνθαλαμεύεται. τὸ δὲ ὀφιήτης πλεονασμὸν ἔχει τοῦ η, καί ἐστιν ὅμοιον τῷ πολιήτης.

2. Σημείωσαι δὲ ὅπως τὴν γλαυκὴν βήρυλλον, ὑγρὰν ἔφη, ὡς τῶν γλαυκῶν σωμάτων ὑγρῶν εἶναι δοκούντων, διὰ τὸ διαφανές· ὅπου γε καὶ θαλάσσης ἐπίθετον τὸ γλαυκόν.

3. Ὅτι ἐν τῷ, Ἀλλ' ὁπότ' Ἀρμενίων ὀρέων προπάροιθεν ὁδεύσῃς, τοῦ μὲν ἐκ τῆς συναλοιφῆς, ἤγουν ἐκ τοῦ κυφισμοῦ, ψιλοῦσθαι τῆς Ἀρμενίας τὴν ἀρχοῦσαν· εἰ καί τινες ἐφίενται δασύνειν αὐτήν.

4. Ὅτι μετὰ τοὺς Ἀρμενίους εἰς αὐγὰς τὰ Μηδικά εἰσι τέμπεα, ὅ ἐστιν ἀπὸ μέρους ἡ τῶν Μήδων χώρα· οὕτω κληθεῖσα, κατὰ τὸν Γεωγράφον, ἢ ἀπὸ Μήδου υἱοῦ Μηδείας, ἥτις λειπόπατρις δι' ἔρωτα

γέγονεν

Mœnibus infractis Semiramis coronavit [*circumdedit:*]
Ceterum in arce urbis ingentem domum condidit Belo,
Auroque & ebore atque argento [*illam*] exornans.
Atque hujus quidem planicies ingens; ibique multæ
In ſummo comantes palmæ fornicatæ naſcuntur.
Jam vero & auro fert plus gratiæ habens aliud,
Humidæ berylli glaucum lapidem; qui in loco illo
Naſcitur apud effluvia [*torrentium,*] ophiten intra lapidem.
Ceterum ſupra Babylonem, ad flatum boreæ,
C[illegible] Meſſabatæ, Chalonitæque habitant.
Ve[illegible]quum Armenios montes ultra perrexeris
In orientem, tunc deinde Medica tempe invenies.

γέγονεν· ἢ ἀπὸ αὐτῆς δὴ τῆς φυγάδος Μηδείας τῆς Αἰήτου θυγατρὸς, ἣν καὶ ὁ Διονύσιος ὁμώνυμον τὴν γῆν ταύτην φησί. δεῖ δὲ μᾶλλον εἰπεῖν παρώνυμον· ἀφεῖσα γὰρ τὴν Ἀττικὴν ἡ Μήδεια, ἐκεῖ παρὰ τοῖς Μήδοις ἔμεινεν, οὐχ ἑκὰς Κόλχων, ἀλλὰ δηλαδὴ ἐγγὺς, κατὰ τὴν γειτνίασιν τὴν τοῦ ἀντικρύ. ᾧ λόγῳ καὶ ὁ Ἰωνικὸς ὁμορίους δὲ καὶ ὁ Ὑρκάνιος γείτονες τοῦ Εὐξείνου πόντου λέγονται. Κόλχων γαῖαν, φησὶν, εἰς γῆν σὺν ἣν αὐτὴν ἐξελθεῖν, διὰ τὴν τοῦ πατρὸς μῆνιν, ὅτε καὶ τῇ χώρᾳ δέδωκε τὸ ἀπ' αὐτῆς κληθῆναι· αἰδοῖ, φησὶ, λιποῦσα τὸν Πανδιονίδην Αἰγέα, καὶ τὰς Ἀθήνας, ὅτε λυγρὰ φάρμακα τῷ τοῦ Αἰγέως υἱῷ τῷ Θησεῖ ἐβουλεύσατο. διὸ, φησὶν, ἀπ' ἐκείνης τῆς Μηδείας, οἷα σοφῆς φαρμακουργοῦ, ἔτι οἱ Μῆδοι πολυφάρμακοί εἰσιν. τὸ δὲ αἰδοῖ, σεμνῶς εἶπεν, οὐ θέλων ἐξονειδίσαι εἰς τὴν ἡρωΐδα. τῷ ὄντι γὰρ οὐχ ἑκοῦσα ἐκείνη, οὐδὲ δι' αἰδῶ, ἀλλὰ περὶ; βίαν ἔλιπε τὰς Ἀθήνας, διωχθεῖσα ὑπὸ τοῦ Αἰγέως· διότι τῷ Αἰγείδῃ Θησεῖ ἐπιβούλευσε, κιρνασαμένη θανάσιμα φάρμακα, ὁπηνίκα ἐκεῖνος ἐκ Τροιζῆνος χρόνιος ἐλθὼν μετὰ τοῦ ξίφους καὶ τῶν πεδίλων τῶν πατρικῶν (ἃ καὶ ὁ Λυκόφρων ἱστορεῖ) ἐνεφανίσθη μὲν ἀγνοοῦντι τῷ πατρὶ Αἰγεῖ παῖς καλὸς καὶ κρείττων εἰς βασιλείαν. μικροῦ δὲ ἂν λαθὼν ὑπὸ τῆς Μηδείας ἀπώλετο, εἰ μὴ ὁ πατὴρ γνωρίσας τὸν ἐκ πολλοῦ ἐπὶ διαδοχῇ τῆς βασιλείας ποθούμενον παῖδα περιεσώσατο καὶ τὸν διαδεξόμενον εὑρηκὼς, ἀπώσατο τὴν Μήδειαν, ἣν διὰ ἔρωτα παιδοποιΐας ἐπεισηγάγετο. φασὶ δὲ αὐτὴν, δυναστεύσασαν ἐν Μήδοις, καὶ ἐπικρυπτομένην τὴν ὄψιν, ὁπηνίκα περιέρχοιτο, καταδεῖξαι τὸ θηλυστολεῖν τε τοὺς ἐκεῖ, καὶ ἐν ταῖς περιόδοις κατηρεφεῖς εἶναι τοῖς σκεπάσμασιν. Ἱστέον δὲ καὶ ὅτι ὀπὸς ὁ ἀπὸ σιλφίου ὀνομαστὶς παρὰ τοῖς Μήδοις λέγεται γίνεσθαι, καλούμενος Μηδικός· καὶ ὅτι οἱ Μῆδοι καὶ Μήδειοι λέγονται προπαροξυτόνως, καθάπερ οἱ παρ' Ὁμήρῳ Κήτειοι, καὶ ὅτι δεινοὶ περὶ τοξείαν εἰσί· διὸ καὶ τοξοφόρους αὐτοὺς ἐρεῖ ὁ Διονύσιος. καὶ ὅτι καὶ βοτάνη τις, ἣ μάλιστα τοὺς ἵππους τρέφουσα, Μηδικὴ καὶ εἰσέτι καλεῖται, ὡς ἐν Μηδείᾳ τάχα πλεονάζουσα. ὅτι δὲ κατὰ κυριολεξίαν ἀνωτέρω εἴρηται τὸ, Μηδικὰ τέμπεα, δηλοῖ ὁ Διονύσιος κατωτέρω, εἰπὼν λασίας εἱαμενὰς τὰς ἐν Μήδοις. πάντως γὰρ εἶναι λάσιος εἱαμενὴ τεμπώδης ὁ τοιοῦ-

Τῶν μὲν πρὸς βορέην, ἐριθηλέα γαῖαν ἔχουσι
Γηλοί τε, [1] Μάρδοι τε, καὶ ἀνέρες Ἀτροπατηνοί.
Πρὸς δὲ νότον ναίουσιν ἀγαυῶν ἔθνεα Μήδων,
Κείνης τοι γενεῆς ἐρικυδέος ἐκγεγαῶτες
Αἰήταο θυγατρὸς, ἀμύμονος ἡρωΐνης.
Εὖτε γὰρ Ἀκταίοιο παρὰ ῥόον Ἰλισσοῖο
Φάρμακ' ἐμήσατο λυγρὰ γένῳ Πανδιονίδαο,
Αἰδοῖ μὲν χῶρον κεῖνον λίπεν, ἐς δὲ βαθεῖαν,
Πλαζομένη κατὰ φῶτας, ὁμώνυμον ἵκετο γαῖαν,
Οὐ μὲν [2] ἑκὰς Κόλχων· Κόλχων γε μὲν αἶαν ἱκέσθαι
Οὔ οἱ ἔην· μῆνιν γὰρ ἑοῦ δειδίσσετο πατρός.
Τοὔνεκεν εἰσέτι νῦν πολυφάρμακοι ἄνδρες ἔασι,
Χώρην ναιετάοντες ἀπείριτον· οἱ μὲν ἐπ' αὐτὰς
Πέτρας, [3] αἳ φύουσιν ἀφεγγέα ναρκισσίτην·
Οἱ δ' ἑκὰς ἐν λασίῃσι νενασμένοι εἰαμενῇσι,
Πώεα καλὰ νέμοντες, ἄδην βεβριθότα μαλλοῖς,
Τόσσον ἐπ' ἀντολίην τετραμμένοι, [4] ἄχρι πυλάων
Κασπιάδων, αἵ τ' εἰσὶ, βαθυνομένας ὑπὸ πέτρας,
Κληῗδες γαίης Ἀσιήτιδος. ἧχι κέλευθος
Ἐκτέταται ἐς βορέην τε καὶ ἐς νότον ἐρχομένοισιν·

τόπος, ἥτις ἑλώδης ἐστίν. εἰαμενὴ γάρ ἐστιν οἱονεί τις ῥειαμένη, τόπος δηλονότι κατάρρυτος, ἢ καὶ εἰς βοτανῶν ἀνάδοσιν ἐπιτήδειος· παρὰ τὸ ἴω, ὑφ' οὗ δηλοῦται τὸ ἀναδίδωμι. φασὶ δὲ Μήδοις ἔθος εἶναι, βασιλέα αἱρεῖσθαι τὸν ἀνδρειότατον, καὶ γυναῖκας ἕκαστον ἔχειν οὐκ ἐλάττους τῶν πέντε· καὶ γυνὴ δὲ, φασὶν, ἄνδρας ἐλάττονας τῶν πέντε τρέφουσα, συμφορὰν ἡγεῖται τὸ πρᾶγμα, ἐν καλῷ τιθεμένη πλείστους νέμειν ἄνδρας. Ἰστέον δὲ ὅτι καὶ τὸ ᾀδόμενον Νισαῖον πεδίον ἐκεῖ που περὶ τὴν Μηδικὴν χώραν ἦν, φέρον ἵππους μεγάλους τοὺς λεγομένους Νισαίους.

1. Ὅτι βορειότεροι Μήδων οἱ Γηλοὶ, καὶ οἱ Μάρδοι, ἔθνος Ὑρκάνιον, λῃσταὶ καὶ τοξόται ἄνδρες. ἔτι δὲ καὶ οἱ Ἀτροπατηνοὶ, ἀπὸ ἡγεμόνος τινὸς Ἀτροπάτου καλούμενοι· ὧν Ἀτροπατία ἡ χώρα, δευτέρα μερὶς τῆς Μηδείας λεγομένη· πρώτη δὲ Μηδικὴ μερὶς, καθ' ἣν τὰ Ἐκβάτανα.

2. Ὅτι τὸ, ἵκετο ἡ Μήδεια οὐχ ἑκὰς Κόλχων, Κόλχων γε μὴν αἶαν ἱκέσθαι οὐκ εἶχε, σχῆμά ἐστιν ἐπαναστροφῆς. ἔστι δὲ ἐπαναστροφὴ, ὅταν ἡ τελευταία λέξις τῆς πρώτης ἐννοίας ἀρχὴ γίνηται τῆς δευτέρας· ὡς καὶ ἐνταῦθα τῆς μιᾶς ἐννοίας ληξάσης εἰς τὸ Κόλχων, ἀπὸ τούτου ἡ δευτέρα ἤρξατο. ἐκαλλωπίσατο δὲ καὶ ἀλλαχοῦ τῷ τοιούτῳ σχήματι ὁ Διονύσιος.

3. Ὅτι πέτραι τινὲς Μηδικαὶ τὸν ναρκισσίτην φύουσι λίθον, ὃν καὶ ἀφεγγέα καλεῖ,

Quorum quidem ad boream, valde florentem terram tenent
Geliq́ue, Mardique, & homines Atropateni.
Ad auſtrum autem habitant illuſtrium gentes Medorum,
Ex illa ſcilicet ſtirpe illuſtri prognati
Æetæ filiæ, inculpatæ heroïnes.
Quum enim Actæi [*Attici*] juxta fluentum Iliſſi
Venena molita eſſet exitioſa filio Pandionidæ [*Pandionis*,]
Pudore quidem locum illum reliquit, atque in vaſtam,
Oberrans per homines, cognominem venit terram,
Non quidem longe à Colchis; Colchorum tamen terram
Haud ei licebat: iram enim ſui pertimeſcebat patris. [adire
Quamobrem in hunc uſque diem venefici homines ſunt,
Regionem incolentes immenſam: alii quidem ad ipſas
Cautes, quæ gignunt obſcurum narciſſiten:
Alii vero procul in conſitis [*gramineis*] ſiti pratis,
Greges pulchros paſcentes, valde oneratos velleribus;
Tantum in orientem verſi, uſque ad portas
Caſpias, quæ ſunt, profundis ſub rupibus,
Clauſtra terræ Aſianæ. quà via
Extenſa eſt & in boream & in auſtrum euntibus:

καλεῖ, ὡς ναρκίσσῳ τῷ φυτῷ ἐοικότα τὴν χρόαν, καὶ διαυγάζοντα. λέγει δὲ καὶ τὰ ποίμνια καλὰ εἶναι τοῖς Μήδοις, ἅδην βεβριθότα μαλλοῖς. Καὶ ὅρα ὅτι τὸ ἅδην δι' ἑνὸς δ καὶ οὗτος ὁμοίως τῷ Ὁμήρῳ ἐξενήνοχεν· ὃ καὶ δασύνουσιν οἱ Ἀττικοί, ταυτὸν ὂν τῷ ἅλις. διὸ καί τις ἔφη, ἀλλὰ τούτων μὲν ἅδην, ἀντὶ τοῦ ἅλις.

4. Ὅτι οἱ Μῆδοι, ἐπ' ἀνατολὴν τετραμμένοι, ἄχρι τῶν Κασπιάδων ἥκουσι πυλῶν· αἵτινες, μέρος οὖσαι τῆς Μηδείας χώρας, κλεῖδες καλοῦνται τῆς Ἀσίας, διὰ τὴν ἄγαν στενότητα, ὑπὸ πέτραις οὖσαι βαθυνομέναις. ὄρη δέ εἰσιν αἱ Κάσπιαι πύλαι, μᾶλλον δὲ πέτραι ἀπερρωγυῖαι καὶ κοῖλαι, ὡς ἐν τάξει πυλῶν, ἀπὸ τῶν Κασπίων ὀρῶν, ἢ τῆς Κασπίας θαλάσσης, οὕτω καλούμεναι. πύλαι γὰρ οἱονεί εἰσι τοῖς ἐκ βορρᾶ περὶ τῆς Ὑρκανίας καὶ Κασπίας ἐκ νότου ὁδεύουσι, καὶ τοῖς ἐκεῖθεν αὖθις εἰς νότον περὶ Πέρσας. οὕτω δὲ καὶ ὁ τόπος ἐστένωται, ὡς καὶ πύλας ἐπιθεῖναι τῷ τόπῳ, κωλυούσας τὴν τῶν βορείων ἐθνῶν ἐπὶ τὰ ἐξ ἐναντίας διάβασιν. ὅτι δὲ καὶ ἄλλως αἱ πύλαι στενότατον τόπον δηλοῦσι, καὶ ἐν τῷ περὶ Θερμοπυλῶν λόγῳ δείληπται. τῷ δὲ πύλας εἰπόντι τὴν τοιαύτην στενοχωρίαν, ἀκόλουθον τὰς αὐτὰς καὶ κλεῖδας εἰπεῖν. τὸ δὲ Κασπίδες πύλαι, παρωνύμως καὶ αὐτὸ εἴληπται, οὐχ ὑποκοριστικῶς, ὁποῖα πολλὰ ὁ Διονύσιος ἐποίησεν.

Ἡ μὲν ἐς Ὑρκανίους· ἡ δ' οὔρεα Περσίδος αἴης.
Ἀλλ' ἤτοι πυλέων μὲν [1] ὑπαὶ πόδα Κασπιάων
Πάρθοι ναιετάουσιν Ἀρήϊοι, ἀγκυλότοξοι,
Παντοίου πολέμοιο δαήμονες. οὐ γὰρ ἀρότρῳ
Αὔλακ' ἐπιθύνουσι, διαχίζοντες ἄρουραν,
Οὐδὲ μὲν ἐν νήεσσιν ἅλα τμήγουσιν ἐρετμοῖς,
Οὐδὲ νομῷ φέρβουσι βοῶν γένος· ἐκ δὲ γενέθλης
Νηπίαχοι τόξοισι καὶ ἱπποσύνῃσι μέλονται.
Αἰεὶ δ' ἠχήεσσαν ἀνὰ χθόνα δοῦπος ἀκόντων,
Ἢ βελέων· πάντῃ δέ τ' ἀελλοπόδων δρόμο[illegible]ων
Θυνόντων. οὐ γάρ σφι θέμις δόρποιο πάσα[illegible]
Πρὶν πολέμου μόχθοισι κάρη ἱδρῶτι παλῦναι·
Φέρβονται δ' ἄγρῃσι δορυκτήτου βιότοιο.
Ἀλλ' ἔμπης κατὰ δῆριν ἀμαιμακέτους περ ἐόντας
Αὐσονίου βασιλῆος ἐπεπρήϋνεν ἀκωκή.
Εἰ δέ σε καὶ Πέρσας ἰδέειν γλυκὺς ἵμερος αἱρεῖ,
Εὐφραδέως ἄν σοι καὶ τῶν γένος αὐδήσαιμι,
Καὶ πόρον [2] ἀενάων ποταμῶν, ὀρέων τε κελεύθους.

1. Ὅτι ὑπὸ τὸν πόδα τῶν Κασπίων πυλῶν οἱ Πάρθοι ναίουσιν, ἄνδρες Ἀρήϊοι καὶ ἀγκυλότοξοι, καὶ παντοίου πολέμου δαήμονες, ὅ ἐστι τεχνῖται. εἶτα ἐμμένων τῷ περὶ αὐτῶν λόγῳ, φησὶ πλατυνόμενος, οὐ γὰρ ἀρότρῳ ἰθύνουσιν αὔλακα, διαχίζοντες ἄρουραν, οὐδὲ μὴν ἐρετμοῖς ἅλα τέμνουσιν, οὐδὲ νέμουσι βόας· ἐκ δὲ γενέθλης εἰσὶ νηπίαχοι τόξοις καὶ ἱπποσύναις μέλονται. ἀεὶ δὲ παρ' αὐτοῖς δοῦπος ὅπλων, καὶ δρόμος ἵππων ἀελλοπόδων. οὐ γὰρ θέμις αὐτοὺς δόρποιο γεύσασθαι, πρὶν ἐνιδρῶσαι μόχθοις πολέμου· ἔχουσι δὲ ἐξ ἄγρας βίον δορύκτητον. οὕτω δὲ ὁ Διονύσιος, αὐξήσας τὰ κατ' αὐτούς, ἐπιπλέκει σύντομον ἐγκώμιον βασιλικόν, λέγων, ἀλλὰ καίπερ τοιούτους ἐόντας Αὐσονίου βασιλῆος ἐπεπρήϋνεν ἀκωκή. φασὶ γὰρ τὸν Αὔγουστον κακῶς αὐτοὺς διαθεῖναι, τὴν τοῦ Κράσσου ἧτταν ἀναπαλαίσαντα, ὃν στρατηγὸν ὄντα Ῥωμαίων οἱ Πάρθοι ἀνεῖλον ἡττήσαντες. οὕτω δέ φασι ταπεινωθῆναι αὐτοὺς τότε, ὥστε προστάξαι τὸν Αὔγουστον μὴ ἄλλως αὐτοὺς βασιλέας ἑαυτοῖς ἐφιστᾶν, ἀλλ' ἢ γνώμῃ τῆς συγκλήτου τῶν Ῥωμαίων. τοὺς δὲ Πάρθους, καὶ Παρθυαίους καλοῦσί τινες, καὶ φῦλον εἶναί φασι Σκυθικόν, μετοικῆσαι ἐπὶ Μήδους ἐκ φυγῆς· διὸ καὶ οὕτω κληθῆναι. Πάρθους γὰρ Σκύθαι τοὺς φυγάδας φασίν. ἱστορεῖται δὲ καὶ ὅτι παρὰ τῷ ἰδίῳ ὀνόματι οἱ τῶν Παρθυαίων βασιλεῖς καὶ Ἀρσάκαι ἐκαλοῦντο, ἐπὶ τιμῇ ἀρχαίου τινὸς βασιλέως γενναιοτάτου Ἀρσάκου, ὡς ἂν ἐκεῖνός τε εἴη ἐν αὐτοῖς ἀοίδιμος, καὶ αὐτῇ τῇ ἐκείνου γλώσσῃ ἐναρείζοντο. Σημείωσαι δὲ ὅτι νόμου γεωγραφικοῦ ὄντος καὶ ἱστορίαις διατείνει τὴν γεωγραφίαν, εἰς χάριν.

Illa quidem ad Hyrcanos; hæc vero ad montes Perſicæ terræ.
At vero portarum quidem ſub pede [*ora*] Caſpiarum
Parthi degunt Martii, curvis arcubus utentes,
Omnigeni belli periti. nec enim aratro
Sulcum dirigunt, findentes arva;
Neque in navibus mare ſecant remis;
Nec item pabulo paſcunt boum genus: ſed à nativitate
Pueri arcubus & equitationibus dediti ſunt.
Semper autem ſtreperam per terram ſtridor jaculorum,
A[illegible]orum: paſſim etiam alipedum curſus equorum
[illegible]uentium. non enim ipſis fas eſt cibum ſumere,
Quin prius ex belli laboribus caput ſudore perfuderint:
Vivunt autem prædis haſta parti alimenti.
Veruntamen prælio indomiti [*inſuperabiles*] quamvis eſſent,
Auſonii regis manſuefecit cuſpis [*haſta.*]
Sin autem te quoq; Perſas noſcendi dulce deſiderium capit,
Perſpicue tibi etiam eorum gentem eloquar,
Atque curſum perennium fluminum, montiumque vias.

χειραγωγίαν τῆς ἀληθείας, ὡς καὶ ἐν προοιμίοις εἴρηται, διόλου μὲν ἐφύλαξε τοῦτο καὶ ὁ Διονύσιος, συχνὰ παραπλέκων τῇ περιηγήσει τὰ ἐξ ἱστοριῶν, πλὴν ἐν ἐπιτομῇ, καὶ ἐπιτροχάδην, διὰ τὸ καὶ τὴν ὅλην αὐτοῦ περιήγησιν συνοπτικὴν εἶναι, καί, ὡς οἱ λόγιοι φασιν, ἐπιλυσιστικὴν, τὰ πάνυ πολλὰ εἰς κομιδῇ βραχὺ συναλείφουσαν, καὶ ἐγχειρίδιον οἷον οὖσαν τῆς περιηγήσεως. καὶ οὕτω μὲν τὰ περὶ τούτου· ἀφ᾽ οὗ μέντοι εἰς τὴν Ἀσίαν διέβη, καὶ τετράπλευρόν ἢ χωρίον πλευραῖς, τῷ τε Ταύρῳ, καὶ τῷ Νείλῳ, καὶ τῷ Ἰνδικῷ ὠκεανῷ, καὶ τῷ νοτίῳ, τότε δὴ πλατύτερον τοῖς ἱστορουμένοις ὑπεξέρχεται, ὡς δῆλον ἔκ τε τῶν εἰς Ἀραβίαν λεχθέντων, καὶ τῶν περὶ Μηδείας ἱστορηθέντων, καὶ τῶν νῦν δὲ ῥηθέντων. σύνηγλαΐσθη δὲ καὶ περὶ τούτων ἐν τοῖς Λυδῶν λόγοις, καθ᾽ ὁμοίαν διατελοῦλω. ἐν τῷ ἑξῆς δὲ καὶ ἡ Ἰνδία ἱκανὴν αὐτῷ παρέξει διατελοῦλω. αἴτιον δὲ τούτου, οὐ μόνον τὸ προσπαθῶς δοκεῖν αὐτὸν ἔχειν πρὸς τὴν Ἀσίαν, ἀλλὰ καὶ τὸ κίνδυνον εἶναι, εἰ μὴ οὕτω μεθοδεύσει, βραχύστιχον αὐτῷ παντελῶς γενέσθαι τὴν ποίησιν, καὶ εἰς μικροστιχίαν ἀποκλῖναι, διὰ τὸ τῆς περιηγήσεως λίαν πάνυ στενὸν καὶ ἐπίτροχον.

2. Ὅτι εὕρηται οὐδὲ τὸ ἀέναος δι᾽ ἑνὸς ν, καὶ μετὰ ἐκτάσεως τῆς ἀρχούσης· φησὶ γὰρ, καὶ πόρον ἀενάων ποταμῶν. οὕτω δὲ καὶ ἐν τοῖς ἑξῆς, ἀενάοις ποταμοῖσι κατάῤῥυτος· καὶ παρὰ Θεοκρίτῳ δὲ εὕρηται τοιαύτη γραφὴ, ἔνθα λέγει, "Εὗρον δ᾽ "ἀέναον κράνην". εἰ μή τις, τὴν τῶν ἀντιγράφων αἰτιώμενος φαυλότητα, φυλάσσει μὲν τὴν διὰ τῶν δύο ν ν γραφὴν, θεραπεύει δὲ τὸ πάθος τοῦ μέτρου

διὰ

Μοῦνοι [1] γὰρ τ' Ἀσίης βασιλεύτατον ἔθνος ἔχουσι,
Μοῦνοι δ' ἄσπετον ὄλβον ἐνὶ μεγάροισιν ἔθεντο,
Ὁππότε Μῃονίην καὶ Σάρδιας ἐξαλάπαξαν.
Χρύσεά τοι κείνων μὲν ἐπὶ χροῒ τεύχεα φωτῶν,
Χρύσεα δ' αὖθ' ἵπποισιν ἐπὶ στομάτεσσι χαλινὰ,
Χρυσῷ δ' ἀμφὶ πόδεσσιν ἐκοσμήσαντο πέδιλα·
Τόσσος γάρ σφιν ὄλβος ἀπείριτος. ἀλλά τοι αἴη
Περσὶς ὅλη μεγάλοισι περίδρομος οὔρεσι γαῖα,
Κασπιάδων πυλέων νοτιώτερον οἶμον ἔχουσα,
Ἑλκομένη καὶ μέχρις ὁμωνύμου ἀμφιτ[illegible]
Τριχθὰ δέ μιν ναίουσι διασταδόν· οἱ μὲν ὑπ' ἄρκτους,
Τοξοφόρων σκιεροῖσι παρήμενοι οὔρεσι Μήδων·
Οἱ δὲ μεσήπειροι· οἱ δ' ἐς νότον, ἄχρι θαλάσσης.
Πρῶται [2] Σάβαι, μετὰ τούσδε Πασαργάδαι· ἄγχι δὲ [3] Τα-
Ἄλλοι θ' οἳ ναίουσι διάνδιχα Περσίδα γαῖαν. [σκοὶ,
Καὶ τὴν μὲν πολέες ποταμοὶ περιπαίνουσι,

διὰ συνιζήσεως, ὡς καὶ ἐν τῇ ἀρχῇ τῶν ἁλιευτικῶν Ὀππιανοῦ.

1. Ὅτι μόνοι οἱ Πέρσαι ἔθνος ἔχουσιν Ἀσίας βασιλεύτατον· καὶ μέγας διὰ τοῦτο ἐλέγετο βασιλεὺς ὁ τῶν Περσῶν, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ. βασιλικώτατον δὲ τὸ τῶν Περσῶν ἔθνος, κεκλημένον οὕτω ἀπὸ Πέρσου τοῦ υἱοῦ Μήδου. κατὰ δὲ ἄλλους, ἀπὸ Περσέως καὶ Ἀνδρομέδας, ὥς φησιν Ἡρόδοτος, λέγων ὅτι « ὁ Περσεὺς ὁ Δανάης καὶ Διὸς ἀφίκετο ἐπὶ Κηφέα τὸν Βήλου, καὶ ἔσχεν αὐτοῦ θυγατέρα τὴν Ἀνδρομέδαν· καὶ γίνεται Πέρσης, ἐξ οὗ τὴν ἐπωνυμίαν ἔσχον οἱ Πέρσαι, πάλαι ποτὲ Κηφῆνες ἀπὸ τοῦ τοιούτου Κηφῆος καλούμενοι ». λέγει δὲ ὁ Διονύσιος καὶ ὅτι ἀπείριτον ὄλβον οἱ Πέρσαι περιεβάλλοντο, θέμενοι ἐν μεγάροισιν, ὅτε Μῄονας καὶ Σαρδιανοὺς ἐπόρθησαν, καθελόντες τὸν Κροῖσον. καὶ δεῖγμά φησι τοῦ πλούτου, ὅτι χρύσεα μὲν τοῖς ἀνδράσι τὰ ὅπλα, χρύσεα δὲ τοῖς ἵπποις τὰ χαλινά· χρυσοῖς δὲ πεδίλοις τοὺς πόδας ἐκοσμήσαντο. ταῦτα δὲ πολὺ πρότερον τοὺς Μῄονας, ἤτοι τοὺς Λυδοὺς, πλουσιωτάτους δεικνῦσιν· οὓς οἱ Πέρσαι ληϊσάμενοι, παμπλούσιοι γεγόνασιν, ἄλλως μὴ πλουτοῦντες· ὅπου γε καὶ αἱ παροιμιαζόμεναι αὐτοῖς Περσικαὶ ἐμβάδες, ὥς τινές φασιν, ὑπόδημα εὐτελὲς ἦν. ἀσκεῖν δὲ λέγονται καὶ μεγαλοφωνίαν οἱ Πέρσαι, καὶ καῦμα καὶ ψῦχος φέρειν, καὶ ὄμβρους, καὶ χειμάρρων διαβάσεις, ὥστε ἄβροχα φυλάσσειν τά τε ὅπλα καὶ τὴν ἐσθῆτα. τιμῶσι δὲ τὸ πῦρ, καὶ δι' αὐτὸ οἷα πυροειδῆ ὄντα. λέγεται δὲ Περσική τις εἶναι ᾠδὴ, ἧς τὰς ὠφελείας ξ'. διαριθμοῦνται. τίμιοι δὲ παρὰ τοῖς Πέρσαις οἱ μάγοι, οἳ οὔτε οὐροῦσιν εἰς ποταμὸν, οὔτε νίπτονται, οὔτε λούονται. Ἡρόδοτος δέ φησι καὶ ὅτι Πέρσαι παιδεύουσι τοὺς ἑαυτῶν παῖδας, ἀπὸ πενταετοῦς, ἕως ἐτῶν κ'. ἱππεύειν, καὶ τοξεύειν, καὶ ἀληθίζεσθαι. ἱστορεῖ δὲ καὶ νομάδας τινὰς Πέρσας· καὶ συχνὰ

Soli enim Aſiæ florentiſſimam regno gentem habent,
Soli item grandes divitias in domibus repoſuerunt,
Quando Mæoniam & Sardias depopulati ſunt.
Aurea ſane illorum quidem in corpore arma hominum,
Aurea etiam equis in oribus frena,
Auro item circa pedes ornant calceamenta : [propoſita
Tantæ enim ipſis divitiæ ſunt immenſæ. ceterum tibi ſit
Perſis tota magnis circumdata montibus terra,
Caſpiis portis magis auſtralem viam habens,
Porrecta etiam uſque ad cognomine mare. [arctis,
Trifariam autem ipſam habitant ſeparatim : hi quidem ſub
Sagittariorum umbroſis adjacentes montibus Medorum :
Illi vero mediterranei : reliqui in auſtrum, uſque ad mare.
Primo Sabæ, poſt hos Paſargadæ : prope vero Taſci,
Aliique qui habitant in diverſis partibus Perſicam terram.
Atque hanc quidem multi amnes undique pinguefaciunt,

ευχρὰ εἶναι λέγει γένη Περσῶν. λέγεται δὲ καὶ σύμβολον εἶναι κατάρας μέγ. παρὰ Πέρσαις, τὸ ἀφελέσθαι τὴν τιάραν τῆς κεφαλῆς. μεγάλοις δὲ ὄρεσι περίδρομός ἐστιν ἡ Περσίς, νοτιωτέρα τῶν Κασπίων οὖσα πυλῶν, ἑλκομένη μέχρι τοῦ ὁμωνύμου Περσικοῦ κόλπου. τὸ δὲ ἀρκτῷον αὐτῆς τοῖς τῶν Μήδων ὄρεσιν ὑποπέπτωκεν, ἅπερ τιμῶσιν ὁ Διονύσιος ἀνωτέρω ἔφη Μηδικά.

2. Ὅτι Σάβαι ἦσαν μὲν καὶ Ἀραβικοί, ὡς προεγράφη, εὑρίσκονται δὲ καὶ ὧδε Περσικοί· μεθ' οὓς οἱ Πασαργάδαι, περὶ ὧν κατωτέρω ῥηθήσεται. ἐν δὲ τοῖς ἑξῆς καὶ Ἰνδικὸν ἔθνος οἱ Σάβαι εὑρίσκονται. ἦσαν δὲ καὶ ἔθνος Θρᾳκικὸν Σάβοι, ὅπερ τοὺς Βάκχους δηλοῖ Φρυγίᾳ διαλέκτῳ· ἐξ οὗ καὶ ὁ Διόνυσος ἔοικε Σαβάζιος λέγεσθαι, διότι καὶ Βάκχος ὁ αὐτός.

3. Ὅτι τὸ Τάσκοι, ἔθνους Περσικοῦ ὄνομα, βαρυτόνως παρὰ πολλοῖς ἀναγινώσκεται· οἷς ἀγχιτέρμονες οἱ Πασαργάδαι, ἄριστοι Περσῶν, κατὰ Ἡρόδοτον· παρ' οἷς Κύρου τάφος πολυτελής, πύργος οὐ μέγας ἐν παραδείσῳ, δάσει δένδρων ἀποκεκρυμμένος, κλίνην τε χρυσῆν ἔχων ποτέ, καὶ τράπεζαν, καὶ κύλικα ὕλης ὁμοίας, καὶ κόσμον λιθοκόλλητον. προσεκεκόσμητο δὲ καὶ ὑπὸ Ἀριστοβούλου κελεύσει Ἀλεξάνδρου, ἐσυλήθη δὲ οὐ πολλῷ ὕστερον. εἶχε δέ, φασί, καὶ ἐπίγραμμα Ἑλληνικὸν Περσικοῖς γράμμασιν,

Ἐνθάδ' ἐγὼ κεῖμαι Κῦρος βασιλεὺς βασιλήων.

ἦν δὲ καὶ ἕτερόν τι τοιοῦτον, "Ὦ ἄνθρωπε, ἐγὼ "Κῦρός εἰμι, ὁ τὴν ἀρχὴν τοῖς Πέρσαις "κτησάμενος, καὶ τῆς Ἀσίας βασιλεύσας· "μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος". καὶ τοῦτο μὲν ἁπλοῦν, καὶ γεγονός. κάλλιον δὲ τὸ ἐπὶ Δαρείῳ, "Φίλος ἦν τοῖς φίλοις. Ἱππεὺς καὶ τοξότης ἄριστος ἐγενόμην. Κυνηγῶν ἐκράτουν. Πάντα ποιεῖν ἠδυνάμην". Ἰστέον δὲ ὅτι τὸ μὲν ἐθνικόν, οἱ Πασαργάδαι· ἡ δὲ πόλις θηλυκῶς, ὡς δηλοῖ τό, τὰς δὲ Πασαργάδας ἔκτισεν ὁ Κῦρος.

διαμη-

Τῇ καὶ τῇ σκολιῇσιν ἐλαυνόμενοι προχοῇσι.
Χωρὶς μὲν [1] Κόρος ἐστὶ μέγας, χωρὶς δὲ Χόασπις,
Ελκων Ἰνδὸν ὕδωρ, παρά τε ῥείων χθόνα Σούσων.
Τοῦ δ' ἂν ἐπὶ πλευρῇσιν ἴδοις [2] εὐωπὸν Ἀχάτην,
Κείμενον οἷα κύλινδρον ἐπὶ χθονός· ὅν ῥ' ἀπὸ πέτρης
Χειμερίου ποταμοῖο κάτω σύρουσι χαράδραι.
Αἰεὶ δ' αὖ λιαροῖο γεγηθότες ἐξ ἀνέμοιο
Καρποὶ τηλεθάουσιν ἐπήτριμοι ἀλλήλοισι.
Φράζεο δ' εἰς αὐγὰς λοιπὸν πόρον Ἀσίδος αἴης.
Ἐγγύθι γάρ τοι πέζα τελείεται ἠπείροιο.
Ἤτοι μὲν [3] παρὰ χεῦμα τὸ Περσικὸν ὠκεανοῖο
Καρμανοὶ ναίουσιν, ὑπ' ἠελίῳ ἀνιόντι,
Περσίδος οὐκ ἀπάνευθε, διάνδιχα γαῖαν ἔχοντες,
Οἱ μὲν ὑπειράλιοι, τοὶ δ' ἔνδοθεν ἠπειρῶται.
Τῶν δὲ πρὸς ἀντολίην [4] Γεδρωσῶν ἕλκεται αἶα,
Γείτων ὠκεανοῦ μεγακήτεος, οἷσι πρὸς αὐγὰς
Ἰνδὸν [5] πὰρ ποταμὸν νότιοι Σκύθαι ἐνναίουσιν,

διερμηνεύεται δὲ ἡ πόλις κατὰ τὴν γλῶσσαν Ἑλληνίδα, Περσῶν στρατόπεδον.

1. Ὅτι Κόρος ποταμὸς Περσικὸς, ἔτι δὲ καὶ Χοάσπης Ἰνδὸν μὲν ὕδωρ ἕλκουσιν, ὡς ἐκ τοῦ Ἰνδοῦ σχιζόμενοι ποταμοῦ παραῤῥέουσι δὲ καὶ τὰ Σοῦσα· ἐξ οὗ καὶ μόνου ἔπινεν ὁ τῶν Περσῶν βασιλεύς. καὶ ἦν βασιλικὸν ὕδωρ τὸ Χοάσπειον· περὶ οὗ φησι καὶ Ἡρόδοτος, ὅτι "τοῦ ὕδατος τοῦ Χοάσπου ἀπεψημένου, πολλαὶ ἅμαξαι ἡμιόνειοι τετράκυκλοι ἕπονται κομίζουσαι ἐν ἀγγείοις ἀργυρέοις". ἔστι δὲ, κατὰ τὸν Γεωγράφον, καὶ ἕτερος ποταμὸς μέγας, ἀπὸ Ἀρμενίας ἔχων τὴν ἀρχὴν, Κόρος ποτὲ λεγόμενος, ὕστερον δὲ Κῦρος μετονομασθείς. τὰ δὲ Σοῦσα οὕτω καλοῦνται διὰ τὸ τοῦ τόπου ἀνθηρόν· σοῦσα γὰρ ἐγχωρίως τὰ κρίνα. τῆς δὲ Περσικῆς ταύτης τῶν Σούσων χώρας οἱ ἐγχώριοι, οὐ μόνον Σούσιοι, ἀλλὰ καὶ Κίσσιοι λέγονται. πάνυ δὲ, φασὶ, καυματηρὸς ὁ ἀὴρ τῇ Σουσίδι, καὶ οὕτως ἔκπυρος, ὥστε οὐ φθάνουσιν αἱ σαῦραι καὶ οἱ ὄφεις ἐν τῷ διαβαίνειν τὰς ὁδοὺς, ἀλλὰ καταφλέγονται. καὶ λουτρὰ δὲ, ἤγουν ὕδατα εἰς τὸ λούσασθαι, προτεθέντα ψυχρὰ, ἐκθερμαίνεται παραχρῆμα. ἐκαλεῖτο δὲ καὶ Μεμνόνειον ἄστυ, τὰ Σοῦσα, διὰ τὸ ἐκεῖ, ὡς εἰκὸς, ἀκμάσαι τὸν Μέμνονα. λέγεται δὲ καὶ τοὺς τοῦ βασιλέως Περσῶν θησαυροὺς αὐτόθι κεῖσθαι. καὶ ὁ τὴν πόλιν ταύτην ἑλὼν ἔδοξεν ἂν, κατὰ τὸν τοῦ Ἡροδότου λόγον, ἐρίσαι τῷ Διῒ περὶ πλούτου.

2. Ὅτι τὸν Ἀχάτην ποταμὸν ἐπὶ πλευραῖς τε εἶναι τοῦ Χοάσπου φησὶ, καὶ εὐωπὸν αὐτὸν καλεῖ, διὰ τὸ τάχα διειδὲς τοῦ ὕδατος καὶ εὔθετον. φασὶ γὰρ ὅτι οἷα κύλινδρος ἐπὶ χθονὸς κεῖται, τουτέστιν ἀ[illegible] σχῆμα κιονοειδές· τοιοῦτον γὰρ ὁ κύλινδρος. ἔοικε δὲ ὁ Ἀχάτης μὴ ἔχειν ἐξοχάς τινας καὶ καμπὰς, μηδὲ εἰς ἀγκῶνας καὶ κλῶνας ἑλίσσεσθαί τε καὶ σχίζεσθαι. φαίνεται δὲ

καὶ

Huc atque illuc flexuoſis acti fluentis.
Seorſum quidem Corus eſt vaſtus, ſeorſum vero Choaſpis,
Trahens Indicam undam, præterfluens terram Suſorum.
Hujus autem in lateribus cernas pulchrum aſpectu Achaten,
Jacentem quaſi cylindrum ſuper terram: quem quidem è rupe
Hyberni fluminis [*torrentis*] deorſum trahunt alvei.
Semper item placido læti [*exhilarati*] à vento
Fructus virent addenſati alii aliis.
Obſerva autem orientem verſus reliquum iter Aſiaticæ terræ.
Prope enim ora finitur continentis.
Nempe ad undam Perſici oceani
Carmani habitant, ſub ſole oriente,
A Perſide haud procul, bifariam [*diviſim*] terram tenentes,
Alii quidem maritimi, alii vero intus mediterranei.
Horum autem ad orientem Gedroſorum trahitur tellus,
Vicina oceano vaſto, quibus ad ortum
Indum ad fluvium auſtrales Scythæ habitant,

καὶ μηδὲ πολὺς εἶναι κατὰ τὸ αἴνιγμα. χειμάῤῥου γάρ, φησίν, αὐτὸν ποταμοῦ κατασύρουσι χαράδραι. λέγει δὲ καὶ τοὺς ἐκεῖ καρποὺς θάλλειν ἄλλους ἐπ' ἄλλοις, λιαροῦ γεγηθότας ἐξ ἀνέμου. καὶ ἔστιν ἐνταῦθα γλυκεῖα λέξις τὸ γεγηθότας, μετενεχθεῖσα ἐπὶ τὰ ἀναίσθητα· ὡς καὶ ὅτι ὁ Ποιητὴς ἐπὶ ὅπλων τὸ γανοῦσθαι λέγει, καὶ τὴν χθόνα γελᾶν. καὶ ἔστι τοῦτο μεταγωγὴ πραγμάτων ἀπὸ τῶν ὁρώντων ἐπὶ τὰ ὁρώμενα. γεγήθασι γὰρ πάντως καὶ γανοῦσι καὶ γελῶσιν, οὐ τὰ ὅπλα, οὐδὲ ἡ γῆ, οὐδὲ οἱ καρποί, ἀλλ' οἱ βλέποντες αὐτά.

3. Ὅτι περὶ τὴν Περσικὴν θάλασσαν μέγα ἔθνος οἱ Καρμανοί, ἔνθα ποταμὸς ψήγματα καταφέρων χρυσοῦ. καὶ μέταλλα δὲ εἰσὶν αὐτόθι ἀργύρου καὶ χαλκοῦ καὶ μίλτου· καὶ ὄρη δύο, κατὰ τὸν Γεωγράφον, τὸ μέν, ἀρσενικοῦ, ὅπερ ἡ κοινὴ γλῶσσά φησιν ἀρσενίκιον· τὸ δέ, ἁλός. γίνεται δέ, φασίν, αὐτόθι καὶ βότρυς πολλάκις δίπηχυς, κυκλόῤῥωγός τε καὶ μεγαλόῤῥαγος. εἰς θερμότητα δὲ κατὰ γλῶσσαν ἐγχωρίαν ἡ Καρμανία ἑρμηνεύεται.

4. Ὅτι πρὸς ἀνατολὰς τῶν Καρμανῶν ἡ τῶν Γεδρωσῶν ἕλκεται γῆ, γείτων ὠκεανοῦ μεγακήτεος. τούτων ἡ χώρα Γεδρωσία, ὥστε αὐτοὺς ἀναλογώτερον καλεῖσθαι Γεδρωσιανούς, κατὰ τὸν Γεωγράφον. λέγονται δὲ καὶ Γεδρωσηνοί. ἀκαρπίᾳ δὲ ἡ Γεδρωσία κατέχεσθαι λέγεται πολλάκις, καὶ διὰ τοῦτο τοῖς αὐτόθι τοὺς καρποὺς εἰς ἔτη πλείω ταμιεύεσθαι. ἀρωματοφόρος δὲ ἡ Γεδρωσία, καὶ μάλιστα νάρδου καὶ σμύρνης. καὶ ὁ στρατὸς τοῦ Ἀλεξάνδρου, ὁδεύων ἐκεῖ, τούτοις ἐχρῆτο ἀντὶ ὀρόφου τε καὶ στρωμνῆς. λέγει δὲ καὶ Ἀῤῥιανὸς ὅτι ἐν τῇ ἐρημίᾳ τῶν Γεδρωσῶν πολλὰ δένδρα εἰσὶ σμύρνης. ἔχει δὲ καὶ νάρδου ῥίζαν πολλὴν καὶ εὔοδμον.

5. Ὅτι πρὸς αὐγὰς τῆς Γεδρωσίας, ὁ Ἰνδὸς μέγιστος ποταμός, ὃν Σκύθαι νο-

Ος ῥά τ' Ερυθραίης κατεναντίον εἶσι θαλάσσης,
Λαβρότατον ῥόον ὠκὺν ἐπὶ νότον ὀρθὸν ἐλαύνων,
Αρξάμενος τὰ πρῶτ' ἀπὸ Καυκάσου ἠνεμόεντος·
Διοσὰ δέ οἱ στόματ' ἐστί· μέσην δ' ἐπιδέδρομε νῆσον,
Νῆσον τὴν καλέουσιν ἐπιχθόνιοι Παταληνήν.
Κεῖνός τοι πολέων ἀποτέμνεται ἔθνεα φωτῶν·
Ητοι μὲν δύνοντος [1] ἐπὶ κλίσιν ἠελίοιο,
Ωρείτας τ', Αριβάς τε, λινοχλαίνους τ' [2] Αραχώτας,
Σατραΐδας θ', ὅσσους τε παρὰ πτυχὶ [3] Παρπανισοῖο
Ξυνῇ ὁμῶς μάλα πάντας ἐπωνυμίην Αριηνούς,
Οὐ χθόνα ναιετάοντας ἐπήρατον, ἀλλ' ὑπὸ λεπτῇ
Ψάμμῳ πεπληθυῖαν, ἰδὲ ῥώπεσσι δασεῖαν.
Αλλ' ἔμπης ζώουσιν ἐπαρκέες εἰσὶ κέλευθοι.
Αλλον γάρ σφιν ὄλβον ἀκήρατον αἶα κομίζει·
Πάντη γὰρ λίθος ἐστὶν ἐρυθροῦ κουραλίοιο,
Πάντη δ' ἐν πέτρῃσιν ὑπὸ φλέβες ὠδίνουσι
Χρυσείης κυανῆς τε καλὴν πλάκα σαπφείροιο,

ποι παροικοῦσιν, οἱ καὶ Ινδοσκύθαι συνθέτως λεγόμενοι. Καὶ σημείωσαι ὅτι οὐ μόνον βόρειοι Σκύθαι, ἀλλ' ἰδοὺ καὶ οὗτοι Σκύθαι νότιοι. ῥέειν δέ φασι τὸν Ινδὸν, καθὰ καὶ τὸν Γάγγην, ἀρξάμενον ἀπὸ τοῦ Καυκάσου ὄρους ἀρκτικοῦ ἀνατολικοῦ, λαβρότατον ῥόον ὀξὺν ἐπὶ νότον ὀρθὸν ἐλαύνοντα, κατεναντίον τῆς Ερυθρᾶς θαλάσσης, ἤγουν τοῦ Ερυθραίου καὶ Αἰθιοπικοῦ ὠκεανοῦ, περὶ τὰ ἔσω τοῦ Περσικοῦ κόλπου· καὶ σχιζόμενον εἰς δύο στόματα διέχοντα ἀλλήλων στάδια α. καὶ ω'. ὡς καὶ Αρριανὸς ἱστορεῖ· ἃ δὴ στόματα ποιοῦσι τὴν Παταληνὴν οἷα νῆσον ἀπολαμβανομένην· ἣν καὶ ἐπαναλαμβάνει ὡς λόγου ἀξίαν, λέγων, μέσην ἐπιδέδρομε νῆσον, νῆσον ἣν καλοῦσι Παταληνήν. παραπλησία δὲ, φασὶν, ἐστὶν ἡ νῆσος αὕτη τῷ κατ' Αἴγυπτον Δέλτα. καὶ δὴ καὶ Δέλτα τινὲς κατ' ὁμοιότητα σχήματος ἐκάλεσαν καὶ αὐτήν. φησὶ γοῦν Αρριανὸς, δίστομός ἐστιν ὁ Ινδὸς, καὶ Δέλτα ποιεῖ καὶ οὗτος ἐν τῇ τῶν Ινδῶν γῇ, τῷ Αἰγυπτίῳ Δέλτα παραπλήσιον. πόλις δὲ ἐν αὐτῇ ἀξιόλογος τὰ Πάταλα, ἀφ' ὧν ἡ νῆσος Παταληνὴ ὀξυτόνως, ὡς οἱ ἀκριβεῖς λέγουσι. τινὲς δὲ καὶ βαρυτόνως Παταλήνην, ὡς Πριήνην ἀναγινώσκουσιν· τοῦ δὲ μεγέθους καὶ τῆς ὀξύτητος τοῦ Ινδοῦ ποταμοῦ δεῖγμα καὶ τοῦτό φασιν οἱ παλαιοί, ὅτι ἐκλιπὼν τὸ οἰκεῖον ῥεῖθρόν ποτε, καὶ εἰς πεδία κενὰ κοῖλα ἐκτραπόμενος, καὶ οἷον καταρράξας, ἠρήμωσε χώραν πλειόνων ἢ χιλίων πόλεων, σὺν ταῖς κώμαις.

1. Οτι περὶ δύσιν τοῦ Ινδοῦ ποταμοῦ Ωρεῖται, διὰ διχρόνου γραφόμενοι, πρὸς ἀντιδιαστολὴν τῶν ἐν τῇ Ωρειῷ τῆς Εὐβοίας Ωρειτῶν. ἐκεῖνοι γὰρ διὰ διφθόγγου γράφονται, διὰ συναίρεσιν. αὐτίκα δὲ εἰσὶ καὶ Αρῖται, ὁμοίως τῷ ι καὶ αὐτοὶ διχρόνῳ παραλαμβανόμενοι, οὓς τινες ἐν τελεῖ α,

Αρα-

Qui quidem Rubrum contra currit mare,
Impetuoſiſſimam undam celerem ad auſtrum recta propellens,
Ortus primum à Caucaſo ventoſo [*excelſo.*]
Duo autem illi ora ſunt; in mediam vero incurrit inſulam,
Inſulam quam vocant incolæ Patalenam.
Ille ſane multorum dirimit gentes hominum:
Nempe cadentis ad inclinationem ſolis,
Oritaſque, Aribaſque, & habentes lineas veſtes Arachotas,
Satraïdaſque, quoſcunque etiam ad clivum Parpaniſi
Communiter ſimul univerſos cognomento Arianos;
Haud terram incolentes amabilem, verum ſubtus tenui
Arena oppletam, atque ſpinetis hiſpidam [*hirtam.*]
Attamen victui ſufficientes [*idoneæ*] ſunt viæ.
Aliam enim ipſis opulentiam immarceſcibilem terra profert:
Paſſim namque lapis eſt rubri coralii,
Paſſim item in rupibus ſubtus venæ pariunt
Aureæ cœruleæque pulchrum lapidem ſapphiri,

Ἀράβοας γράφουσι, τάχα σκηνίτας τινὰς ὄντας, ὁποῖοι καὶ ἐν τῇ βαθυτέρᾳ Ἀραβίᾳ εἰσίν. σκεπτέον δὲ μή ποτε καὶ Ἄρβιες ὀφείλουσι γράφεσθαι οἱ Ἀράβοις οὗτοι. μέμνηται γὰρ τοιούτου ἔθνους Ἰνδικοῦ ὁ Γεωγράφος, λέγων, « Ἄρβιες ὁμώνυμοι ποταμῷ Ἀρβεῖ, ὁρίζοντι αὐτοὺς ἀπὸ τῶν Ὠρειτῶν. ὁ δ᾽ αὐτὸς καὶ τοὺς Ὠρείτας ἔθνος λέγει αὐτόνομον.

1. Ὅτι τοὺς Ἀραχώτας λινοχλαίνους λέγει, διὰ ἰδιοτροπίαν ἴσως ἱματισμοῦ, ὅπερ καὶ οἱ Μελάγχλαινοι ἔπαθον, ἐξ ἱματίων κληθέντες καὶ αὐτοί. τοὺς δὲ Ἀραχώτας τινὲς Ἀραχωτούς φασιν ὀξυτόνως, λέγοντες ὅτι μετὰ τὸν Ἰνδὸν οἱ Παροπαμισάδαι, εἶτα πρὸς νότον, Ἀραχωτοί· πρὸς ἑσπέραν δὲ τοῖς Παροπαμισάδαις παράκεινται Ἄριοι.

2. Ὅτι βούλονταί τινες Παρπάνισον προπαροξυτόνως λέγεσθαι ὄρος Ἰνδικόν· οὐ μὴν Παρνισσόν, ὡς πολλὰ τῶν ἀντιγράφων ἔχουσι· πολλοὶ δὲ καὶ ὀξυτονοῦσι, καὶ διὰ τοῦ μ γράφουσι Παρπαμισόν. ὁ δὲ Γεωγράφος Παροπαμισὸν γράφει πεντασυλλάβως, καὶ τοὺς ἐκεῖ Παροπαμισάδας καλεῖ. τοὺς δὲ ὑπὸ τὰς πτύχας τοῦ τοιούτου ὄρους ὁ Διονύσιος λέγει πάντας ξυνῇ ἐπωνυμίᾳ εἶναι Ἀριηνούς· καὶ ἡ χώρα αὐτῶν Ἀριανή, κατὰ τὸν Γεωγράφον, λέγοντα ὅτι « μετὰ τὴν Ἰνδικὴν ἡ « Ἀριανὴ μερίς»· ἔνθα καὶ οἱ Ἄρβιες, εἶτα Ὠρεῖται, οἷς ἐφεξῆς Ἰχθυοφάγοι· ἐοίκασι δὲ οὕτω λέγεσθαι ἀπὸ Ἀρείου ποταμοῦ, ὡς παρεμφαίνει Ἀρριανὸς ἐν τοῖς περὶ Ἀλεξάνδρου. Ἡρόδοτος δέ φησιν ὅτι καὶ οἱ Μῆδοί ποτε ἐκαλοῦντο Ἄριοι· ἀφικομένης δὲ τῆς Μηδείας εἰς αὐτούς, μετέβαλον τὸ ὄνομα. οἶδε δὲ καὶ τούτους τοὺς ἰδίως λεγομένους Ἀρείους, οὓς καὶ λέγει τόξοις ἐσκευάσθαι Μηδικοῖς. ὁ δὲ Διονύσιός φησι καὶ ὅτι οἱ Ἀριανοὶ φαύλην χθόνα οἰκοῦσιν, ὑπὸ λεπτῇ ψάμμῳ πληθύου-

Τῆς ἀποτεμνόμενοι βιοτήσιον ὦνον ἔχουσι.
Πρὸς δ' αὐγὰς, [1] Ἰνδῶν ἐρατεινὴ πέπταται αἶα
Πασάων πυμάτη, παρὰ χείλεσιν ὠκεανοῖο·
Ἣν ῥά τ' ἀνερχόμενος, μακάρων ἐπὶ ἔργα καὶ ἀνδρῶν,
Ἠέλιος πρώτῃσιν ἐπιφλέγει ἀκτίνεσσι.
Τῷ γαίης ναέται μὲν ὑπὸ χρόα κυανέουσι,
Θεσπέσιον λιπόωντες, ἐειδομένας δ' ὑακίνθῳ
Πιοτάτας φορέουσιν ἐπὶ κράτεσφιν ἐθείρας.
Τῶν δ' οἱ μὲν χρυσοῖο μεταλλεύουσι γενέθλην,
Ψάμμον εὐγνάμπτῃσι λαχαίνοντες μα[illegible]ιν·
Οἱ δ' ἱστοὺς ὑφόωσι λινεργέας· οἱ δ' ἐλεφάντων

σιν, καὶ ῥώπεσι δασεῖαν, τουτέστι φυτοῖς χθαμαλοῖς καὶ θαμνώδεσιν· ἅπερ ὁ μὲν Ποιητὴς ῥωπήϊα λέγει, ὁ δὲ πολὺς ὄχλος ῥωπάκια. ἀλλὰ καὶ τοιαύτης οὔσης τῆς ἐκεῖ γῆς, ὅμως εἰσὶ, φησὶν, αὐτοῖς ἄλλαι κέλευθοι ἐπαρκεῖς εἰς ζωήν. κομίζει γὰρ αὐτοῖς ἡ γῆ ἄλλον ὄλβον ἀκήρατον. πάντη γὰρ λίθος ἐστὶν ἐρυθροῦ κουραλίου, πάντη δὲ ὑπὸ πέτραις αἱ φλέβες ὠδίνουσι χρυσοῖο κυανῆς τε καλὴν πλάκα σαπφείρου. κἀντεῦθεν οἱ ἐγχώριοι ἀποτεμνόμενοι βιοτήσιον ὦνον ἔχουσιν, ἤγουν ἐξωνοῦνται δι' αὐτῶν τὰ εἰς βίον. ἔστι δὲ τὸ βιοτήσιον, ὅμοιον τῷ φιλοτήσιον καὶ νεοτήσιον. Ἰστέον δὲ ὅτι χρυσὸν ὁμοῦ καὶ κυανῆν τὴν σάπφειρον εἶπεν, ἐπειδὴ τοιαύτας πέμπει χροιάς. τὸ δὲ κουράλιον τοῦ τῆς Γοργόνος αἵματος ἀποστάξαι μυθεύεται, ἀφ' ἧς, οἷα κόρης οὔσης, ἡ κλῆσις τῷ λίθῳ συνεκώθισεν.

1. Οτι ἡ τῶν Ἰνδῶν γῆ, ἔθνους μεγίστου πάντων καὶ εὐδαιμονεστάτου, πασῶν ἐσχάτη παρὰ τοῖς τοῦ ὠκεανοῦ κεῖται χείλεσιν, ἣν ὁ ἥλιος πρώταις ἐπιφλέγει ἀκτῖσιν, ἐπὶ τὴν γῆν ἀνερχόμενος, τουτέστιν ἀνίσχων, ἀνατέλλων. διὸ καὶ θερμότατος παρ' αὐτοῖς ὁ ἥλιος τὸ ἑωθινὸν, ὥς φασιν οἱ παλαιοί· καὶ πολλῷ μᾶλλον ἢ ἐν μεσημβρίᾳ, κατὰ τὴν Ἑλλάδα· καὶ διὰ τοῦτο καὶ χρῶμα φέρουσι παραπλήσιον Αἰθίοψι. καὶ τοῦτο μὲν οὕτως. ὁ δὲ Διονύσιος, πολὺν ἔπαινον κατατείνων τῆς Ἰνδικῆς, φησὶ, διὸ τόν τε χρόα οἱ ἐκεῖ κυανέουσι, θεσπέσιον λιπόωντες, τρίχας τε πιοτάτας φοροῦσιν, ὑακίνθῳ ὁμοίας· ὅπερ ὁ Ποιητὴς που φησὶν, ὑακινθίνῳ ἄνθει ὁμοίας, ἤτοι μελαίνας. μέλαν γὰρ καὶ τὸ ἄνθος. μελανότριχες δὲ καὶ τῶν Ἰνδῶν μάλιστα οἱ μεσημβρινοί, καὶ τὴν χροιὰν ὅμοιοι τοῖς Αἰθίοψι, διὰ τὸ ἐπιλείπειν τὴν ἐπιπολῆς ἰκμάδα, ἐπικαιόντος τοῦ ἡλίου· ὅθεν οὐδὲ οὐλοτριχοῦσιν. εἰσὶ δὲ καὶ μακρόβιοι· καὶ οἱ μὲν, φησὶ, χρυσοῦ μεταλλεύουσι γενέθλην, τὴν χρυσῖτιν ψάμμον μακέλλαις λαχαίνοντες, ὅ ἐστιν ἀνοίγοντες, σκάπτοντες· ἐξ οὗ καὶ τὸ λάχανον. οἱ δὲ ἱστοὺς ὑφαίνουσι λινεργέας· οἱ δὲ ἐλεφάντων λευκοὺς πελωθέντας ἀποξύουσιν ὀδόντας, οὓς ἕτεροι ἐλεφάντων κέρατά φασιν. ἄλλοι δὲ, φησὶ, τῶν Ἰνδῶν ἐπὶ ταῖς τῶν χειμάρρων προβολαῖς, ἢ προμολαῖς, ἤγουν ἐκρύσεσιν, ἢ βηρύλλου γλαυκὴν λίθον ἰχνεύουσιν, ἢ ἀδάμαντα μαρμαίροντα, ἢ χλωρὰ διαυγάζουσαν ἴασπιν, ἢ γλαυκὴν λίθον καθαροῦ τοπαζίου, καὶ γλυκερὰν ἀμέθυστον ὑπηρέμα πορφύρουσαν. Καὶ ὅρα ὅπως ἕκαστον λίθον μετ' ἐπιθέτου προσφυεστά-

E qua deſecantes victualè pretium habent.
Ortum autem verſus, Indorum amœna expanditur terra
Omnium extrema, ad littora oceani :
Quam exoriens, divorum ad opera & hominum, 11
Sol primis accendit [*illuſtrat*] radiis.
Quare terræ habitatores quidem corpore ſubfuſci ſunt,
Mire pingues, ſimileſque hyacintho
Pinguiſſimas geſtant in capitibus comas.
Horum autem quidam auri ſcrutantur originem, [*metalla,*]
Ar[illegible]m fodientes curvatis apte ligonibus :
Alii telas texunt lino elaboratas : alii elephantum

τοῦ ἰξώνυχι, γλυκείας γράφων, καὶ φράζων καλῶς τὰ καλά. λίθος δὲ τὸ τόπαζον διαφανής, ὃς καὶ τοπάζιον πετρασυλλάβως λέγεται, χρυσοειδὲς ἀπολάμπον φέγγος, ὃ μεθ' ἡμέραν οὐ ῥᾷον ἰδεῖν· ὑπεραυγεῖται γάρ, φασί. νύκτωρ δὲ ὁρῶσιν οἱ συλλέγοντες, καὶ περικαθάψαντες σημεῖα τῷ ὀρύγματι, μεθ' ἡμέραν ἀνορύττουσιν. οὕτω τιμίοις λίθοις κατασπάσας τὴν Ἰνδικὴν ὁ Διονύσιος, ἐπάγει ἐπιφωνηματικῶς, κατὰ συντομίαν, ὅτι παντοῖον ὄλβον αὔξει, ποταμοῖς ὕδασι καλλίρρυτος ἔνθα καὶ ἔνθα. ναὶ μήν, φησί, καὶ οἱ λειμῶνες οἱ ἐκεῖ ἀεὶ κομῶσι πετάλοις. ἄλλοθι μὲν γὰρ κέγχρος αὔξεται, ἄλλοθι δὲ ὕλαι θάλλουσιν Ἐρυθραίου καλάμου, τοῦ ἀρωματικοῦ δηλαδή· Ἐρυθραίου λεγομένου διὰ τὸ τὴν Ἰνδίαν ἕως καὶ εἰς τὸν Ἐρυθραῖον παρήκειν ὠκεανόν. ὅπερ δῆλόν ἐστι καὶ ἐκ τοῦ τὴν Γαγγῖτιν χώραν, κατὰ τὸν Διονύσιον, περὶ τὰ τέρματα ἕλκεσθαι τῆς Κωλιάδος γῆς, ἤτοι τῆς Ταπροβάνης, ὅπου τὰ μέγιστα κήτη, ἅπερ αὐτὸς Ἐρυθραίου πόντου εἶπε βοτά. καὶ οὕτω μὲν ὁ Διονύσιος. ἕτεροι δὲ καὶ πολυφάρμακον τὴν Ἰνδικὴν ἱστοροῦσι, καὶ πολύρριζον, καὶ πολυχρώματον, καὶ δίκαρπον, καὶ δίφορον, καὶ τοὺς ἐκεῖσε ἄνδρας εὐμεγέθεις, καὶ πενταπήχεις τοὺς πολλούς, ἢ ὀλίγον ἀποδέοντας· ὧν καὶ ὁ βασιλεὺς Πῶρος ὑπὲρ πεντάπηχυν ἱστόρηται. καὶ φιλῳδοὶ δὲ οἱ Ἰνδοὶ λέγονται, καὶ φιλορχήμονες ἀπὸ Διονύσου· ἐλεύθεροι δὲ πάντες Ἰνδοί, καὶ οὔ τις δοῦλος Ἰνδός. εἰσὶ δὲ καὶ μελάντεροι τῶν ἄλλων ἀνθρώπων, πλὴν Αἰθιόπων, καὶ τὰ ἐς πόλεμον γενναιότατοι. φασὶ δὲ καὶ σινδόνα παρ' Ἰνδοῖς γίνεσθαι ἐκ λίνων φλοιῶν ξαινομένης βύσσου· ἐπανθεῖν δὲ καὶ δένδροις ἀγρίοις ὡς ἔριον καλλονῇ καὶ ἀρετῇ διαφέρον τοῦ ἐκ τῶν προβάτων. ἐξ οὗ, φασί, καὶ εὐήτριοι σινδόνες ὑφαίνονται, τουτέστιν εὔμιτοι, ὡς καὶ ἐν Ἰλιάδι γέγραπται· ὅπου ἐπήτριμοι ἐλέγοντο οἱ συχνοί. λέγεται δὲ καὶ ὅτι ἰχθυοφαγοῦσι πολλοὶ τῶν Ἰνδῶν, ὠμοὺς ἰχθύας σιτούμενοι. καὶ ὅτι τὰ ἔσω τῆς Ἰνδίας ἐρημία ἐστὶ διὰ τὴν ψάμμον· καὶ ὅτι οἱ ἰχθυοφάγοι πλοῖα ποιοῦνται καλάμινα· καὶ ὅτι ἐν γόνυ καλάμου πλοῖον ἀπαρτίζοι, ὥς φησιν Ἡρόδοτος. περὶ δὲ τοῦ ἀνωτέρω ῥηθέντος καλάμου φασὶ τοιαῦτα οἱ παλαιοί· ῥίζαι καλάμων μεγάλων καὶ τῇ φύσει καὶ τῇ ἑψήσει γλυκεῖαι. καὶ πάλιν, κάλαμοι ποιοῦσι μέλι, μελισσῶν μὴ οὐσῶν. τοὺς δὲ φαγόντας ὠμοὺς τούτους, μεθύειν. καὶ ἄλλως δὲ κάλαμοι ἁπλῶς ἕτεροι παράσημοι ἐν Ἰνδίᾳ, ὡς ἐρρέθη, καθὰ καὶ παρὰ τοῖς ἑσπερίοις Αἰθιο-

Ἀργυφέους πειρηθέντας ἀποξύουσιν ὀδόντας·
Ἄλλοι δ' ἰχνεύουσιν ἐπὶ προβλῆσιν [1] ἀναύρων
Ἢ που βηρύλλου γλαυκὴν λίθον, ἢ ἀδάμαντος
Μαρμαίροντ', ἢ χλωρὰ διαυγάζουσαν ἴασπιν,
Ἢ καὶ γλαυκιόωντα λίθον καθαροῖο τοπάζου,
Καὶ γλυκερὴν ἀμέθυστον ὑπηρέμα πορφυρέουσαν.
Παντοῖον γὰρ γαῖα μετ' ἀνδράσιν ὄλβον ἀέξει,
Ἀενάοις ποταμοῖσι κατάῤῥυτος ἔνθα καὶ ἔνθα.
Ναὶ μὴν καὶ λειμῶνες ἀεὶ κομόωσι πετήλοις.
Ἄλλοθι μὲν γὰρ κέγχρος ἀέξεται, ἄλλοθι δ' αὖτε
Ὗλαι τηλεθόωσιν Ἐρυθραίου καλάμοιο.
Φράζεο δ' ὥς τι σχῆμα καὶ ὡς ποταμοὺς ἐνέποιμι,
Οὔρεά τ' ἠνεμόεντα, καὶ αὐτῆς ἔθνεα γαίης.
Ἤτοι μὲν πισύρεσσιν ἐπὶ πλευρῇσιν ἄρηρε,
Πάσῃσι λοξῇσιν, ἀλιγκίη εἴδεϊ ῥόμβου.
Ἀλλά τοι ἑσπερίοις μὲν ὁμούριος ὕδασιν Ἰνδὸς
Γαῖαν ἀποτμήγει· νότιον δ' ἁλὸς οἶδμ' Ἐρυθρῆς·
Γάγγης [2] δ' εἰς αὐγάς· ὁ δὲ Καύκασος ἐς πόλον ἄρκτων.
Καὶ τὴν μὲν πολλοί τε καὶ ὄλβιοι ἄνδρες ἔχουσιν,
Οὐχ ἅμα ναιετάοντες ὁμώνυμοι, ἀλλὰ διαμφὶς
Κεκριμένοι· ποταμοῦ μὲν ἀπειρεσίου πέλας Ἰνδοῦ

Αἰθίοψιν. ὧν καλάμων ἕκαστον γόνυ χωρεῖν λέγεται χοίνικας τρεῖς. λέγεται δὲ νόμος ἄριστον εἶναι παρ' Ἰνδοῖς, τὸν εὑρόντα τι ὀλέθριον, ἀνάγκην ἔχειν ἐξευρίσκειν καὶ ἄκος τοῦ κακοῦ.


1. Ὅτι τοὺς χειμάῤῥους καὶ οὗτος ἀναύρους λέγει, διὰ τὸ μὴ ὁμοίως τοῖς ἀεννάοις αὔρας ἀποτελεῖν.

2. Ὅτι τὸ σχῆμα τῆς Ἰνδικῆς, ὡς καὶ ὁ Γεωγράφος φησὶ, τέσσαρσιν ἥρμοσται πλευραῖς, λοξαῖς πάσαις, ῥόμβον ἀποτελούσαις. ὧν ἑσπερία μὲν, ἡ πρὸς τῷ Ἰνδῷ ποταμῷ· νοτία δὲ, ἡ πρὸς τὴν Ἐρυθρὰν νεύουσα· ὁ δὲ Γάγγης, ἑῷα· εἰς δὲ πόλον ἄρκτων ὁ Καύκασος, ἤγουν, κατὰ τὸν Γεωγράφον, τὰ τοῦ Ταύρου ἔσχατα. Καὶ σημείωσαι, ὅτι, κατὰ τὸν Διονύσιον, καὶ Ἰνδικός ἐστι Καύκασος, ὡς ἀνώτερον εἴρηται. τὸ δὲ, πόλον ἄρκτων, ἀντὶ τοῦ ἀρκτῷον δηλοῖ τόπον τοῦ οὐρανοῦ, ὡς ἤδη προγέγραπται. ὅτι δὲ ὁ Γάγγης καὶ ὁ Ἰνδὸς μέγιστοι ποταμῶν, καὶ αὐτὸ προείρηται. Σημείωσαι δὲ ὅτι ἐνταῦθα μὲν γεωμετρικὸν τετράγωνον σχῆμα ὁ ῥόμβος, τὰς διαμέτρους οὐ κατὰ χιασμὸν ἀγομένας ἔχων, ἀλλὰ κατὰ ὀρθὸν πως ἀλλήλας διχάζουσας. μάλιστα δὲ, ὡς ὁ Γεωγράφος φησὶ, ῥόμβος ἐστὶ τετράγωνον ἰσόπλευρον, οὐκ ὀρθογώνιον, ἀλλὰ τὰς μὲν δύο ἔχον

Candidos ſectos radunt dentes:
Alii veſtigant apud effluvia torrentium
Aut berylli glaucam gemmam, aut adamantem
Relucentem, aut viridi colore pellucentem jaſpim,
Aut etiam glauco ſplendentem colore lapidem nitidi topazi,
Atque dulcem amethyſtum leviter [*ſenſim*] purpuraſcentem.
Omnigenas enim terra apud illos homines divitias producit,
Perennibus fluviis irrigua hinc inde.
Jam vero & prata aſſidue comata ſunt foliis.
Alibi enim milium creſcit, alibi autem
Sylvæ vireſcunt calami Erythræi.
Attende [*adverte*] autem ut tibi figuram utque fluvios refe-
Monteſque excelſos, & ipſius gentes terræ. [ram,
Nempe quatuor in lateribus ſtabilita eſt [*fixa eſt*,]
Omnibus obliquis, ſimilis figuræ rhombi.
Sed enim occidentalibus quidem conterminus aquis Indus
Terram abſcindit: ad auſtrum vero maris fluctus rubri:
Ganges autem ad orientem: verum Caucaſus ad polum urſa-
Atq; hanc quidem multiq; & beati homines tenent, [rum.
Non una habitantes cognomines, ſed diverſe
Separati: fluvium quidem immenſum prope Indum

ἔχον ὀξείας, τὰς δὲ λοιπὰς ἀμβλείας τὰς ἀπεναντίας ἀλλήλαις, ὡς ἐν τῇ ταύτῃ

Ἑῴα πλευρά, Γάγγης.



Ἰνδός, ἑσπερία.

καταγραφῇ. τοιούτου δέ, φασί, σχήματος ἦν καὶ τὸ γέρρον, ἅπερ ἐστὶ δηλονότι τετράγωνος, οὐκ ὀρθογώνιος. καὶ ξύλινον δὲ ζαγρεῖον ὄρνιθος, ἤγουν κλωβίον, παρασυνελθεῖν τῆς κατὰ φύσιν παραλλήλου θέσεως τῶν πλευρῶν, ῥόμβου σχῆμα ἀποτελεῖ. καὶ τοιοῦτος μὲν ὁ ῥόμβος τὸ σχῆμα. εὕρηται δὲ καὶ ἰχθὺς λεγόμενος ῥόμβος, ὡς καὶ Ἀθήναιος ἱστορεῖ, καὶ ἡ τῶν Θετταλῶν γλῶσσα παραλαλεῖ. ἔστι δὲ ῥόμβος καί τις τροχός, ὃν στρέφοντες ἐν ἱμάντι καὶ τύπτοντες ἐκτύπουν, ῥόμβος κατὰ ὀνοματοποιίαν καλούμενος. Ἀπολλώνιος οὖν ἐν Ἀργοναυτικοῖς λέγει, ῥόμβῳ καὶ τυμπάνῳ ὑπὸ Φρυγῶν τὴν Ῥέαν ἱλάσκεσθαι. ἔστι δὲ καὶ φαρμακίδων τροχὸς ὁ ῥόμβος παρὰ Θεοκρίτῳ, καταγοητευόμενος ἐν τῷ στρέφεσθαι. τινὲς δὲ ῥύμβον γράφουσι

διὰ

Δαρδανέες, [1] τῆχι λοξὸν ἀπὸ σκοπέλων Ἀκεσίνην
Συρόμενον δέχεται πλωτὸς νήεσσιν [2] Ὑδάσπης.
Τοῖς δ᾽ ἔπι καὶ [3] Κώφης τρίτος ἔσσεται ἀργυροδίνης.
Τῶν δὲ μέσοι ναίουσι Σάβαι καὶ [4] Τόξιλοι ἄνδρες,
Σκόδροι δ᾽ ἑξείης· ἐπὶ δ᾽ ἔσσεται ἄγρια φῦλα
Πευκανέων· [5] μετὰ τούσδε Διωνύσοιο θεράποντες

διὰ τοῦ υ, ὡς Εὐριπίδης ἐν Πειρίθῳ αἰθέριον ῥύμβον φησίν, ὅ ἐστι στροφὴν καὶ τροχοειδῆ κίνησιν. ἀπὸ τούτου δὲ καὶ τὰς κινήσεις ὁ Ἀπολλώνιος ῥυμβόνας καλεῖ. καὶ τάχα καὶ ἡ παρὰ τῷ Αἰλιανῷ κειμένη ἄπορος λέξις, τὸ ἐρρυμβόνα, ἐκ τοιούτου τινὸς ἔχει τὴν ἀρχήν· ἐν οἷς λέγει, ὅτι ἐσπάσθαι τὰ χρήσιμα, καὶ εἰς ἀσωτίαν ἐρρυμβόνα τὰ τιμιώτατα.

1. Ὅτι οἱ Δαρδανεῖς, Ἰνδικὸν ἔθνος· οἱ μέντοι Δάρδανοι, Τρωϊκόν.

2. Ὅτι ὁ Ὑδάσπης (ποταμὸς δὲ καὶ οὗτος Ἰνδικὸς) πλωτός ἐστι ναυσίν, εἰς ὃν Ἀκεσίνης ἐμβάλλει, λοξὸς ἀπὸ σκοπέλων φερόμενος· περὶ οὗ ὁ Γεωγράφος φησίν, ὅτι Ἀκεσίνης ἐν τροπαῖς θεριναῖς ἀναβαίνει πήχεις μ΄. ὧν οἱ μὲν κ΄. πληροῦσι μέχρι χείλους τὸ ῥεῖθρον, οἱ δὲ κ΄. ὑπερχέονται εἰς τὸ πεδίον, διὸ καὶ νησίζουσιν οἷον αἱ πόλεις, ὡς καὶ ἐν Αἰγύπτῳ· ἱδρύονται γὰρ ἐπὶ χωμάτων. Ἀρριανὸς δὲ οὕτω φησίν, ὁ Ὑδάσπης εἰς τὸν Ἀκεσίνην ἐμβαλὼν τὸ πᾶν ὕδωρ, Ἀκεσίνην παρέχεται καλούμενον. λέγει δὲ καὶ ὅτι αἱ τριακόντοροι τοῦ Ἀλεξάνδρου τριχῆ τμηθεῖσαι, καὶ ἐπὶ ζευγῶν διακομισθεῖσαι, συνεπήχθησαν ἐν τῷ Ὑδάσπῃ, καὶ ὤφθησαν ναυτικαί.

3. Ὅτι καὶ ὁ Κώφης Ἰνδικός ἐστι ποταμός, ὃν ὁ Ἡρωδιανὸς μὲν καὶ αὐτός, ἐν τῇ Καθόλου προσῳδίᾳ, βαρυτόνως ἐκφέρει, καὶ μετὰ τοῦ σ, ὡς τὸ Χρύσης. Ἀριστοτέλης δέ, ὥς φασιν, ἐν πέμπτῳ περὶ Ἀλεξάνδρου, τὸν Κωφῆνα, ὡς τὸν Σωλῆνα, φησίν. ὁ Γεωγράφος δὲ ὁμοίως τῷ Διονυσίῳ ἐκφέρει, λέγων, "Χοάσπης εἰς τὸν Κώφην ἐμβάλλει". καὶ πάλιν, "μετὰ τὸν Κώφην ὁ Ἰνδός, εἶτα ὁ Ὑδάσπης, εἶτα ὁ Ἀκεσίνης, καὶ ὕστατος ὁ Ὕπανις". τὸν δὲ Ὑδάσπην πλωτὸν νήεσσιν ὁ Διονύσιος λέγει. οἱ δὲ παλαιοὶ [illegible] τοῦ τε Ὑπάνιος καὶ τοῦ Ὑδάσπου ἔθνη μὲν [illegible] λέγουσιν ἐννέα, πόλεις δὲ χιλιάδας εἰς πέντε.

4. Ὅτι καὶ πολλὰ τῶν ἀντιγράφων Τοξίλους γράφουσι τὸ Ἰνδικὸν ἔθνος, ἀλλ᾽ ὁ Γεωγράφος Ταξίλους γράφει διὰ τοῦ α, καὶ Τάξιλα τὴν κατ᾽ αὐτοὺς πόλιν, μεγάλην αὐτὴν λέγων, καὶ εὐδαίμονα καὶ εὐνομωτάτην· καί τινα ἄνδρα Τάξιλον ἱστορῶν αὐτῆς βασιλέα, καὶ λέγων ὅτι φιλανθρώπως αὐτὸς καὶ οἱ ἐκεῖ δεξάμενοι τὸν Ἀλέξανδρον, ἔτυχον πλειόνων ἢ ἔδωκαν. διὸ καὶ φθονοῦντές οἱ Μακεδόνες ἔλεγον, ὡς οὐκ εἶχεν Ἀλέξανδρος οὓς εὐεργετήσει, πρὶν διαβῆναι τὸν Ἰνδόν.

5. Ὅτι ἔθνος Ἰνδικὸν οἱ Πευκαλεῖς, ἄγρια φῦλα. τινὲς δὲ διὰ τοῦ ν γράφουσι Πευκανεῖς. Ἰνδοὶ δὲ καὶ οἱ Γαργαρίδαι, οὓς Διονύσου καλεῖ θεράποντας· ὅπου, φησί, χρυσὸν καταφέρουσιν ὁ Ὕπανίς τε ποταμὸς ὁ καὶ ἀνωτέρω ῥηθείς, καὶ ὁ Μέγαρσος, λαβρότατοι ποταμῶν, ἀπὸ Ἠμωδοῦ ὄρους προρρέοντες ἐπὶ τὴν Γαγγίτιδα χώραν, πρὸς νότον εἰς τὴν προγραφεῖσαν Κωλιάδα νῆσον τετρασυλλάβως, ἢ Κωλίδα τρισυλλάβως, κατὰ συγκοπήν. ἣν καὶ προσενδεδυκέναι εἰς τὸν ὠκεανόν φησιν, ὡς ὑπ᾽ αὐτοῦ νησιζομένην. καὶ δυσέμβατον οἰωνοῖς εἶναι λέγει, διὸ καὶ καλεῖσθαι Ἄορνιν. τοῦτο δέ, ἢ διὰ τὸ ὕψος· ἠλίβατος γάρ ἐστιν· ἢ διότι αὐτὴ πρώτη ἐστὶ τῷ ἡλίῳ βατή. διὸ καὶ οὐ φέρουσι τὰ πτηνὰ τὴν τοῦ ἡλίου θέρμην ἐκεῖ πρώτην

ἀνατέλ-

Dardanenſes, ubi flexuoſum [*ſinuoſum*] è rupibus Aceſinem
Delabentem excipit remigabilis navibus Hydaſpes.
Hos vero juxta & Cophes tertius ſequitur, cujus argentei ſunt
Horum autē medii habitant Sabæ atq; Toxili viri, [vortices.
Scodri verò deinceps: conſequuntur autem agreſtes gentes
Peucaneorum: verum poſt illos Bacchi cultores

ἀνατέλλοντος. Ἰστέον δὲ ὅτι Ἄορνις ὁ τόπος οὗτος λέγεται διὰ τοῦ ι. ἦν δὲ δυνατὸν καὶ διὰ τοῦ ο λέγεσθαι αὐτήν; εἴγε ὁ Λυκόφρων Ἀορ[illegible]α λέγει λίμνην. καὶ περὶ τὴν [illegible]ιαστηνὴν δὲ χώραν, τὴν ῥηθεῖσαν περὶ τούτων στόμιον, ἱστορεῖταί τι ὀνομαζόμενον Ἄορνον, ὡς ὀρνέοις ἄβατον, ἐξ οὗ πνεῦμα φθοροποιὸν ἀναδιδόμενον, μικρόν τι κουφισθὲν, κατακλᾶται κάτω· ὑφ' οὗ φθείρεται εἴτι παρατυχὸν ὀσφρήσεται· κἂν ἐσκεδάννυτο, φασὶ, τὸ τοιοῦτον πνεῦμα ἔξω, οὐκ ἂν ᾠκίσθη ὁ τόπος. ὅμοιον δέ τι καὶ ἐν Ἱεραπόλει τῆς Ἀσίας πνεῦμα ἱστορεῖται, ὃ πάντα τὰ ὀσφραινόμενα φθείρει, πλὴν τῶν εὐνούχων. λέγεται δὲ καὶ πέτρα τις Ἄορνος περὶ τὴν Ἰνδίαν, ἥπερ ὁ Ἡρακλῆς μὲν προσβαλὼν εἰς τρὶς ἀπεκρούσθη, Ἀλέξανδρος δὲ κατὰ μίαν εἷλε προσβολήν. ταύτης δὲ τῆς Ἀόρνου τὰς ῥίζας ὁ Ἰνδὸς ποταμὸς ὑπορρέειν λέγεται. τοὺς δὲ ῥηθέντας δύο χρυσοφόρους ποταμοὺς, τὸν Ὕπανιν καὶ τὸν Μάγαρσον, φασὶν, ἐξιόντας τῶν Ἡμωδῶν ὀρέων, ἅπερ ἀνωτέρω Ἡμωδὸν ἔφη ὄρος ὁ Διονύσιος, ἀφανίζεσθαι, καὶ χρυσείας ἐφ' ἱκανὸν ἀναβλύζειν ἐκδιδομένους. πολὺς δὲ ἐν ταῖς ἱστορίαις ὁ Ἰνδικὸς Ὕπανις. ἀρίστη γὰρ, φασὶν, ἡ πέραν αὐτοῦ, καὶ οἱ χρυσωρύχοι μύρμηκες αὐτοῦ που λέγονται εἶναι. καὶ ἄλλα δὲ πολλὰ τοῦ τόπου τερατεύονται. φασὶ δὲ καὶ τὸν Ἀλέξανδρον, μέχρις αὐτοῦ ἐλθόντα, περαιτέρω κωλυθῆναι προελθεῖν, μαντείοις τε προσέχοντα, καὶ διὰ τὸ ἀπαγορεῦσαι τὴν στρατιάν. οἱ δὲ περαιτέρω τοῦ Ὑπάνιδος ἐκεῖνον φασι προελθεῖν μέχρι καὶ εἰς Γάγγην, ὅντινα Γάγγην μέγιστον τῶν κατὰ τὴν οἰκουμένην ποταμῶν ἱστοροῦσιν, ἐκ τῶν Ἡμωδῶν ὀρέων καταφερόμενον. μεθ' ὃν δεύτερον εἶναι λέγουσι τὸν Ἰνδὸν, καὶ τρίτον καὶ τέταρτον Ἴστρον καὶ Νεῖλον. φασὶ δὲ καὶ ιε'. ποταμοὺς τοὺς ἀξιολογωτάτους εἰσβάλλειν εἰς τὸν Ἰνδὸν, ὧν ὕστερον εἶναι τὸν Ὕπανιν· οὓς πάντας ὁ Ἰνδὸς παραλαβὼν, ὥς φησιν Ἀρριανὸς, καὶ τῇ ἐπωνυμίᾳ κρατήσας, ἐκδίδωσι ἐς θάλασσαν. τὸ δ' αὐτὸ πάσχειν λέγουσι καὶ τὸν Τίγριν ὑπὸ ἄλλων πολλῶν ποταμῶν. διὸ καὶ ἐν τῇ ἐκβολῇ Πασιτίγριν καλεῖσθαι, οἷα μὴ ἁπλοῦν, ἀλλ' ὡς εἰπεῖν παντοῖον Τίγριν. Ἰστέον δὲ ὅτι κατὰ τὸν Ἡρόδοτον καὶ Σκυθικὸς ποταμός τις ἐστὶ, λεγόμενος Ὕπανις, ἀνατέλλων ἐκ λίμνης μεγάλης, ἥτις λέγεται μήτηρ Ὑπάνιος, καθὰ δηλαδὴ καὶ Μαιῶτις μήτηρ τοῦ Εὐξείνου. λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι πέριξ τοῦ Σκυθικοῦ τούτου ποταμοῦ νέμονται ἵπποι ἄγριοι λευκοί. καὶ ὅτι κρήνη ἐκδίδωσιν εἰς αὐτὴν οὕτω πικρὰ, ὥστε κιρνᾷ τὸν Ὕπανιν, καίτοι οὐκ ὀλίγον ὄντα ποταμόν. τὸν δὲ Ἰνδὸν ποταμὸν εὐρύνεσθαί που φασὶ καὶ ὑπὲρ πεντήκοντα σταδίους, ὅτε πληρωθείη, τὸ δὲ ἐλάχιστον εἰς ἑπτά. τοῦτον λέγεται ζεῦξαι πλοίοις Ἀλέξανδρος, Ἡφαιστίωνος γεφυρώσαντος. Ἀρριανὸς δέ φησιν ὅτι ἵνα μὲν στενότατος ὁ Ἰνδὸς, μ'. σταδίους διέχουσιν αὐτοῦ αἱ ὄχθαι· ἵνα δὲ πλατύτατος, καὶ ἑκατόν. τὸ δὲ Ἡμωδὸν ὄρος, ὃ καὶ πληθυντικῶς λέγεται τὰ Ἡμωδὰ, καὶ πρὸς αὐτοῦ ἐστι τοῦ ὠκεανοῦ, τινὲς τῶν παλαιῶν προπαροξύνουσιν, ὡς προείρηται. πολλὴ δὲ ἐλάτη καὶ πεύκη καὶ κέδρος παρὰ τὰ Ἡμωδὰ, καὶ στελέχη ναυπηγήσιμα.

Γαργαρίδαι ναίουσιν, ὅθι χρυσοῖο γενέθλην
Δαιδαλέην Ὕπανίς τε φέρει, θεῖός τε Μέγαρσος,
Λαβρότατοι ποταμῶν· ἀπὸ δ' οὔρεος Ἠμωδοῖο
Ὀρνύμενοι προρέουσιν ἐπὶ Γαγγῆτιδα χώρην,
Πρὸς νότον ἑλκόμενοι παρὰ τέρματα Κωλίδος αἴης.
Ἡ δ' ἤτοι προὐνένευκεν ἐπ' ὠκεανὸν βαθυδίνην,
Ἠλίβατος, ταχινοῖσι δυσέμβατος οἰωνοῖσι·
Τοὔνεκά μιν καὶ φῶτες ἐπικλείουσιν Ἄορνιν.
Ἔστι δέ τις θηητὸς ἐϋῤῥείτην παρὰ Γάγγην
Χῶρος [1] τιμήεις τε καὶ ἱερὸς, ὅν ποτε Βάκχος
Θυμαίνων ἐπάτησεν, ὅτ' ἠλλάσσοντο μὲν ἁβραὶ
Λιωάων νεβρίδες ἐς ἀσπίδας, ἐς δὲ σίδηρον
Θύρσοι μαιμώωντο, καὶ εἰς σπείρημα δρακόντων
Ζωστῆρές θ' ἕλικές τε πολυγνάμπτης ἑλίνοιο,

1. Ὅτι ὁ Θηβαῖος Διόνυσος, τοὺς κελαινοὺς Ἰνδοὺς ὀλέσας ἀντιστάντας αὐτῷ, δύο στήλας ἔστησε περὶ τὰ τῆς γῆς τέρματα· καὶ αὖθις καγχαλόων, ὅ ἐστι χαίρων, εἰς Θήβας ἐπανῆλθε. Καὶ ὅρα ὅτι ὥσπερ κυανέους ἀλλαχοῦ εἶπε τοὺς Αἰθίοπας, οὕτως ἐνταῦθα κελαινοὺς εἶπε τοὺς Ἰνδούς. δύνανται δὲ πάντως καὶ οὗτοι κυάνεοι λέγεσθαι, εἴπερ, ὡς ὁ Διονύσιος φθάσας ἔφη, χρόα κυανέουσιν. εἶτα διηγεῖται καὶ ὅπως θυμαίνοντος αὐτοῦ, ἤγουν θυμουμένου, αἱ μὲν νεβρίδες ταῖς Βάκχαις εἰς ἀσπίδας ἠλλάσσοντο, ἐς δὲ σίδηρον οἱ περιῤῥηθέντες θύρσοι· οἱ ζωστῆρες δὲ, καὶ οἱ τῆς ἑλίνου, (ἤτοι τῆς ἀμπέλου) ἕλικες, εἰς δρακόντων σπειρήματα, ὅ ἐστι σπείρας, ὁλκούς. ὅθεν καὶ σπειροῦν λέγεται τὸ σπαργανοῦν, καὶ σπεῖρον ὀνομάζεται τὸ εἰς τοῦτο χρησιμεῦον ὕφασμα. τὸν δὲ χῶρον, ὃν ὁ Διονύσιος θυμαίνων ἐπάτησε, θηητὸν καὶ τιμήεντα καλεῖ, καὶ ἱερόν· λέγων ὅτι ὁ τοιοῦτος τόπος Νυσαία ὁδὸς ἐκλήθη, ἥτις περὶ τὸν Γάγγην ἐστὶν, ἀπὸ τῆς Ἀῤῥαβικῆς Νύσης κληθεῖσα, ἀφ' ἧς καὶ αὐτὸς ὁ Διόνυσος κληθῆναι δοκεῖ. Νύσα δὲ, κατὰ τὸν Γεωγράφον, πόλις ἐν Ἰνδίᾳ, κτίσμα Διονύσου, καὶ ὄρος αὐτόθι Μηρός· ὅθεν παρὰ τοῖς μύθοις μηρορραφὴς ἐνομίσθη Διόνυσος. Ἡρόδοτος δὲ περί που τὴν Αἴγυπτον τὸν μῦθον τοῦτον τελεσφορεῖ, λέγων ὅτι "ὁ Ζεὺς τὸν Διόνυσον εἰς τὸν μηρὸν ἐνεῤῥάψατο, καὶ ἤνεγκεν εἰς Νύσαν τὴν ὑπὲρ Αἰγύπτου οὖσαν." ἄμπελος δὲ (ὥς φησιν ὁ Γεωγράφος) αὐτόθι οὐ τελεσίκαρπος. ἀποῤῥεῖ γὰρ ὁ βότρυς πρὶν ἢ περκάσῃ, διὰ τοὺς ἄρδην ὄμβρους. εἰσὶ δὲ καὶ ἄλλαι Νῦσαι, ὧν μία καὶ περὶ Θρᾴκην, ἧς μνημονεύει Ὅμηρος ἐν τοῖς περὶ Λυκούργου τοῦ Ἠδωνοῦ. καὶ περὶ τὰς Τράλλεις δὲ Νῦσα τίς ἐστι, καὶ κώμη αὐτόθι Νυσαίων, καὶ ἄντρον Χαρώνειον, οὗ πλησίον οἱ ἱερεῖς ἐγκοιμώμενοι διαπράττουσιν ἐξ ὀνείρων τοῖς νοσοῦσι τὰς θεραπείας. τοῖς δ' ἄλλοις ἄδυτος ὁ τόπος ἐστὶ, καὶ ὀλέθριος. Ἀῤῥιανὸς δὲ λέγει καὶ ὅτι κισσὸς, ἄλλῃ τῆς Ἰνδικῆς γῆς μὴ φυόμενος, παρὰ Νυσαίοις φύεται· καὶ ὅτι εἰς τὸ Νυσαῖον ὄρος τὸν Μηρὸν ἐλθόντες οἱ Μακεδόνες, ἡδέως τὸν κισσὸν εἶδον, καὶ στεφάνους σπουδῇ ἀπ' αὐτοῦ ἐποιοῦντο, καὶ

ὅτι

Gargaridæ habitant; ubi auri originem [*materiam*]
Pulchram Hypaniſque vehit, vaſtuſque Megarſus,
Rapidiſſimi fluviorum : è monte autem Emodo
Profecti promanant in Gangeticam regionem,
Ad auſtrum tracti ad fines Colidis terræ.
Hæc autem prominet in oceanum profundos habentem vor-
Ardua, veloces quam vix ingrediuntur aves : [tices,
Quare ipſam & homines cognominant Aornim.
Eſt autem quidam mirandus pulchrifluum prope Gangem
Locus honoratus ac ſacer, quem olim Bacchus
Iratus calcavit, quum mutarentur quidem molles
Mænadum nebrides in clypeos, in enſem vero
Thyrſi prorumperent, atque in ſpiram draconum
Balteique & capreoli flexuoſæ vitis,

ὅτι Νυσαίαν πρεσβείαις τὸν Ἀλέξανδρον ἐν ὅπλοις ἰδόντες κεκονιμένον ἐκ τῆς ὁδοῦ, ἐθαύμασάν τι τὴν ὄψιν, καὶ πεσόντες εἰς γῆν ἐπὶ πολὺ σιγὴν εἶχον. Ἰστέον δὲ ὅτι ἕλιξ ἡ ἄμπελος κεῖται μὲν καὶ παρ' ἄλλοις, δοκεῖ δὲ γίνεσθαι παρὰ τὸ ἑλινύειν, ὅ ἐστιν ἀργεῖν καὶ σχολάζειν, οὗπερ ὁ οἶνος Διόνυσος αἴτιος. εἰδέναι δὲ χρὴ καὶ ὅτι τινὲς ταῦτα τὰ περὶ Διονύσου, καθὰ καὶ τὰ περὶ Ἡρακλέους, ἄπιστά φασι καὶ μυθώδη, καὶ κολακείας ἀναπλάσματα. πάντων γάρ, φασί, τὰ κατὰ τὸν δεσμὸν τοῦ Προμηθέως ὑποθεμένων ἐν τῷ ἀρκτῴῳ γενέσθαι Καυκάσῳ, οἱ Μακεδόνες, κολακείᾳ τῇ πρὸς τὸν Ἀλέξανδρον, μετέθηκαν τῷ λόγῳ τὸν Καύκασον εἰς τὴν ἑῴαν θάλασσαν, καλέσαντες Καύκασον ὄρη τινὰ ἐκεῖ Ἰνδικά. οἱ δ' αὐτοὶ κόλακες καὶ τι σπήλαιον ἱερὸν ἐν Παροπαμισάδαις τῷ Ἀλεξάνδρῳ δεικνύοντες, Προμηθέως δεσμωτήριον αὐτὸ ἀπέφαινον. καὶ τὸν Ἡρακλέα ἐλθεῖν ἐκεῖ ἔλεγον εἰς λύσιν τοῦ Προμηθέως· ἐναγόμενοι πρὸς τὸν λόγον, καὶ ἀπὸ τοῦ ἰδεῖν αὐτόθι βοῦς ἐγκεκαυμένας ῥόπαλον, τὸ τοῦ Ἡρακλέος παράσημον· ὥστε τούτῳ τῷ λόγῳ ἐφ' ἑκατέρους τέρμονας γῆς ἐλθεῖν τὸν Ἡρακλέα, καὶ εἶναι καὶ τὸν Ἀλέξανδρον διὰ τοῦτο κατὰ τοὺς κόλακας οὐκ ἀπεοικότα οὔτε τοῦ Ἡρακλέος, ἀλλ' οὐδὲ μὴν οὐδὲ τοῦ Διονύσου, διὰ τὸ καὶ αὐτὸν ὁμοίως ἐκείνοις ἀποδημῆσαι. καὶ οἱ μὲν παλαιοὶ ταῦτα. εἰ δέ τι χρὴ προσπαῖξαι τοῖς κόλαξιν, εὐφυέστερον ἦν εἰς κολακείαν τὸ μὴ τοιαῦτα πλάττειν, ἀλλὰ μᾶλλον ἀποστερεῖν τῷ Ἡρακλεῖ καὶ τῷ Διονύσῳ τὰς ἐκδημίας, ὡς ἂν δοκοίη ὁ κολακευόμενος Ἀλέξανδρος εἰς τοιούτους ἀφικέσθαι τόπους, εἰς οὓς οὐδὲ Ἡρακλῆς οὐδὲ Διόνυσος, οἱ τοῦ Διός. οἱ δ' αὐτοὶ κόλακες, κατὰ τοὺς παλαιούς, καὶ Καύκασον ὠνόμασαν ὁμοῦ τόν τε Παροπαμισόν, καὶ τὸ Ἠμωδόν, καὶ τὸ Ἴμαιον, τὰ Ἰνδικὰ ὄρη. Ὅρα δὲ κόμπον Ἑλληνικόν, ὡς καὶ φθάσαντες εἴπομεν, ἐὰν ἐξ Ἑλλάδος ἦσαν Ἡρακλῆς καὶ Διόνυσος, οἱ τοὺς τῆς γῆς ἀνδραγαθίαις περιελθόντες τέρμονας. Ἀρριανὸς δὲ τάδε γράφει περὶ τῆς εἰς Ἰνδοὺς τοῦ Διονύσου στρατείας. "Διόνυσον πολεμῆσαι Ἰνδοῖς λόγος, ὅστις γε οὗτος ὁ ἐπὶ Ἰνδοὺς στρατεύσας Διόνυσος".

Τῆμος ὅτ' ἀφραδίῃσι θεοῦ ἀτίμησαν ἑορτήν.
Τοὔνεκα Νυσαίην μὲν ἐφημίξαντο κέλευθον,
Κόσμῳ δ' ἐστήσαντο σὺν ἱάσιν ὄργια πάντα.
Αὐτὸς δ', ὁππότε φῦλα κελαινῶν ὤλεσεν Ινδῶν,
Ημωδῶν ὀρέων ἐπεβήσατο, τῶν ὑπὸ πέζαν
Ελκεται ἠῴοιο μέγας ῥόος ὠκεανοῖο.
Ενθα δύο στήλας στήσας περὶ τέρματα γαίης,
Καγχαλόων μετὰ χεῦμα κατήλυθεν Ισμηνοῖο.
Τόσσοι μὲν κατὰ γαῖαν ὑπέρτατοι ἄνδρες ἔασιν.
Αλλοι δ' ἔνθα καὶ ἔνθα κατ' ἠπείρους ἀλόωνται.
Μυρίοι, οὓς οὐκ ἄν τις ἀριφραδέως ἀγορεύσοι.
Θνητὸς ἐών. μοῦνοι δὲ θεοὶ ῥέα πάντα δύνανται.
Αὐτοὶ γὰρ καὶ πρῶτα θεμείλια τορνώσαντο,
Καὶ βαθὺν οἶμον ἔδειξαν ἀμετρήτοιο θαλάσσης·
Αὐτοὶ δ' ἔμπεδα πάντα βίῳ διετεκμήραντο,
Αστρα διακρίναντες. ἐκληρώσαντο δ' ἑκάστῳ
Μοῖραν ἔχειν πόντοιο, καὶ ἠπείροιο βαθείης.
Τῷ ῥα καὶ ἀλλοίην ῥυσμοῦ φύσιν ἔλλαχ' ἑκάστη.
Η μὲν γὰρ λευκή τε καὶ ἀργινόεσσα τέτυκται,
Η δὲ κελαινοτέρη, ἡ δ' ἀμφοτέρων λάχε μορφήν·
Αλλη δ' Ασσυρίης ἐναλιγκίη ἄνθεϊ μίλτου,
Αλλαι δ' ἀλλοῖαι· τὼς γὰρ μέγας ἐφράσατο Ζεύς.

"σος". οὐ γὰρ δὴ ῥᾷον εὑρεῖν δοκεῖ οὔτε τὸν Θηβαῖον τὸν τῆς Σεμέλης τοῦ Κάδμου, οὔτε ὃν Αθηναῖοι ἐν ταῖς τελεταῖς Διὸς καὶ Κόρης παῖδα σέβουσιν, οὐ μὴν οὐδ' ἄλλον οὐδαμοῦ Διόνυσον ἀρήια ὅπλα ἐνδεδυκότα.

1. Οτι καὶ ἐνταῦθα τὸ τῆς ἱστορίας ὁμολογῶν συνοπτικόν, τοὺς ὑπερτάτους κατὰ γῆν ἄνδρας μόνους λέγει περιηγήσασθαι. τοὺς γὰρ ἄλλους, οἳ ἔνθα καὶ ἔνθα κατὰ τὰς ἠπείρους πλανῶνταί μυρίοι, τίς ἄν, φησὶν, ἀριφραδέως ἀγορεύσοι, θνητὸς ὤν; θεὸς δὲ μόνος πάντα ῥεῖα δύναται. εἶτα μαθηματικὴν φυσιολογίαν καὶ θεολογίαν ἰδίᾳ ἐκθεὶς περισφόρως τῷ καιρῷ, καὶ εἰς ἔννοιαν πρώτην σεμνότητος κατεπαίρων τὴν περιήγησιν, φησὶ θεὸν καὶ τὰ τῆς γῆς πρῶτα θεμέλια τορνώσασθαι, καὶ βαθὺν οἶμον δεῖξαι ἀμετρήτου θαλάσσης, καὶ τῷ βίῳ ἔμπεδα πάντα διατεκμήρασθαι, ἄστρα διακρίναντα· κληρώσασθαί τε ἑκάστῳ τῶν ἀστέρων μοῖραν γῆς καὶ θαλάττης· ὅθεν καὶ, κατὰ τοὺς ἀστέρας τοὺς διαλαχόντας τὴν γῆν, ἄλλην ἀλλαχοῦ, φησὶ, γῆ ἑκάστη φύσιν ἔλαχεν. ἡ μὲν γὰρ λευκὴ καὶ ἀργινόεσσα τὴν μορφήν, ἡ δὲ μελαντέρα, ἡ δὲ μέση ἀμφοτέρων· ἄλλη δὲ μιλτώδης, καὶ ἄλλη ἀλλοία. οὕτω

γὰρ,

Tunc quum præ ſtultitia dei deſpexerunt feſtum.
Quamobrem Nyſſæam quidem vulgo dixerunt viam,
Decore autem celebrarunt cum liberis orgia [*ſacra*] omnia.
Is vero, quando gentes nigrorum debellavit Indorum,
Emodos montes adiit, quorum ſub radice
Volvitur orientalis ingens unda oceani.
Ubi duabus columnis poſitis in finibus terræ,
Exſultans ad fluentum rediit Iſmeni.
Tot quidem per orbem ſummi [*præcipui*] populi ſunt.
Alii autem hic & illic per continentes vagantur
Innumeri, quos nemo perſpicue memoraverit
Mortalis qui ſit. ſoli autem dii facile omnia poſſunt.
Ipſi enim etiam prima fundamenta tornarunt,
Atque profundam viam oſtenderunt immenſi maris:
Ipſi, inquam, ſtabilia [*firma*] omnia vitæ ſignarunt,
Sidera diſpertiti. tribuerunt autem unicuique
Partem habere maris, & continentis vaſtæ.
Quare etiam diverſam formæ naturam ſortita eſt quælibet.
Quædam enim albaque & candida [*vel argillacea*] eſt,
Quædam vero nigrior, quædam ambarum ſortita eſt for-
At alia Aſſyriæ conſimilis flori rubricæ ; [mam :
Aliæ item diverſæ. ita enim magnus decrevit Jupiter.

γὰρ, φησὶν, ὁ Ζεὺς ἐφράσατο. ἐφ' οἷς γνωματευόμενος λέγει, Οὕτως ἀνθρώποις ἑτεροίια πάντα τέτυκται. καὶ ἔστι τοῦτο τέταρτον ἢ πέμπτον τοῦ Διονυσίου γνωμικόν. Ὅρα δὲ ὅτι ἐν τοῖς, ἔμπεδα πάντα τὰ κατὰ τὸν βίον τεκμήραντο, ἄστρα διακρίναντες, θεοῖς τὴν τῶν ἐγκοσμίων αἰτίαν ὁ Διονύσιος ἀνατίθησι. τὸ δὲ τορνώσαντο ἐξ Ὁμήρου εἴληπται, καὶ δηλοῖ τὸ περιγράψασθαι. τὸ δὲ ἀργινόεσσαν, χαρίεσσαν καὶ ἀργιλόεσσαν, διὰ τοῦ λάμβδα, κατὰ στοιχείων συγγένειαν. οὕτω γὰρ καὶ τὸ νίτρον, λίτρον, καὶ τὸ πνεύμονα, πλεύμονα φασὶν οἱ Ἀττικοί. τάχα δὲ καὶ αἱ ἀργίλλαι τὰ ὑπόγαια οἰκήματα ἐκ τῆς τοιαύτης παρωνομάσθησαν λέξεως, ὡς τῆς τοιαύτης γῆς μάλιστα εὐθέτως ἐχούσης διὰ τὴν στεγανότητα, πρὸς κατεργασίαν τοιαύτης οἰκήσεως. τὴν δὲ μίλτον περιφράζων, ἄνθος λέγει Ἀσσυρίης γῆς, ἀντὶ τοῦ Σινωπικῆς. Ἀσσυρία γὰρ, κατὰ τὸν Διονύσιον, ἡ περὶ Σινώπην γῆ κατὰ Εὔξεινον, ὡς προείρηται. αὐτὸ δὲ τοῦτο Σινωπικὴ ἡ μίλτος λέγεται, κατὰ τοὺς παλαιοὺς, οὐ διὰ τὸ αὐτόθι γίνεσθαι, ἀλλὰ διὰ τὸ ἐκεῖ πρὸς τῶν ἐμπόρων κατάγεσθαι. διὰ τοῦτο δὲ τάχα καὶ σινωπίδιον παραφθείροντες οἱ τεχνῖται τὸ

Οὕτως ἀνθρώποις ἑτεροῖα πάντα τέτυκται.
Ὑμεῖς [1] δ', ἤπειροί τε, καὶ εἰν ἁλὶ χαίρετε νῆσοι,
Ὕδατά τ' ὠκεανοῖο, καὶ ἱερὰ χεύματα πόντου,
Καὶ ποταμοὶ, κρῆναί τε, καὶ οὔρεα βησσήεντα.
Ἤδη γὰρ πάσης μὲν ἐπέδραμον οἶδμα θαλάσσης,
Ἤδη δ' ἠπείρων σκολιὸν πόρον. ἀλλά μοι ὕμνων
Αὐτῶν ἐκ μακάρων ἀντάξιος εἴη ἀμοιβή.

τοῦτον χρῶμά φασιν. τῇ δὲ Σινωπικῇ μίλτῳ ἐνάμιλλον εἶναι καὶ τὴν Ἰβηρικὴν λέγουσιν.

1. Ὅτι γλυκεῖα ἡ καταστροφὴ τοῦ ποιήματος. ὡς γὰρ προαίρεσιν ἔχουσι τοῖς ἀψύχοις ὁμιλῶν ὁ Διονύσιος κατὰ λόγον γλυκύτητος, χαίρετε, φησὶν, ὦ ἤπειροι, καὶ ὦ νῆσοι, καὶ ὦ τὰ καὶ τά. καὶ ἐπὶ πᾶσιν εἰς εὐχὴν καταστρέφων τὸν λόγον, ἐπεύχεται ἐκ τοῦ κρείττονος, ἤγουν θεόθεν, ἐπάξιον αὐτῷ γενέσθαι τὴν τῶν ὕμνων ἀμοιβὴν, ὡς μέγα τι ἀνύσαντι. ὕμνους δὲ ἐνταῦθα, ἢ τὴν ῥηθεῖσαν προσεχῶς θεολογίαν καλεῖ, ἢ ἁπλῶς οὕτω τὰ ἑαυτοῦ ἔπη. ἔστι γὰρ ὅτι ὁ ὕμνος καὶ ἄλλως λέγεται. καὶ οὐ μόνον ἐπὶ θείου ἐπαίνου. Πίνδαρος οὖν τοὺς ἑαυτοῦ ἐπινικίους, ὕμνους καλεῖ. καὶ Αἰσχύλος

ΤΕΛΟΣ.

Sic hominibus diſparia omnia facta ſunt.
Vos autem continentes, & quæ in mari eſtis valete inſulæ,
Undaque oceani, & ſacra fluenta ponti,
Et fluvii, fonteſque, & montes ſaltuoſi [*vel clivoſi.*]
Jam enim totius quidem percurri curſum maris,
Jam etiam continentium terrarum flexuoſam viam. at mihi
Ipſis à divis eſto digna remuneratio. [carminum

λόγος δὲ ἐξ ἀντιφράσεως τὸ κακηλογεῖν, ὑμνεῖν ἔφη ἐν τῷ,

Ὑμνεῖθ᾽ ὑπ᾽ ἀστῶν φροιμίοις πολυῤ-
ῥόθοις.

καὶ τὸ ἁπλῶς δὲ θρυλλεῖσθαί τι, ὑμνεῖσθαι λέγεται. καὶ Ἡσίοδος δὲ τὸν περὶ ναυτιλίας ἔμμετρον λόγον, ὕμνον φησὶν, ἐν τῷ,

Μοῦσαι γάρ μ᾽ ἐδίδαξαν ἀθέσφατον
ὕμνον ἀείδειν.

Εὐριπίδης δὲ καὶ ἐπὶ μαντείας νοεῖν τὸν ὕμνον δίδωσιν, ἔνθα τὸ ὑμνῳδεῖν ἀντὶ τοῦ θεσπίζειν τέθεικεν. φησὶ γοῦν ἐν Ἴωνι,

——— ὀμφαλὸν
Μέσον καθίζων Φοῖβος ὑμνῳδεῖ βρο-
τοῖς.

τοῦτο δὲ καὶ ἀντὶ τοῦ ἀμέτρως ᾄδειν παραδίδοται.

FINIS.

00079957

Digitized with financial assistance from the
Government of Maharashtra
on 18 July, 2018